Google

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/




PRESENTED BY
THE HEIRS OF
ELISHA JONES
ASSOCIATE PROFESSOR
OF LATIN 1881-88

PA
4000
.A2
187




PRESENTED BY
THE HEIRS OF
ELISHA JONES
ASSOCIATE PROFESSOR
OF LATIN 1871-88

# HESIODEA

# QUAE FERUNTUR CARMINA

EX RECENSIONE

**ARMINII KOECHLY**

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLXX

LIPSIAE. TYPIS B. G. TEUBNERI.

Parvo libello textum Hesiodeum cum recensionis diversitate e majore editione repetitum tenenti parva sit praefatio singulorum exhibens brevem recensum locorum, qui aperte corrupti conjecturis haud minus certis aut sanati sunt aut sanandi. Sunt vero hi:

Theog. v. 32 †θείην] θέσπιν Goettling 34 ὕστερον] ὕστατον Wolf 157 †ἀνίησκε] ἀνίεσκε cum Pasore vulgo 281 ἐξέθορε] ἔκθορε Guiet 287 τρικέφαλον] τρικάρηνον post Trincavellum vulgo 312 πεντηκοντακέφαλον] πεντηκοντακάρηνον post Trincavellum vulgo 359 †Κρυσηίς] Χρυσηίς Hermann 373 θεοῖς] θεοῖσι Wolf 405 †δ' ἤπειτα] δὴ ἔπειτα Dindorf 428 Ζεὺς τίεται αὐτήν] καὶ Ζεὺς τίεν αὐτήν Koechly 453 Ῥείη δ' ὑποδμηθεῖσα] particula delenda 481 μὲν] μιν Hermann 497 †ἐξήμησε] ἐξήμεσσε cum Hermanno vulgo 562 †δ' ἤπειτα] δὴ ἔπειτα Dindorf 563 †μελίοισι] μελέοισι post Stephanum vulgo 569 ἴδεν] ἴδ' ἐν Orelli 617 †Βριάρεῳ] Ὀβριάρεῳ Dindorf 628 †κείνοισι] κείνοις post Heinsium vulgo 655 †ὅτι] ὅ τοι Hermann 734 †ὁ Βριάρεως] Ὀβριάρεως Dindorf 746 †ἔχετ'] ἔχει Hermann 802 †ἐπιμίσγεται] ἐπινίσσεται Ruhnken 813 πρόσθεν] νέρθεν Koechly 961 ἣ δέ οἱ] ἣ δή οἱ Guiet.

Op. et Di. 44 ὥς τέ σε †κείς] ὥς τε καὶ εἰς Hermann 56 σοὶ δ' αὐτῷ] σοί τ' αὐτῷ vulgo 90 †Πρὶν

μὲν] πρὶν μὲν γὰρ vulgo, πρῶτον vel τὸ πρὶν μὲν Lehrs 121 ἐπεὶ μὲν] ἐπειδὴ vulgo 187 οὔτε] οὐδὲ οὐδὲ μὲν] οὐδέ κεν Brunck 263 †βαςιλῆες] βαςιλεῖς Goettling †δίκας] μύθους vulgo 283 †ἀάςθη] ἀαςθῇ Schaefer 301 †πίμπληςι] πιμπλῇςι Spohn 327 †ἔρξει] ἔρξῃ Schaefer 328 †βαίνοι] βαίνῃ Schaefer 344 γένηται] γένοιτο Brunck 468 ὄρπηκα] ὄρπηκι Brunck 495 †ὀφέλλει] ὀφέλλοι Brunck 526 οὐ †γάρ οἱ] οὐ δέ οἱ Hermann 533 †βροτῷ] βροτοὶ Hermann 549 πυροφόρος] πυροφόροις Hermann.

Scuti v. 15. οὐ †γάρ οἱ] οὐ δέ οἱ Hermann 79 †μετ'] μέγ' Dorvillius 429 †ἐμμενέως] ἐμ μένεος Heyne 438 ἠχή] ἠχῇ Hermann.

Recensionis diversitati autem addenda erant haec: Γύης Theog. v. 149. 714. 734. 817 et Γύῃ 618. μεγήρατα v. 240 Ὄρθρον v. 309 et Ὄρθρῳ 327 πύλας pro θύρας v. 732.

Scripsi Heidebergae d. VIII. mens. Jun. MDCCCLXX.

**Arminius Koechly.**

# ΗΣΙΟΔΟΥ

## ΤΟΥ ΑΣΚΡΑΙΟΥ ΘΕΟΓΟΝΙΑ.

Μουϲάων Ἑλικωνιάδων ἀρχώμεθ᾽ ἀείδειν,
αἵ θ᾽ Ἑλικῶνοϲ ἔχουϲιν ὄροϲ μέγα τε ζάθεόν τε,
καί τε περὶ κρήνην ἰοειδέα πόϲϲ᾽ ἁπαλοῖϲιν
ὀρχεῦνται καὶ βωμὸν ἐριϲθενέοϲ Κρονίωνοϲ·

καί τε λοεϲϲάμεναι τέρενα χρόα Περμηϲοῖο
ἢ Ἵππου κρήνηϲ ἢ Ὀλμειοῦ ζαθέοιο
ἀκροτάτῳ Ἑλικῶνι χοροὺϲ ἐνεποιήϲαντο
καλοὺϲ ἱμερόενταϲ, ἐπερρώϲαντο δὲ ποϲϲίν.

ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ,
ἐννύχιαι ϲτεῖχον περικαλλέα ὄϲϲαν ἱεῖϲαι·

ὑμνεῦϲαι Δία τ᾽ αἰγίοχον καὶ πότνιαν Ἥρην
Ἀργείην, χρυϲέοιϲι πεδίλοιϲ ἐμβεβαυῖαν,
κούρην τ᾽ αἰγιόχοιο Διὸϲ γλαυκῶπιν Ἀθήνην,
Φοῖβόν τ᾽ Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἠδὲ Ποϲειδάωνα † γαιήοχον ἐννοϲίγαιον,
καὶ Θέμιν αἰδοίην ἑλικοβλέφαρόν τ᾽ Ἀφροδίτην,
Ἥβην τε χρυϲοϲτέφανον καλήν τε Διώνην,
Ἠῶ τ᾽ Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην,
Λητώ τ᾽ Ἰαπετόν τε ἰδὲ Κρόνον ἀγκυλομήτην,
Γαῖάν τ᾽ Ὠκεανόν τε μέγαν καὶ Νύκτα μέλαιναν,
ἄλλων τ᾽ ἀθανάτων ἱερὸν γένοϲ αἰὲν ἐόντων.

---

v. 5. Τερμηϲοῖο

αἵ νύ ποθ' Ἡcίοδον καλὴν ἐδίδαξαν ἀοιδὴν
ἄρναc ποιμαίνονθ' Ἑλικῶνοc ὑπὸ ζαθέοιο.
τόνδε δέ με πρώτιcτα θεαὶ πρὸc μῦθον ἔειπον
Μοῦcαι Ὀλυμπιάδεc, κοῦραι Διὸc αἰγιόχοιο·
«ποιμένεc ἄγραυλοι, κάκ' ἐλέγχεα, γαcτέρεc οἶον,
ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοιcιν ὁμοῖα,
ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα μυθήcαcθαι.»
ὣc ἔφαcαν κοῦραι μεγάλου Διὸc ἀρτιέπειαι,
καί μοι cκῆπτρον ἔδον δάφνηc ἐριθῆλέοc ὄζον
δρέψαcαι θηητόν, ἐνέπνευcαν δέ μοι αὐδὴν
θείην, †ἵνα κλείοιμι τά τ' ἐccόμενα πρό τ' ἐόντα,
καί με κέλονθ' ὑμνεῖν μακάρων γένοc αἰὲν ἐόντων,
cφᾶc δ' αὐτὰc πρῶτόν τε καὶ ὕcτερον αἰὲν ἀείδειν.
ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;

Τύνη Μουcάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
ὑμνεῦcαι τέρπουcι μέγαν νόον ἐντὸc Ὀλύμπου,
εἰρεῦcαι τά τ' ἐόντα τά τ' ἐccόμενα πρό τ' ἐόντα,
φωνῇ ὁμηρεῦcαι· τῶν δ' ἀκάματοc ῥέει αὐδὴ
ἐκ cτομάτων ἡδεῖα. γελᾷ δέ τε δώματα πατρὸc
Ζηνὸc ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέccῃ
cκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντοc Ὀλύμπου

δώματά τ' ἀθανάτων· αἳ δ' ἄμβροτον ὄccαν ἱεῖcαι
θεῶν γένοc αἰδοῖον πρῶτον κλείουcιν ἀοιδῇ
ἐξ ἀρχῆc, οὓc Γαῖα καὶ Οὐρανὸc εὐρὺc ἔτικτεν,
*οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ δωτῆρες ἐάων.*
δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
*ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ λήγουσαί † τ' ἀοιδῆς,*
ὅccον φέρτατόc ἐcτι θεῶν κράτεϊ τε μέγιcτοc.
αὖτιc δ' ἀνθρώπων τε γένοc κρατερῶν τε Γιγάντων
ὑμνεῦcαι τέρπουcι Διὸc νόον ἐντὸc Ὀλύμπου
Μοῦcαι Ὀλυμπιάδεc, κοῦραι Διὸc αἰγιόχοιο.

τὰc ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖcα
Μνημοcύνη, γουνοῖcιν Ἐλευθῆροc μεδέουcα,

---

v. 28. γηρύcαcθαι   v. 31. δρέψαcθαι

ληcμοcύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
ἐννέα γάρ οἱ νύκτας ἐμίcγετο μητίετα Ζεύc,
νόcφιν ἀπ᾽ ἀθανάτων ἱερὸν λέχοc εἰcαναβαίνων.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐνιαυτὸc ἔην, περὶ δ᾽ ἔτραπον ὧραι
μηνῶν φθινόντων, περὶ δ᾽ ἤματα πόλλ᾽ ἐτελέcθη,
ἣ δ᾽ ἔτεκ᾽ ἐννέα κούραc ὁμόφρονας, ᾗcιν ἀοιδὴ
μέμβλεται ἐν cτήθεccιν ἀκηδέα θυμὸν ἐχούcαιc,
τυτθὸν ἀπ᾽ ἀκροτάτηc κορυφῆc νιφόεντοc Ὀλύμπου.

ἔνθα cφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά·
πὰρ δ᾽ αὐτῇc Χάριτέc τε καὶ Ἵμεροc οἰκί᾽ ἔχουcιν

ἐν θαλίῃc· ἐρατὴν δὲ διὰ cτόμα ὄccαν ἱεῖcαι
μέλπονται πάντων τε νόμουc, καὶ ἤθεα κεδνὰ
ἀθανάτων κλείουcιν ἐπήρατον ὄccαν ἱεῖcαι.

αἳ τότ᾽ ἴcαν πρὸc Ὄλυμπον ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροcίῃ μολπῇ· περὶ δ᾽ ἴαχε γαῖα μέλαινα
ὑμνεύcαιc, ἐρατὸc δὲ ποδῶν ὕπο δοῦποc ὀρώρει
νιccομένων πατέρ᾽ εἰc ὅν· ὃ δ᾽ οὐρανῷ ἐμβαcιλεύει
αὐτὸc ἔχων βροντὴν ἠδ᾽ αἰθαλόεντα κεραυνόν,
κάρτεϊ νικήcαc πατέρα Κρόνον· εὖ δὲ ἕκαcτα
ἀθανάτοιc διέταξεν ὁμῶc καὶ ἐπέφραδε τιμάc.

ταῦτ᾽ ἄρα Μοῦcαι ἄειδον Ὀλύμπια δώματ᾽ ἔχουcαι,
ἐννέα θυγατέρεc μεγάλου Διὸc ἐκγεγαυῖαι,
Κλειώ τ᾽ Εὐτέρπη τε, Θάλειά τε Μελπομένη τε,
Τερψιχόρη τ᾽ Ἐρατώ τε, Πολύμνιά τ᾽ Οὐρανίη τε,
Καλλιόπη θ᾽· ἣ δὲ προφερεcτάτη ἐcτὶν ἁπαcέων.

ἣ γὰρ καὶ βαcιλεῦcιν ἅμ᾽ αἰδοίοιcιν ὀπηδεῖ.

ὅν τινα τιμήcωcι Διὸc κοῦραι μεγάλοιο
γεινόμενόν τ᾽ ἐcίδωcι διοτρεφέων βαcιλήων,
τῷ μὲν ἐπὶ γλώccῃ γλυκερὴν χείουcιν ἐέρcην,
τοῦ δ᾽ ἔπε᾽ ἐκ cτόματοc ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντεc ἐc αὐτὸν ὁρῶcι διακρίνοντα θέμιcταc

v. 83. ἀοιδήν

θείηςι δίκηςιν· ὃ δ' ἀcφαλέωc ἀγορεύων
αἶψά τε καὶ μέγα νεῖκοc ἐπιcταμένωc κατέπαυcε.

τοὔνεκα γὰρ βαcιλῆεc ἐχέφρονεc, οὕνεκα λαοῖc
βλαπτομένοιc ἀγορῆφι μετάτροπα ἔργα τελεῦcι
ῥηιδίωc, μαλακοῖcι παραιφάμενοι ἐπέεccιν.

ἐρχόμενον δ' ἀν' ἀγῶνα θεὸν ὣc ἱλάcκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοιcιν.

*οἷά τε Μουσάων ἱερὴ δόσις ἀνθρώποισιν.*

ἐκ γὰρ Μουcάων καὶ ἑκηβόλου Ἀπόλλωνοc
ἄνδρεc ἀοιδοὶ ἔαcιν ἐπὶ χθόνα καὶ κιθαριcταί,
ἐκ δὲ Διὸc βαcιλῆεc. ὁ δ' ὄλβιοc, ὅν τινα Μοῦcαι
φίλωνται· γλυκερή οἱ ἀπὸ cτόματοc ῥέει αὐδή.
εἰ γάρ τιc καὶ πένθοc ἔχων νεοκηδέι θυμῷ
ἄζηται κραδίην ἀκαχήμενοc, αὐτὰρ ἀοιδὸc
Μουcάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήcῃ μάκαράc τε θεούc, οἳ Ὄλυμπον ἔχουcιν,
αἶψ' ὅ γε δυcφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
μέμνηται, ταχέωc δὲ παρέτραπε δῶρα θεάων.

χαίρετε τέκνα Διόc, δότε δ' ἱμερόεccαν ἀοιδήν.
κλείετε δ' ἀθανάτων ἱερὸν γένοc αἰὲν ἐόντων,
οἳ Γῆc ἐξεγένοντο καὶ Οὐρανοῦ ἀcτερόεντοc
Νυκτόc τε δνοφερῆc, οὓc θ' ἁλμυρὸc ἔτρεφε Πόντοc·

εἴπατε δ', ὡc τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο
καὶ ποταμοὶ καὶ πόντοc ἀπείριτοc οἴδματι θύων
ἄcτρα τε λαμπετόωντα καὶ οὐρανὸc εὐρὺc ὕπερθεν·
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοὶ δωτῆρεc ἐάων,
ὥc τ' ἄφενοc δάccαντο καὶ ὡc τιμὰc διέλοντο,
ἠδὲ καὶ ὡc τὰ πρῶτα πολύπτυχον ἔcχον Ὄλυμπον.

—*ταῦτά μοι ἔσπετε Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσ*

v. 91. ἀνὰ ἄcτυ v. 94. ἐκ μὲν Ἀπόλλωνοc ἑκάτ

— *ἐξ ἀρχῆς, καὶ εἴπαθ᾽ ὅ τι πρῶτον γένετ᾽ αὐτῶν.*

Ἤτοι μὲν πρώτιστα Χάος γένετ᾽, αὐτὰρ ἔπειτα
Γαῖ᾽ εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ
— *ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,*
— *Τάρταρά τ᾽ ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,*
ἠδ᾽ Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι
λυσιμελὴς πάντων τε θεῶν πάντων τ᾽ ἀνθρώπων
δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
ἐκ Χάεος δ᾽ Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο·
Νυκτὸς δ᾽ αὖτ᾽ Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσαμένη Ἐρέβει φιλότητι μιγεῖσα.
γαῖα δέ † τοι πρῶτον μὲν ἐγείνατο ἶσον † ἑαυτῇ
Οὐρανὸν ἀστερόενθ᾽, ἵνα μιν περὶ πάντα καλύπτοι,
*ὄφρ᾽ εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί·*
γείνατο δ᾽ Οὔρεα μακρά, θεῶν χαρίεντας ἐναύλους
*Νυμφέων, αἳ ναίουσιν ἀν᾽ οὔρεα βησσήεντα.*
ἡ δὲ καὶ ἀτρύγετον πέλαγος τέκεν οἴδματι θῦον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα
Οὐρανῷ εὐνηθεῖσα τέκ᾽ Ὠκεανὸν βαθυδίνην,
Κοῖόν τε Κρεῖόν θ᾽, Ὑπερίονά τ᾽ Ἰαπετόν τε,
Θείαν τε Ῥείαν τε, Θέμιν τε Μνημοσύνην τε,
Φοίβην τε χρυσοστέφανον Τηθύν τ᾽ ἐρατεινήν.
τοὺς δὲ μέθ᾽ ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,
δεινότατος παίδων· θαλερὸν δ᾽ ἤχθηρε τοκῆα.
γείνατο δ᾽ αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας,
Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀβριμόθυμον,
*οἳ Ζηνὶ βροντήν τ᾽ ἔδοσαν τεῦξάν τε κεραυνόν·*
(· οἳ δή τοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
(· μοῦνος δ᾽ ὀφθαλμὸς μέσσῳ ἐνέκειτο μετώπῳ·
·) Κύκλωπες δ᾽ ὄνομ᾽ ἦσαν ἐπώνυμον, οὕνεκ᾽ ἄρα σφέων
·) κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ·
ἰσχύς τ᾽ ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ᾽ ἔργοις.
ἄλλοι δ᾽ αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο

v. 116. Πάντων μὲν  v. 120—122. ἠδ᾽ Ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν  v. 142. οἳ δ᾽ ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες

τρεῖc παῖδεc μεγάλοι καὶ ὄμβριμοι, οὐκ ὀνομαcτοί,
Κόττοc τε Βριάρεώc τε Γύγηc θ', ὑπερήφανα τέκνα·
τῶν ἑκατὸν μὲν χεῖρεc ἀπ' ὤμων ἀίccοντο
ἄπλαcτοι, κεφαλαὶ δὲ ἑκάcτῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ cτιβαροῖcι μέλεccιν·
ἰcχὺc δ' ἄπλατοc κρατερή, μεγάλῳ ἐπὶ εἴδει.
ὅccοι γὰρ Γαίηc τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
δεινότατοι παίδων, cφετέρῳ δ' ἤχθοντο τοκῆι
ἐξ ἀρχῆc· καὶ τῶν μὲν ὅπωc τιc πρῶτα γένοιτο,
πάνταc ἀποκρύπταcκε, καὶ ἐc φάοc οὐκ ἀνίηcκε,
Γαίηc ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανόc. ἡ δ' ἐντὸc cτοναχίζετο Γαῖα πελώρη,
cτεινομένη· δολίην δὲ κακὴν ἐπεφράccατο τέχνην.
αἶψα δὲ ποιήcαcα γένοc πολιοῦ ἀδάμαντοc
τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παιcὶ φίλοιcιν·
εἶπε δὲ θαρcύνουcα φίλον τετιημένη ἦτορ·
«παῖδεc ἐμοὶ καὶ πατρὸc ἀταcθάλου, αἴ κ' ἐθέλητε
πείθεcθαι, πατέροc κε κακὴν τιcαίμεθα λώβην
ὑμετέρου· πρότεροc γὰρ ἀεικέα μήcατο ἔργα.»
ὣc φάτο· τοὺc δ' ἄρα πάνταc ἕλεν δέοc, οὐδέ τιc αὐτῶν
φθέγξατο· θαρcήcαc δὲ μέγαc Κρόνοc ἀγκυλομήτηc
ἂψ αὖτιc μύθοιcι προcηύδα μητέρα κεδνήν·
«μῆτερ, ἐγώ κεν τοῦτό γ' ὑποcχόμενοc τελέcαιμι
ἔργον, ἐπεὶ πατέροc γε δυcωνύμου οὐκ ἀλεγίζω
ἡμετέρου· πρότεροc γὰρ ἀεικέα μήcατο ἔργα.»
ὣc φάτο· γήθηcεν δὲ μέγα φρεcὶ Γαῖα πελώρη,
εἷcε δέ μιν κρύψαcα λόχῳ, ἐνέθηκε δὲ χειρὶ
ἅρπην καρχαρόδοντα, δόλον δ' ὑπεθήκατο πάντα.
ἦλθε δὲ νύκτ' ἐπάγων μέγαc Οὐρανόc, ἀμφὶ δὲ Γαίῃ
ἱμείρων φιλότητοc ἐπέcχετο καί ῥ' ἐτανύcθη
πάντῃ· ὃ δ' ἐκ λοχεοῖο πάιc ὠρέξατο χειρὶ
cκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην,
μακρὴν καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸc
ἐccυμένωc ἤμηcε, πάλιν δ' ἔρριψε φέρεcθαι
ἐξοπίcω· τὰ μὲν οὔ τι ἐτώcια ἔκφυγε χειρόc.
ὅccαι γὰρ ῥαθάμιγγεc ἀπέccυθεν αἱματόεccαι,

v. 160. ἀχνυμένη v. 178. λοχέοιο

πάσας δέξατο Γαῖα· περιπλομένων δ' ἐνιαυτῶν
γείνατ' Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας, 185
*τεύχεσι λαμπομένους, δολίχ' ἔγχεα χερσὶν ἔχοντας,*
Νύμφας θ', ἃς Μελίας καλέουσ' ἐπ' ἀπείρονα γαῖαν.
μήδεα δ', ὡς τὸ πρῶτον ἀποτμήξας ἀδάμαντι
κάββαλ' ἀπ' ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ,
ὣς φέρετ' ἂμ πέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς
ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο· τῷ δ' ἔνι κούρη 191
ἐθρέφθη· πρῶτον δὲ Κυθήροισι ζαθέοισιν
ἔπλητ', ἔνθεν ἔπειτα περίρρυτον ἵκετο Κύπρον.
ἐκ δ' ἔβη αἰδοίη καλὴ θεός, ἀμφὶ δὲ ποίη
ποσσὶν ὑπὸ ῥαδινοῖσιν ἀέξετο. τὴν δ' Ἀφροδίτην 195
κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ 197
θρέφθη, ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις.
τῇ δ' Ἔρος ὡμάρτησε καὶ Ἵμερος ἕσπετο καλὸς 201
γεινομένῃ τὰ πρῶτα θεῶν τ' ἐς φῦλον ἰούσῃ.
ταύτην δ' ἐξ ἀρχῆς τιμὴν ἔχει ἠδὲ λέλογχε
μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
παρθενίους τ' ὀάρους μειδήματα τ' ἐξαπάτας τε 205
τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε.

τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκε
παῖδας νεικείων μέγας Οὐρανός, οὓς τέκεν αὐτός·
φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
ἔργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι. 210

Νὺξ δ' ἔτεκε στυγερόν τε Μόρον καὶ Κῆρα μέλαιναν
καὶ Θάνατον, τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων,
οὔ τινι κοιμηθεῖσα θεὰ τέκε Νὺξ ἐρεβεννή·
δεύτερον αὖ Μῶμον καὶ Ὀιζὺν ἀλγινόεσσαν,
Ἑσπερίδας θ', αἷς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο 215
χρύσεα καλὰ μέλουσι φέροντά τε δένδρεα καρπόν.

---

*Ἀφρογένειάν τε θεὰν καὶ ἐυστέφανον Κυθέρειαν* 196

*Κυπρογένειαν δ', ὅτι γέντο πολυκλύστῳ ἐνὶ Κύπρῳ,* 199
*ἠδὲ Φιλομηδέα, ὅτι μηδέων ἐξεφαάνθη.*

*καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,* 217
*Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵ τε βροτοῖσι*
*γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε,*

τρεῖϲ παῖδεϲ μεγάλοι καὶ ὄμβριμοι, οὐκ ὀνομαϲτοί,
Κόττοϲ τε Βριάρεώϲ τε Γύγηϲ θ', ὑπερήφανα τέκνα·
τῶν ἑκατὸν μὲν χεῖρεϲ ἀπ' ὤμων ἀίϲϲοντο
ἄπλαϲτοι, κεφαλαὶ δὲ ἑκάϲτῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ ϲτιβαροῖϲι μέλεϲϲιν·
ἰϲχὺϲ δ' ἄπλατοϲ κρατερή, μεγάλῳ ἐπὶ εἴδει.
ὅϲϲοι γὰρ Γαίηϲ τε καὶ Οὐρανοῦ ἐξεγένοντο,
δεινότατοι παίδων, ϲφετέρῳ δ' ἤχθοντο τοκῆι
ἐξ ἀρχῆϲ· καὶ τῶν μὲν ὅπωϲ τιϲ πρῶτα γένοιτο,
πάνταϲ ἀποκρύπταϲκε, καὶ ἐϲ φάοϲ οὐκ ἀνίηϲκε,
Γαίηϲ ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανόϲ. ἡ δ' ἐντὸϲ ϲτοναχίζετο Γαῖα πελώρη,
ϲτεινομένη· δολίην δὲ κακὴν ἐπεφράϲϲατο τέχνην.
αἶψα δὲ ποιήϲαϲα γένοϲ πολιοῦ ἀδάμαντοϲ
τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παιϲὶ φίλοιϲιν·
εἶπε δὲ θαρϲύνουϲα φίλον τετιημένη ἦτορ·
«παῖδεϲ ἐμοὶ καὶ πατρὸϲ ἀταϲθάλου, αἴ κ' ἐθέλητε
πείθεϲθαι, πατέροϲ κε κακὴν τιϲαίμεθα λώβην
ὑμετέρου· πρότεροϲ γὰρ ἀεικέα μήϲατο ἔργα.»
ὣϲ φάτο· τοὺϲ δ' ἄρα πάνταϲ ἕλεν δέοϲ, οὐδέ τιϲ αὐτῶν
φθέγξατο· θαρϲήϲαϲ δὲ μέγαϲ Κρόνοϲ ἀγκυλομήτηϲ
ἂψ αὖτιϲ μύθοιϲι προϲηύδα μητέρα κεδνήν·
«μῆτερ, ἐγώ κεν τοῦτό γ' ὑποϲχόμενοϲ τελέϲαιμι
ἔργον, ἐπεὶ πατέροϲ γε δυϲωνύμου οὐκ ἀλεγίζω
ἡμετέρου· πρότεροϲ γὰρ ἀεικέα μήϲατο ἔργα.»
ὣϲ φάτο· γήθηϲεν δὲ μέγα φρεϲὶ Γαῖα πελώρη,
εἷϲε δέ μιν κρύψαϲα λόχῳ, ἐνέθηκε δὲ χειρὶ
ἅρπην καρχαρόδοντα, δόλον δ' ὑπεθήκατο πάντα.
ἦλθε δὲ νύκτ' ἐπάγων μέγαϲ Οὐρανόϲ, ἀμφὶ δὲ Γαίῃ
ἱμείρων φιλότητοϲ ἐπέϲχετο καί ῥ' ἐτανύϲθη
πάντῃ· ὃ δ' ἐκ λοχεοῖο πάιϲ ὠρέξατο χειρὶ
ϲκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην,
μακρὴν καρχαρόδοντα, φίλου δ' ἀπὸ μήδεα πατρὸϲ
ἐϲϲυμένωϲ ἤμηϲε, πάλιν δ' ἔρριψε φέρεϲθαι
ἐξοπίϲω· τὰ μὲν οὔ τι ἐτώϲια ἔκφυγε χειρόϲ.
ὅϲϲαι γὰρ ῥαθάμιγγεϲ ἀπέϲϲυθεν αἱματόεϲϲαι,

---

v. 160. ἀχνυμένη v. 178. λοχέοιο

πάϲαϲ δέξατο Γαῖα· περιπλομένων δ' ἐνιαυτῶν
γείνατ' Ἐρινῦϲ τε κρατερὰϲ μεγάλουϲ τε Γίγανταϲ, 185
*τεύχεσι λαμπομένους, δολίχ' ἔγχεα χερσὶν ἔχοντας,*
Νύμφαϲ θ', ἃϲ Μελίαϲ καλέουϲ' ἐπ' ἀπείρονα γαῖαν.
μήδεα δ', ὡϲ τὸ πρῶτον ἀποτμήξαϲ ἀδάμαντι
κάββαλ' ἀπ' ἠπείροιο πολυκλύϲτῳ ἐνὶ πόντῳ,
ὣϲ φέρετ' ἂμ πέλαγοϲ πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸϲ
ἀφρὸϲ ἀπ' ἀθανάτου χροὸϲ ὤρνυτο· τῷ δ' ἔνι κούρη 191
ἐθρέφθη· πρῶτον δὲ Κυθήροιϲι ζαθέοιϲιν
ἔπλητ', ἔνθεν ἔπειτα περίρρυτον ἵκετο Κύπρον.
ἐκ δ' ἔβη αἰδοίη καλὴ θεόϲ, ἀμφὶ δὲ ποίη
ποϲϲὶν ὑπὸ ῥαδινοῖϲιν ἀέξετο. τὴν δ' Ἀφροδίτην 195
κικλήϲκουϲι θεοί τε καὶ ἀνέρεϲ, οὕνεκ' ἐν ἀφρῷ 197
θρέφθη, ἀτὰρ Κυθέρειαν, ὅτι προϲέκυρϲε Κυθήροιϲ.
τῇ δ' Ἔροϲ ὡμάρτηϲε καὶ Ἵμεροϲ ἕϲπετο καλὸϲ 201
γεινομένῃ τὰ πρῶτα θεῶν τ' ἐϲ φῦλον ἰούϲῃ.
ταύτην δ' ἐξ ἀρχῆϲ τιμὴν ἔχει ἠδὲ λέλογχε
μοῖραν ἐν ἀνθρώποιϲι καὶ ἀθανάτοιϲι θεοῖϲι,
παρθενίουϲ τ' ὀάρουϲ μειδήματα τ' ἐξαπάταϲ τε 205
τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε.

τοὺϲ δὲ πατὴρ Τιτῆναϲ ἐπίκληϲιν καλέεϲκε
παῖδαϲ νεικείων μέγαϲ Οὐρανόϲ, οὓϲ τέκεν αὐτόϲ·
φάϲκε δὲ τιταίνονταϲ ἀταϲθαλίῃ μέγα ῥέξαι
ἔργον, τοῖο δ' ἔπειτα τίϲιν μετόπιϲθεν ἔϲεϲθαι. 210

Νὺξ δ' ἔτεκε ϲτυγερόν τε Μόρον καὶ Κῆρα μέλαιναν
καὶ Θάνατον, τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων,
οὔ τινι κοιμηθεῖϲα θεὰ τέκε Νὺξ ἐρεβεννή·
δεύτερον αὖ Μῶμον καὶ Ὀιζὺν ἀλγινόεϲϲαν,
Ἑϲπερίδαϲ θ', αἷϲ μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο 215
χρύϲεα καλὰ μέλουϲι φέροντά τε δένδρεα καρπόν.

---

*Ἀφρογένειάν τε θεὰν καὶ ἐυστέφανον Κυθέρειαν* 196

*Κυπρογένειαν δ', ὅτι γέντο πολυκλύστῳ ἐνὶ Κύπρῳ,* 199
*ἠδὲ Φιλομηδέα, ὅτι μηδέων ἐξεφαάνθη.*

*καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνους,* 217
*Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵ τε βροτοῖσι*
*γεινομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε,*

τίκτε δὲ καὶ Νέμεϲιν, πῆμα θνητοῖϲι βροτοῖϲι,
Νὺξ ὀλοή· μετὰ τὴν δ' Ἀπάτην τέκε καὶ Φιλότητα
Γῆράϲ τ' οὐλόμενον, καὶ Ἔριν τέκε καρτερόθυμον.
αὐτὰρ Ἔριϲ ϲτυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα,
Λήθην τε Λιμόν τε καὶ Ἄλγεα δακρυόεντα,
Ὑϲμίναϲ τε Μάχαϲ τε Φόνουϲ τ' Ἀνδροκταϲίαϲ τε,
Νείκεά τε Ψεύδεά τε, Λόγουϲ Ἀμφιλογίαϲ τε,
Δυϲνομίην Ἄτην τε, ϲυνήθεαϲ ἀλλήλῃϲιν,
Ὅρκον θ', ὃϲ δὴ πλεῖϲτον ἐπιχθονίουϲ ἀνθρώπουϲ
πημαίνει, ὅτε κέν τιϲ ἑκὼν ἐπίορκον ὀμόϲϲῃ.

Νηρέα δ' ἀψευδέα καὶ ἀληθέα γείνατο Πόντοϲ
πρεϲβύτατον παίδων· αὐτὰρ καλέουϲι γέροντα,
οὕνεκα νημερτήϲ τε καὶ ἤπιοϲ, οὐδὲ θεμιϲτέων
λήθεται, ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδεν·
αὖτιϲ δ' αὖ Θαύμαντα μέγαν καὶ ἀγήνορα Φόρκυν
Γαίῃ μιϲγόμενοϲ καὶ Κητὼ καλλιπάρῃον,
Εὐρυβίην τ' ἀδάμαντοϲ ἐνὶ φρεϲὶ θυμὸν ἔχουϲαν.
Νηρῆοϲ δ' ἐγένοντο μεγήριτα τέκνα θεάων
πόντῳ ἐν ἀτρυγέτῳ καὶ Δωρίδοϲ ἠυκόμοιο,
κούρηϲ Ὠκεανοῖο τελήεντοϲ ποταμοῖο·
Πρωτώ τ' Εὐκράντη τε, Σαώ τ' Ἀμφιτρίτη τε,
Εὐδώρη τε Θέτιϲ τε, Γαλήνη τε Γλαύκη τε·
Κυμοθόη Σπειώ τε θοή, Θαλίη τ' ἐρόεϲϲα,
Παϲιθέη τ' Ἐρατώ τε καὶ Εὐνείκη ῥοδόπηχυϲ,
καὶ Μελίτη χαρίεϲϲα, καὶ Εὐλιμένη καὶ Ἀγαυή,
Δωτώ τε † Πρωτώ τε, Φέρουϲά τε Δυναμένη τε,
Νηϲαίη τε καὶ Ἀκταίη καὶ Πρωτομέδεια·
Δωρὶϲ καὶ Πανόπη καὶ εὐειδὴϲ Γαλάτεια,
Ἱπποθόη τ' ἐρόεϲϲα και Ἱππονόη ῥοδόπηχυϲ,
Κυμοδόκη θ', ἣ κύματ' ἐν ἠεροειδέι πόντῳ
πνοιάϲ τε ζαθέων ἀνέμων ϲὺν Κυματολήγῃ
ῥεῖα πρηΰνει καὶ ἐυϲφύρῳ Ἀμφιτρίτῃ·

---

*αἵ τ' ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσαι*
*οὐδέποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,*
*πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν, ὅς τις ἁμάρτῃ.*

---

v. 229. ψευδέαϲ τε Λόγουϲ v. 253. κυματολήγῃ

Κυμώ τ' Ἠιόνη τε, ἐυςτέφανός θ' Ἁλιμήδη,
Γλαυκονόμη τε φιλομμειδὴς καὶ Ποντοπόρεια,
Λειαγόρη τε καὶ Εὐαγόρη καὶ Λαομέδεια,
Πουλυνόμη τε καὶ Αὐτονόη καὶ Λυςιάναςςα,
Εὐάρνη τε φυήν τ' ἐρατὴ καὶ εἶδος ἄμωμος·
καὶ Ψαμάθη χαρίεςςα δέμας δίη τε Μενίππη,
Νηςώ τ' Εὐπόμπη τε, Θεμιςτώ τε Προνόη τε,
Νημερτής θ', ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
αὗται μὲν Νηρῆος ἀμύμονος ἐξεγένοντο
κοῦραι πεντήκοντα, ἀμύμονα ἔργ' εἰδυῖαι.
Θαύμας δ' Ὠκεανοῖο βαθυρρείταο θύγατρα
ἠγάγετ' Ἠλέκτρην· ἣ δ' ὠκεῖαν τέκεν Ἶριν,
ἠυκόμους θ' Ἅρπυιας, Ἀελλώ τ' Ὠκυπέτην τε,
αἵ ῥ' ἀνέμων πνοιῇςι καὶ οἰωνοῖς ἅμ' ἕπονται
ὠκείῃς πτερύγεςςι· μεταχρόνιαι γὰρ ἴαλλον.

Φόρκυϊ δ' αὖ Κητὼ Γραίας τέκε καλλιπαρῄους,
ἐκ γενετῆς πολιάς, τὰς δὴ Γραίας καλέουςιν
ἀθάνατοί τε θεοὶ χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι,
Πεφριδώ τ' ἐύπεπλον Ἐνυώ τε κροκόπεπλον·
Γοργούς θ', αἳ ναίουςι πέρην κλυτοῦ Ὠκεανοῖο
ἐςχατιῇ πρὸς νυκτός, ἵν' Ἑςπερίδες λιγύφωνοι,
Cθεινώ τ' Εὐρυάλη τε Μέδουςά τε λυγρὰ παθοῦςα.
ἡ μὲν ἔην θνητή, αἱ δ' ἀθάνατοι καὶ ἀγήρῳ,
αἱ δύο· τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης
ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεςιν εἰαρινοῖςι.
τῆς δ' ὅτε δὴ Περςεὺς κεφαλὴν ἀπεδειροτόμηςεν,
ἐξέθορε † Χρυςάωρ τε μέγας καὶ Πήγαςος ἵππος·
τῷ μὲν ἐπώνυμον ἦν, ὅτ' ἄρ' Ὠκεανοῦ περὶ πηγὰς
γένθ', ὃ δ' ἄορ χρύςειον ἔχων μετὰ χερςὶ φίλῃςι·
χὠ μὲν ἀποπτάμενος προλιπὼν χθόνα μητέρα μήλων
ἵκετ' ἐς ἀθανάτους, Ζηνὸς δ' ἐν δώμαςι ναίει,
βροντήν τε ςτεροπήν τε φέρων Διὶ μητιόεντι.
Χρυςάωρ δ' ἔτεκε † τρικέφαλον Γηρυονῆα
μιχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο·

---

v. 261 sq. Προνόη τε νημερτής, ἣ v. 270. καλλιπάρῃος v. 273. Πεφρηδώ

τὸν μὲν ἄρ᾽ ἐξενάριξε βίη Ἡρακληείη
βουϲὶ παρ᾽ εἰλιπόδεϲϲι περιρρύτῳ εἰν Ἐρυθείῃ,
ἤματι τῷ, ὅτε περ βοῦϲ ἤλαϲεν εὐρυμετώπουϲ
Τίρυνθ᾽ εἰϲ ἱερὴν διαβὰϲ πόρον Ὠκεανοῖο,
Ὄρθον τε κτείναϲ καὶ βουκόλον Εὐρυτίωνα
ϲταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ Ὠκεανοῖο.
ἣ δ᾽ ἔτεκ᾽ ἄλλο πέλωρον ἀμήχανον, οὐδὲν ἐοικὸϲ
θνητοῖϲ ἀνθρώποιϲ οὐδ᾽ ἀθανάτοιϲι θεοῖϲι,
ϲπῆι ἐνὶ γλαφυρῷ, θείην κρατερόφρον᾽ Ἔχιδναν,
ἥμιϲυ μὲν νύμφην ἑλικώπιδα, καλλιπάρῃον,
ἥμιϲυ δ᾽ αὖτε πέλωρον ὄφιν δεινόν τε μέγαν τε,
ποικίλον, ὠμηϲτήν, ζαθέηϲ ὑπὸ κεύθεϲι γαίηϲ.
ἔνθα δέ οἱ ϲπέοϲ ἐϲτὶ κάτω κοίλῃ ὑπὸ πέτρῃ,
τηλοῦ ἀπ᾽ ἀθανάτων τε θεῶν θνητῶν τ᾽ ἀνθρώπων
ἔνθ᾽ ἄρα οἱ δάϲϲαντο θεοὶ κλυτὰ δώματα ναίειν.
ἣ δ᾽ ἔρυτ᾽ εἰν Ἀρίμοιϲιν ὑπὸ χθόνα λυγρὴ Ἔχιδνα,
ἀθάνατοϲ νύμφη καὶ ἀγήραοϲ ἤματα πάντα.
τῇ δὲ Τυφάονά φαϲι μιγήμεναι ἐν φιλότητι,
δεινόν θ᾽ ὑβριϲτὴν ἄνομόν θ᾽ ἑλικώπιδι κούρῃ·
ἣ δ᾽ ὑποκυϲαμένη τέκετο κρατερόφρονα τέκνα.
Ὄρθον μὲν πρῶτον κύνα γείνατο Γηρυονῆι·
δεύτερον αὖτιϲ ἔτικτεν ἀμήχανον, οὔ τι φατειὸν
Κέρβερον ὠμηϲτήν, Ἀίδεω κύνα χαλκεόφωνον,
†πεντηκοντακέφαλον, ἀναιδέα τε κρατερόν τε·
τὸ τρίτον Ὕδρην αὖτιϲ ἐγείνατο λύγρ᾽ εἰδυῖαν
Λερναίην, ἣν θρέψε θεὰ λευκώλενοϲ Ἥρη
ἄπλητον κοτέουϲα βίῃ Ἡρακληείῃ·
καὶ τὴν μὲν Διὸϲ υἱὸϲ ἐνήρατο νηλέι χαλκῷ
( Ἀμφιτρυωνιάδηϲ ϲὺν ἀρηιφίλῳ Ἰολάῳ,
) Ἡρακλέηϲ βουλῇϲιν Ἀθηναίηϲ ἀγελείηϲ.
ἣ δὲ Χίμαιραν ἔτικτε πνέουϲαν ἀμαιμάκετον πῦρ,
δεινήν τε μεγάλην τε, ποδώκεά τε κρατερήν τε·
τῆϲ δ᾽ ἦν τρεῖϲ κεφαλαί, μία μὲν χαροποῖο λέοντοϲ,
ἣ δὲ χιμαίρηϲ, ἣ δ᾽ ὄφιοϲ, κρατεροῖο δράκοντοϲ·

---

*πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,* 323
*δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.*

---

v. 307. ὑβριϲτήν τ᾽ ἄνεμον ἑλικώπιδι

τὴν μὲν Πήγαϲοϲ εἷλε καὶ ἐϲθλὸϲ Βελλεροφόντηϲ.
ἣ δ' ἄρα Φῖκ' ὀλοὴν τέκε Καδμείοιϲιν ὄλεθρον
Ὄρθῳ ὑποδμηθεῖϲα Νεμειαῖόν τε λέοντα,
τόν ῥ' Ἥρη θρέψαϲα Διὸϲ κυδρὴ παράκοιτιϲ
γουνοῖϲιν κατένακϲε Νεμείηϲ, πῆμ' ἀνθρώποιϲ·
ἔνθ' ἄρ' ὅ γ' οἰκείων ἐλεφαίρετο φῦλ' ἀνθρώπων,
κοιρανέων Τρητοῖο Νεμείηϲ ἠδ' Ἀπέϲαντοϲ·
ἀλλά ἑ ἶϲ ἐδάμαϲϲε βίηϲ Ἡρακληείηϲ.
Κητὼ δ' ὁπλότατον Φόρκυι φιλότητι μιγεῖϲα
γείνατο δεινὸν ὄφιν, ὃϲ ἐρεμνῆϲ κεύθεϲι γαίηϲ
πείραϲιν ἐν μεγάλοιϲ παγχρύϲεα μῆλα φυλάϲϲει.
τοῦτο μὲν ἐκ Κητοῦϲ καὶ Φόρκυνοϲ γένοϲ ἐϲτί.

Τηθὺϲ δ' Ὠκεανῷ Ποταμοὺϲ τέκε δινήενταϲ,
Νεῖλόν τ' Ἀλφειόν τε καὶ Ἠριδανὸν βαθυδίνην,
Ϲτρυμόνα Μαίανδρόν τε καὶ Ἴϲτρον καλλιρέεθρον,
Φᾶϲίν τε Ῥῆϲόν τ', Ἀχελώιον ἀργυροδίνην,
Νέϲϲον τε Ῥοδίον θ' Ἁλιάκμονά θ' Ἑπτάπορόν τε,
Γρήνικόν τε καὶ Αἴϲηπον, θεῖόν τε Ϲιμοῦντα,
Πηνειόν τε καὶ Ἕρμον, ἐυρρείτην τε Κάικον,
Ϲαγγάριόν τε μέγαν, Λάδωνά τε Παρθένιόν τε,
Εὔηνόν τε καὶ Ἄρδηϲκον, θεῖόν τε Ϲκάμανδρον.
τίκτε δὲ θυγατέρων ἱερὸν γένοϲ, αἳ κατὰ γαῖαν
ἄνδραϲ κουρίζουϲι ϲὺν Ἀπόλλωνι ἄνακτι
καὶ Ποταμοῖϲ, ταύτην δὲ Διὸϲ πάρα μοῖραν ἔχουϲι,
Πειθώ τ' Ἀδμήτη τε, Ἰάνθη τ' Ἠλέκτρη τε,
Δωρίϲ τε Πρυμνώ τε καὶ Οὐρανίη θεοειδήϲ,
Ἱππώ τε Κλυμένη τε, Ῥόδειά τε Καλλιρόη τε,
Ζευξώ τε Κλυτίη τε, Ἰδυῖά τε Πειϲιθόη τε,
Πληξαύρη τε Γαλαξαύρη τ' ἐρατή τε Διώνη,
Μηλόβοϲίϲ τε Θόη τε καὶ εὐειδὴϲ Πολυδώρη,
Κερκηίϲ τε φυὴν ἐρατή, Πλουτώ τε βοῶπιϲ,
Περϲηίϲ τ' Ἰάνειρά τ' Ἀκάϲτη τε Ξάνθη τε,
Πετραίη τ' ἐρόεϲϲα, Μενεϲθώ τ' Εὐρώπη τε,
Μῆτίϲ τ' Εὐρυνόμη τε, Τελεϲθώ τε κροκόπεπλοϲ,
†Κρυϲηίϲ τ' Ἀϲίη τε καὶ ἱμερόεϲϲα Καλυψώ,
Εὐδώρη τε Τύχη τε καὶ Ἀμφιρὼ Ὠκυρόη τε,
καὶ Ϲτύξ, ἣ δή ϲφεων προφερεϲτάτη ἐϲτὶν ἁπαϲέων.

αὗται δ' Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
πρεcβύταται κοῦραι· πολλαί γε μέν εἰcι καὶ ἄλλαι·
τρὶc γὰρ χίλιαί εἰcι τανύcφυροι Ὠκεανῖναι,
αἵ ῥα πολυcπερέεc γαῖαν καὶ βένθεα λίμνηc
πάντῃ ὁμῶc ἐφέπουcι, θεάων ἀγλαὰ τέκνα.
τόccοι δ' αὖθ' ἕτεροι Ποταμοὶ καναχηδὰ ῥέοντεc,
υἱέεc Ὠκεανοῦ, τοὺc γείνατο πότνια Τηθύc·
τῶν ὄνομ' ἀργαλέον πάντων βροτὸν ἄνδρα ἐνίcπειν,
οἳ δὲ ἕκαcτοι ἴcαcιν, οἳ ἂν περιναιετάωcι.
Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Cελήνην
Ἠῶ θ', ἣ πάντεccιν ἐπιχθονίοιcι φαείνει
ἀθανάτοιc τε θεοῖc, τοὶ οὐρανὸν εὐρὺν ἔχουcι,
γείναθ' ὑποδμηθεῖc' Ὑπερίονοc ἐν φιλότητι.
Κρείῳ δ' Εὐρυβίη τέκεν ἐν φιλότητι μιγεῖcα
Ἀcτραῖόν τε μέγαν Πάλλαντά τε δῖα θεάων
Πέρcην θ', ὃc καὶ πᾶcι μετέπρεπεν ἰδμοcύνῃcιν.
Ἀcτραίῳ δ' Ἠὼc Ἀνέμουc τέκε καρτεροθύμουc,
ἀργέcτην Ζέφυρον Βορέην τ' αἰψηροκέλευθον
καὶ Νότον, ἐν φιλότητι θεὰ θεῷ εὐνηθεῖcα.
τοὺc δὲ μέτ' ἀcτέρα τίκτεν Ἑωcφόρον Ἠριγένεια,
ἄcτρα τε λαμπετόωντα, τά τ' οὐρανὸc ἐcτεφάνωται.

Cτὺξ δ' ἔτεκ' Ὠκεανοῦ θυγάτηρ Πάλλαντι μιγεῖcα
Ζῆλον καὶ Νίκην καλλίcφυρον ἐν μεγάροιcι,
καὶ Κράτοc ἠδὲ Βίην ἀριδείκετα γείνατο τέκνα.
τῶν οὐκ ἔcτ' ἀπάνευθε Διὸc δόμοc οὐδέ τιc ἕδρη,
οὐδ' ὁδόc, ὅππῃ μὴ κείνοιc θεὸc ἡγεμονεύει,
ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.
ὣc γὰρ ἐβούλευcε Cτὺξ ἄφθιτοc Ὠκεανίνη
ἤματι τῷ, ὅτε πάνταc Ὀλύμπιοc ἀcτεροπητὴc
ἀθανάτουc ἐκάλεccε θεοὺc ἐc μακρὸν Ὄλυμπον·
εἶπε δ', ὃc ἂν μετὰ εἷο θεῶν Τιτῆcι μάχοιτο,
μή τιν' ἀπορραίcειν γεράων, τιμὴν δὲ ἕκαcτον
ἑξέμεν ἣν τὸ πάροc γε μετ' ἀθανάτοιcι θεοῖcι·
τὸν δ' ἔφαθ', ὅc τιc ἄτιμοc ὑπὸ Κρόνου ἠδ' ἀγέραcτοc,
τιμῆc καὶ γεράων ἐπιβηcέμεν, ἣ θέμιc ἐcτίν.

v. 379. Ἀργέcτην, Ζέφυρον

ἦλθε δ' ἄρα πρώτη Cτὺξ ἄφθιτος Οὔλυμπόνδε
cὺν cφοῖcιν παίδεccι φίλου διὰ μήδεα πατρός.
τὴν δὲ Ζεὺc τίμηcε, περιccὰ δὲ δῶρα † δέδωκεν·
αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
παῖδας δ' ἤματα πάντα ἑοῦ μεταναιέτας εἶναι.
ὥc δ' αὔτωc πάντεccι διαμπερέc, ὥc περ ὑπέcτη,
ἐξετέλεcc'· αὐτὸc δὲ μέγα κρατεῖ ἠδὲ ἀνάccει.

Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν ἐc εὐνήν·
κυcαμένη † δ' ἤπειτα θεὰ θεοῦ ἐν φιλότητι
Λητὼ κυανόπεπλον ἐγείνατο, μείλιχον αἰεί,
ἤπιον ἀνθρώποιcι καὶ ἀθανάτοιcι θεοῖcι,
μείλιχον ἐξ ἀρχῆc, ἀγανώτατον ἐντὸc Ὀλύμπου.
γείνατο δ' Ἀcτερίην εὐώνυμον, ἥν ποτε Πέρcηc
ἠγάγετ' ἐc μέγα δῶμα, φίλην κεκλῆcθαι ἄκοιτιν·
ἣ δ' ὑποκυcαμένη Ἑκάτην τέκε, τὴν περὶ πάντων
Ζεὺc Κρονίδηc τίμηcε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
μοῖραν ἔχειν γαίηc τε καὶ ἀτρυγέτοιο θαλάccηc.

ἡ δὲ καὶ ἀcτερόεντοc ἀπ' Οὐρανοῦ ἔμμορε τιμῆc,
ἀθανάτοιc τε θεοῖcι τετιμένη ἐcτὶ μάλιcτα.
καὶ γὰρ νῦν, ὅτε πού τιc ἐπιχθονίων ἀνθρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάcκηται,
κικλήcκει Ἑκάτην, πολλή τέ οἱ ἕcπετο τιμὴ
ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάc,
καί τέ οἱ ὄλβον ὀπάζει, ἐπεὶ δύναμίc γε πάρεcτιν.
ὅccοι γὰρ Γαίηc τε καὶ Οὐρανοῦ ἐξεγένοντο
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶcαν ἁπάντων.
οὐδέ τί μιν Κρονίδηc ἐβιήcατο οὐδέ τ' ἀπηύρα,
ὅcc' ἔλαχεν Τιτῆcι μετὰ προτέροιcι θεοῖcιν,
ἀλλ' ἔχει, ὡc τὸ πρῶτον ἀπ' ἀρχῆc ἔπλετο δαcμόc.
οὐδ', ὅτι μουνογενήc, ἧccον θεὰ ἔμμορε τιμῆc,

καὶ γέραc ἐν γαίῃ τε καὶ οὐρανῷ ἠδὲ θαλάccῃ,

ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺc τίεται αὐτήν.
ᾧ δ' ἐθέλει, μεγάλωc παραγίγνεται ἠδ' ὀνίνηcιν,

v. 401. ἑοὺc

ἔν τ᾽ ἀγορῇ λαοῖϲι μεταπρέπει, ὅν κ᾽ ἐθέλῃϲιν.
ἠ δ᾽, ὁπότ᾽ ἐϲ πόλεμον φθιϲήνορα θωρήϲϲονται
ἀνέρεϲ, ἔνθα θεὰ παραγίγνεται, οἷϲ κ᾽ ἐθέλῃϲι
νίκην προφρονέωϲ ὀπάϲαι καὶ κῦδοϲ ὀρέξαι·
ἔν τε δίκῃ βαϲιλεῦϲι παρ᾽ αἰδοίοιϲι καθίζει.
ἐϲθλὴ δ᾽ αὖθ᾽, ὁπότ᾽ ἄνδρεϲ ἀγῶνι ἀεθλεύωϲιν·
ἔνθα θεὰ καὶ τοῖϲ παραγίγνεται ἠδ᾽ ὀνίνηϲι·
νικήϲαϲ δὲ βίῃ καὶ κάρτεϊ καλὸν ἄεθλον
ῥεῖα φέρει χαίρων τε, τοκεῦϲι δὲ κῦδοϲ ὀπάζει.
ἐϲθλὴ δ᾽ ἱππήεϲϲι παρεϲτάμεν, οἷϲ κ᾽ ἐθέλῃϲι,
καὶ τοῖϲ, οἳ γλαυκὴν δυϲπέμφελον ἐργάζονται,
εὔχονται δ᾽ Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοϲιγαίῳ.
ῥηιδίωϲ δ᾽ ἄγρην κυδρὴ θεὸϲ ὤπαϲε πολλήν,
ῥεῖα δ᾽ ἀφείλετο φαινομένην, ἐθέλουϲά γε θυμῷ.
ἐϲθλὴ δ᾽ ἐν ϲταθμοῖϲι ϲὺν Ἑρμῇ ληίδ᾽ ἀέξειν,
βουκολίαϲ τ᾽ ἀγέλαϲ τε καὶ αἰπόλια πλατέ᾽ αἰγῶν
ποίμναϲ τ᾽ εἰροπόκων ὀίων, θυμῷ γ᾽ ἐθέλουϲα,
ἐξ ὀλίγων βριάει † καὶ ἐκ πολλῶν μείονα θῆκεν.
οὕτω τοι καὶ μουνογενὴϲ ἐκ μητρὸϲ ἐοῦϲα
πᾶϲι μετ᾽ ἀθανάτοιϲι τετίμηται γεράεϲϲι.
θῆκε δέ μιν Κρονίδηϲ κουροτρόφον, οἳ μετ᾽ ἐκείνην
ὀφθαλμοῖϲιν ἴδοντο φάοϲ πολυδερκέοϲ Ἠοῦϲ.
οὕτωϲ ἐξ ἀρχῆϲ κουροτρόφοϲ, αἳ δέ τε τιμαί.

Ῥείη δ᾽ † ὑποδμηθεῖϲα Κρόνῳ τέκε φαίδιμα τέκνα,
Ἱϲτίην Δήμητρα καὶ Ἥρην χρυϲοπέδιλον
ἴφθιμόν τ᾽ Ἀίδην, ὃϲ ὑπὸ χθονὶ δώματα ναίει
νηλεὲϲ ἦτορ ἔχων, καὶ ἐρίκτυπον Ἐννοϲίγαιον,
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ᾽ ἠδὲ καὶ ἀνδρῶν,
τοῦ καὶ ὑπὸ βροντῆϲ πελεμίζεται εὐρεῖα χθών.
καὶ τοὺϲ μὲν κατέπινε μέγαϲ Κρόνοϲ, ὅϲ τιϲ ἕκαϲτοϲ
νηδύοϲ ἐξ ἱερῆϲ μητρὸϲ πρὸϲ γούναθ᾽ ἵκοιτο,
τὰ φρονέων, ἵνα μή τιϲ ἀγαυῶν Οὐρανιώνων
ἄλλοϲ ἐν ἀθανάτοιϲιν ἔχοι βαϲιληίδα τιμήν.
πεύθετο γὰρ Γαίηϲ τε καὶ Οὐρανοῦ ἀϲτερόεντοϲ,
οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι,
καὶ κρατερῷ περ ἐόντι, Διὸϲ μεγάλου διὰ βουλάϲ.

v. 465. πατρὸϲ μεγάλου

τῷ ὅγε † οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε· Ῥέην δ' ἔχε πένθος ἄλαστον.
ἀλλ' ὅτε δὴ Δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
τοὺς αὐτῆς, Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,
μῆτιν συμφράσσασθαι, ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον, τίσαιτο δ' ἐρινῦς πατρὸς ἑοῖο
*παίδων, οὓς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.*
οἳ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
καί οἱ πεφραδέτην, ὅσα περ πέπρωτο γενέσθαι
ἀμφὶ Κρόνῳ βασιλῆι καὶ υἱέι καρτεροθύμῳ.
πέμψαν δ' ἐς Λύκτον Κρήτης ἐς πίονα δῆμον,
ὁππότ' ἄρ' ὁπλότατον παίδων ἤμελλε τεκέσθαι,
Ζῆνα μέγαν· τὸν μέν οἱ ἐδέξατο Γαῖα πελώρη
Κρήτῃ ἐν εὐρείῃ τρεφέμεν ἀτιταλλέμεναί τε.
ἔνθα μὲν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν
πρώτην ἐς Λύκτον· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα
ἄντρῳ ἐν ἠλιβάτῳ, ζαθέης ὑπὸ κεύθεσι γαίης,
Αἰγαίῳ ἐν ὄρει πεπυκασμένῳ ὑλήεντι.
τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξεν
Οὐρανίδῃ μέγ' ἄνακτι, θεῶν προτέρῳ βασιλῆι.
τὸν τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐγκάτθετο νηδύν,
σχέτλιος· οὐδ' ἐνόησε μετὰ φρεσίν, ὥς οἱ ὀπίσσω
ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
λείπεθ', ὅ μιν τάχ' ἔμελλε βίῃ καὶ χερσὶ δαμάσσας
τιμῆς ἐξελάαν, ὃ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.
καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
ηὔξετο τοῖο ἄνακτος· ἐπιπλομένων δ' ἐνιαυτῶν
(Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθεὶς
ὃν γόνον ἂψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης,
) νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο·
πρῶτον δ' † ἐξήμησε λίθον, πύματον καταπίνων.
τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὕπο Παρνησοῖο,
σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσι.

λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ἀπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσιν·

οἵ οἱ ἀπεμνήcαντο χάριν εὐεργεcιάων,
δῶκαν δὲ βροντὴν ἠδ᾽ αἰθαλόεντα κεραυνὸν
καὶ cτεροπήν· τὸ πρὶν δὲ πελώρη Γαῖα κεκεύθει·
τοῖc πίcυνοc θνητοῖcι καὶ ἀθανάτοιcιν ἀνάccει.

κούρην δ᾽ Ἰαπετὸc καλλίcφυρον Ὠκεανίνην
ἠγάγετο Κλυμένην καὶ ὁμὸν λέχοc εἰcανέβαινεν·
ἡ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα,
τίκτε δ᾽ ὑπερκύδαντα Μενοίτιον ἠδὲ Προμηθέα
ποικίλον αἰολόμητιν, ἁμαρτίνοόν τ᾽ Ἐπιμηθέα·
ὃc κακὸν ἐξ ἀρχῆc γένετ᾽ ἀνδράcιν ἀλφηcτῇcι·
πρῶτοc γάρ ῥα Διὸc πλαcτὴν ὑπέδεκτο γυναῖκα
παρθένον. ὑβριcτὴν δὲ Μενοίτιον εὐρύοπα Ζεὺc
εἰc Ἔρεβοc κατέπεμψε βαλὼν ψολόεντι κεραυνῷ
εἵνεκ᾽ ἀταcθαλίηc τε καὶ ἠνορέηc ὑπερόπλου.
Ἄτλαc δ᾽ οὐρανὸν εὐρὺν ἔχει κρατερῆc ὑπ᾽ἀνάγκη
πείραcιν ἐν γαίηc πρόπαρ Ἑcπερίδων λιγυφώνων
ἑcτηώc, κεφαλῇ τε καὶ ἀκαμάτῃcι χέρεccι·
ταύτην γάρ οἱ μοῖραν ἐδάccατο μητίετα Ζεύc.
δῆcε δ᾽ ἀλυκτοπέδῃcι Προμηθέα ποικιλόβουλον,
δεcμοῖc ἀργαλέοιcι μέcον διὰ κίον᾽ ἐλάccαc·
καί οἱ ἐπ᾽αἰετὸν ὦρcε τανύπτερον, αὐτὰρ ὅ γ᾽ ἧπι
ἤcθιεν ἀθάνατον· τὸ δ᾽ ἀέξετο ἶcον ἁπάντῃ
νυκτόc, ὅcον πρόπαν ἦμαρ ἔδοι τανυcίπτεροc ὄρνιc.
τὸν μὲν ἄρ᾽ Ἀλκμήνηc καλλιcφύρου ἄλκιμοc υἱὸι
Ἡρακλέηc ἔκτεινε, κακὴν δ᾽ ἀπὸ νοῦcον ἄλαλκεν
Ἰαπετιονίδῃ καὶ ἐλύcατο δυcφροcυνάων,
οὐκ ἀέκητι Ζηνὸc Ὀλυμπίου ὑψιμέδοντοc,
ὄφρ᾽ Ἡρακλῆοc Θηβαγενέοc κλέοc εἴη
πλεῖον ἔτ᾽ ἢ τὸ πάροιθεν ἐπὶ χθόνα πουλυβότειραν
ταῦτ᾽ ἄρα † ἁζόμενοc τίμα ἀριδείκετον υἱόν·
καί περ χωόμενοc παύθη χόλου, ὃν πρὶν ἔχεcκεν,
οὕνεκ᾽ ἐρίζετο βουλὰc ὑπερμενέι Κρονίωνι.
καὶ γὰρ ὅτ᾽ ἐκρίνοντο θεοὶ θνητοί τ᾽ ἄνθρωποι
Μηκώνῃ, τότ᾽ ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
δαccάμενοc προὔθηκε Διὸc νόον ἐξαπαφίcκων.

v. 521. δῆcαc ἀλυκτοπέδῃcι

τῷ μὲν γὰρ cάρκαc τε καὶ ἔγκατα πίονι δημῷ
ἐν ῥινῷ κατέθηκε καλύψαc γαcτρὶ βοείῃ·
τῷ δ' αὖτ' ὀcτέα λευκὰ βοὸc δολίῃ ἐπὶ τέχνῃ
εὐθετίcαc κατέθηκε καλύψαc ἀργέτι δημῷ.
δὴ τότε μιν προcέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
«Ἰαπετιονίδη, πάντων ἀριδείκετ' ἀνάκτων,
ὦ πέπον, ὡc ἑτεροζήλωc διεδάccαο μοίραc.»
ὣc φάτο κερτομέων Ζεὺc ἄφθιτα μήδεα εἰδώc.
τὸν δ' αὖτε προcέειπε Προμηθεὺc ἀγκυλομήτηc,
ἦκ' ἐπιμειδήcαc, δολίηc δ' οὐ λήθετο τέχνηc·
«Ζεῦ κύδιcτε, μέγιcτε θεῶν αἰειγενετάων,
τῶνδ' ἕλευ, ὁπποτέρην cε ἐνὶ φρεcὶ θυμὸc ἀνώγει.»
φῆ ῥα δολοφρονέων· Ζεὺc δ' ἄφθιτα μήδεα εἰδὼc
γνῶ ῥ' οὐδ' ἠγνοίηcε δόλον· κακὰ δ' ὄccετο θυμῷ
θνητοῖc ἀνθρώποιcι, τὰ καὶ τελέεcθαι ἔμελλε.
χερcὶ δ' ὅ γ' ἀμφοτέρῃcιν ἀνείλετο λευκὸν ἄλειφα.
χώcατο δὲ φρέναc, ἀμφὶ χόλοc δέ μιν ἵκετο θυμόν,
ὡc ἴδεν ὀcτέα λευκὰ βοὸc δολίῃ ἐπὶ τέχνῃ.
ἐκ τοῦ δ' ἀθανάτοιcιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
καίουc' ὀcτέα λευκὰ θυηέντων ἐπὶ βωμῶν.
τὸν δὲ μέγ' ὀχθήcαc προcέφη νεφεληγερέτα Ζεύc·
«Ἰαπετιονίδη, πάντων περὶ μήδεα εἰδώc,
ὦ πέπον, οὐκ ἄρα πω δολίηc ἐπελήθεο τέχνηc.»
ὣc φάτο χωόμενοc Ζεὺc ἄφθιτα μήδεα εἰδώc.
ἐκ τούτου δ' ἤπειτα δόλου μεμνημένοc αἰεὶ
οὐκ ἐδίδου † μελίοιcι πυρὸc μένοc ἀκαμάτοιο
θνητοῖc ἀνθρώποιc, οἳ ἐπὶ χθονὶ ναιετάουcιν.
ἀλλά μιν ἐξαπάτηcεν ἐὺc πάιc Ἰαπετοῖο
κλέψαc ἀκαμάτοιο πυρὸc τηλέcκοπον αὐγὴν
ἐν κοίλῳ νάρθηκι· δάκεν δ' ἄρα νειόθι θυμὸν
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωcε δέ μιν φίλον ἦτορ,
ὡc ἴδεν ἀνθρώποιcι πυρὸc τηλέcκοπον αὐγήν.
αὐτίκα δ' ἀντὶ πυρὸc τεῦξεν κακὸν ἀνθρώποιcι·
γαίηc γὰρ cύμπλαccε περικλυτὸc Ἀμφιγυήειc
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάc.
ζῶcε δὲ καὶ κόcμηcε θεὰ γλαυκῶπιc Ἀθήνη

---

v. 553. ἄλειφαρ

(· ἀργυφέῃ ἐσθῆτι· κατὰ κρῆθεν δὲ καλύπτρην
(· δαιδαλέην χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι.
·) ἀμφὶ δέ οἱ στεφάνους νεοθηλέας ἄνθεσι ποίης
·) ἱμερτοὺς παρέθηκε καρήατι Παλλὰς Ἀθήνη.
(· ἀμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε,
(· τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις
(· ἀσκήσας παλάμῃσι, χαριζόμενος Διὶ πατρί.
(· τῇ δ᾽ ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
(· κνώδαλ᾽, ὅσ᾽ ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα,
(· τῶν ὅ γε πόλλ᾽ ἐνέθηκε—χάρις δ᾽ ἀπελάμπετο πολλή—
(· θαυμάσια, ζωοῖσιν ἐοικότα φωνήεσσιν.
αὐτὰρ ἐπειδὴ τεῦξε καλὸν κακὸν ἀντ᾽ ἀγαθοῖο,
ἐξάγαγ᾽, ἔνθα περ ἄλλοι ἔσαν θεοὶ ἠδ᾽ ἄνθρωποι,
κόσμῳ ἀγαλλομένην γλαυκώπιδος ὀβριμοπάτρης.
θαῦμα δ᾽ ἔχ᾽ ἀθανάτους τε θεοὺς θνητούς τ᾽ ἀνθρώπους,
ὡς εἶδον δόλον αἰπύν, ἀμήχανον ἀνθρώποισιν.

(· ἐκ τῆς γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων,
·) τῆς γὰρ ὀλώιόν ἐστι γένος καὶ φῦλα γυναικῶν·
πῆμα μέγα θνητοῖσι μετ᾽ ἀνδράσι ναιετάουσιν,
οὐλομένης πενίης οὐ σύμφοροι, ἀλλὰ κόροιο.

ὡς δ᾽ ὁπότ᾽ ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι
κηφῆνας βόσκουσι, κακῶν ξυνήονας ἔργων,
αἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἠμάτιαι σπεύδουσι τιθεῖσί τε κηρία λευκά,
οἱ δ᾽ ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους
ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ᾽ ἀμῶνται·
ὣς δ᾽ αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκας
Ζεὺς ὑψιβρεμέτης θῆκε ξυνήονας ἔργων
ἀργαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ᾽ ἀγαθοῖο.

ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ᾽ ἐπὶ γῆρας ἵκηται,
χήτει γηροκόμοιο, ὅ γ᾽ οὐ βιότου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
χηρωσταί. ᾧ δ᾽ αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ᾽ ἔσχεν ἄκοιτιν ἀρηρυῖαν πραπίδεσσι,
τῷ δέ τ᾽ ἀπ᾽ αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει

ἔμμεναι· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
ζώει ἐνὶ cτήθεccιν ἔχων ἀλίαcτον ἀνίην
θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεcτον κακόν ἐcτιν.

ὣc οὐκ ἔcτι Διὸc κλέψαι νόον οὐδὲ παρελθεῖν.
οὐδὲ γὰρ Ἰαπετιονίδηc ἀκάκητα Προμηθεὺc
τοῖό γ᾽ ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ᾽ ὑπ᾽ ἀνάγκηc
καὶ πολύιδριν ἐόντα μέγαc κατὰ δεcμὸc ἐρύκει.

†Βριάρεῳ δ᾽ ὡc πρῶτα πατὴρ ὠδύccατο θυμῷ,
Κόττῳ τ᾽ ἠδὲ Γύγῃ, δῆcε κρατερῷ ἐνὶ δεcμῷ,
ἠνορέην ὑπέροπλον ἀγώμενοc ἠδὲ καὶ εἶδοc
καὶ μέγεθοc, κατένασσε δ᾽ ὑπὸ χθονὸc εὐρυοδείηc·
ἔνθ᾽ οἵ γ᾽ ἄλγε᾽ ἔχοντεc ὑπὸ χθονὶ ναιετάοντεc
εἵατ᾽ ἐπ᾽ ἐcχατιῇ μεγάληc ἐν πείραcι γαίηc
δηθὰ μάλ᾽, ἀχνύμενοι, κραδίῃ μέγα πένθοc ἔχοντεc.
ἀλλά cφεαc Κρονίδηc τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
οὓc τέκεν ἠύκομοc Ῥείη Κρόνου ἐν φιλότητι,
Γαίηc φραδμοcύνῃcιν ἀνήγαγον ἐc φάοc αὖτιc·
αὐτὴ γάρ cφιν ἅπαντα διηνεκέωc κατέλεξε,
cὺν κείνοιcι † νίκην τε καὶ ἀγλαὸν εὖχοc ἀρέcθαι.
δηρὸν γὰρ μάρναντο πόνον θυμαλγέ᾽ ἔχοντεc
Τιτῆνέc τε θεοὶ καὶ ὅcοι Κρόνου ἐξεγένοντο
ἀντίον ἀλλήλοιcι διὰ κρατερὰc ὑcμίναc·
οἱ μὲν ἀφ᾽ ὑψηλῆc Ὄθρυοc Τιτῆνεc ἀγαυοί,
οἱ δ᾽ ἄρ᾽ ἀπ᾽ Οὐλύμποιο θεοὶ δωτῆρεc ἐάων,
οὓc τέκεν ἠύκομοc Ῥείη Κρόνῳ εὐνηθεῖcα.
οἵ ῥα τότ᾽ ἀλλήλοιcι μάχην θυμαλγέ᾽ ἔχοντεc
cυνεχέωc ἐμάχοντο δέκα πλείουc ἐνιαυτούc·
οὐδέ τιc ἦν ἔριδοc χαλεπῆc λύcιc οὐδὲ τελευτὴ
οὐδετέροιc, ἶcον δὲ τέλοc τέτατο πτολέμοιο.
ἀλλ᾽ ὅτε δὴ κείνοιcι παρέcχεθεν ἄρμενα πάντα,
νέκταρ τ᾽ ἀμβροcίην τε, τά περ θεοὶ αὐτοὶ ἔδουcι,
πάντων ἐν cτήθεccιν ἀέξετο θυμὸc ἀγήνωρ.
ὡc νέκταρ δ᾽ ἐπάcαντο καὶ ἀμβροcίην ἐρατεινήν,
δὴ τότε τοῖc μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
«κέκλυτέ μευ, Γαίηc τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ᾽ εἴπω, τά με θυμὸc ἐνὶ cτήθεccι κελεύει.

ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοιϲι
νίκηϲ καὶ κράτεοϲ πέρι μαρνάμεθ' ἤματα πάντα
Τιτῆνέϲ τε θεοὶ καὶ ὅϲοι Κρόνου ἐκγενόμεϲθα.
ὑμεῖϲ δὲ μεγάλην τε βίην καὶ χεῖραϲ ἀάπτουϲ
φαίνετε Τιτήνεϲϲιν ἐναντίον ἐν δαῒ λυγρῇ,
μνηϲάμενοι φιλότητοϲ ἐνηέοϲ, ὅϲϲα παθόντεϲ
ἐϲ φάοϲ ἂψ ἀφίκεϲθε δυϲηλεγέοϲ ἀπὸ δεϲμοῦ
ἡμετέραϲ διὰ βουλὰϲ ὑπὸ ζόφου ἠερόεντοϲ.»
ὣϲ φάτο· τὸν δ' ἐξαῦτιϲ ἀμείβετο Κόττοϲ ἀμύμων.
«δαιμόνι', οὐκ ἀδάητα πιφαύϲκεαι, ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν, † ὅτι περὶ μὲν πραπίδεϲ, περὶ δ' ἐϲτὶ νόημα,
ἀλκτὴρ δ' ἀθανάτοιϲιν ἀρῆϲ γένεο κρυεροῖο·
ϲῇϲι δ' ἐπιφροϲύνῃϲιν ὑπὸ ζόφου ἠερόεντοϲ
ἄψορρον † δ' ἐξαῦτιϲ ἀμειλίκτων ὑπὸ δεϲμῶν
ἠλύθομεν, Κρόνου υἱὲ ἄναξ, ἀνάελπτα παθόντεϲ.
τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
ῥυϲόμεθα κράτοϲ ὑμὸν ἐν αἰνῇ δηιοτῆτι,
μαρνάμενοι Τιτῆϲιν ἀνὰ κρατερὰϲ ὑϲμίναϲ.»
ὣϲ φάτ'. ἐπῄνηϲαν δὲ θεοὶ δωτῆρεϲ ἐάων,
μῦθον ἀκούϲαντεϲ· πολέμου δ' ἐλιλαίετο θυμὸϲ
μᾶλλον ἔτ', ἢ τὸ πάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν
πάντεϲ, θήλειαί τε καὶ ἄρϲενεϲ, ἤματι κείνῳ,
Τιτῆνέϲ τε θεοὶ καὶ ὅϲοι Κρόνου ἐξεγένοντο,
οὕϲ τε Ζεὺϲ Ἐρέβευϲφιν ὑπὸ χθονὸϲ ἧκε φόωϲδε,
δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντεϲ·
τῶν ἑκατὸν μὲν χεῖρεϲ ἀπ' ὤμων ἀίϲϲοντο
πᾶϲιν ὁμῶϲ, κεφαλαὶ δὲ ἑκάϲτῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ ϲτιβαροῖϲι μέλεϲϲιν.
οἳ τότε Τιτήνεϲϲι κατέϲταθεν ἐν δαῒ λυγρῇ,
πέτραϲ ἠλιβάτουϲ ϲτιβαραῖϲ ἐν χερϲὶν ἔχοντεϲ.
Τιτῆνεϲ δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγαϲ
προφρονέωϲ, χειρῶν τε βίηϲ θ' ἅμα ἔργον ἔφαινον
ἀμφότεροι. δεινὸν δὲ περίαχε πόντοϲ ἀπείρων,
γῆ δὲ μέγ' ἐϲμαράγηϲεν, ἐπέϲτενε δ' οὐρανὸϲ εὐρὺϲ
ϲειόμενοϲ, πεδόθεν δ' ἐτινάϲϲετο μακρὸϲ Ὄλυμποϲ
ῥιπῇ ὕπ' ἀθανάτων· ἔνοϲιϲ δ' ἵκανε βαρεῖα

---

v. 650. ἐναντίοι

Τάρταρον ἠερόεντα, ποδῶν † αἰπειά τ' ἰωὴ
ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων·
ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα
κεκλομένων· οἳ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.

οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος, ἀλλά νυ τοῦ γε
εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
φαῖνε βίην· ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμπου
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοὶ
ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο
χειρὸς ἀπὸ στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες,
ταρφέες· ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζε
καιομένη, λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.
ἔζεε δὲ χθὼν πᾶσα καὶ Ὠκεανοῖο ῥέεθρα
πόντος τ' ἀτρύγετος· τοὺς δ' ἄμφεπε θερμὸς ἀυτμὴ
Τιτῆνας χθονίους· φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
ἄσπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
καῦμα δὲ θεσπέσιον κάτεχεν Χάος· εἴσατο δ' ἄντα
ὀφθαλμοῖσιν ἰδεῖν ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι
αὔτως, ὡς ὅτε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε
πίλνατο· τοῖος γάρ † κε μέγας † ὑπὸ δοῦπος ὀρώρει
τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος·
τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων.
σὺν δ' ἄνεμοι ἔνοσίν τε κόνιν θ' ἅμα † ἐσφαράγιζον,
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
κῆλα Διὸς μεγάλοιο, φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
ἐς μέσον ἀμφοτέρων· ὄτοβος δ' ἄπλητος ὀρώρει
σμερδαλέης ἔριδος, κάρτος δ' ἀνεφαίνετο ἔργων.
ἐκλίνθη δὲ μάχη· πρὶν δ' ἀλλήλοις ἐπέχοντες
ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.

οἳ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν,
Κόττος τε Βριάρεώς τε Γύγης τ' ἄατος πολέμοιο·

---

v. 703. μέγιστος δοῦπος v. 706. κονίην τ' ἐσφαράγιζον v. 709. κόναβος δ' ἄπλητος

οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ᾽ ἐσκίασαν βελέεσσι
Τιτῆνας, καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
*νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας,*
τόσσον ἔνερθ᾽ ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ᾽ ἀπὸ γαίης·
ἶσον γάρ τ᾽ ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα.

ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιὼν δεκάτῃ δ᾽ ἐς γαῖαν ἵκοιτο·
ἐννέα δ᾽ αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἐκ γαίης κατιὼν δεκάτῃ δ᾽ ἐς Τάρταρ᾽ ἵκοιτο.

τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται, ἀμφὶ δέ μιν νὺξ
τριστοιχεὶ κέχυται περὶ δειρήν· αὐτὰρ ὕπερθε
γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.

ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
κεκρύφαται βουλῇσι Διὸς νεφεληγερέταο·

χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.

τοῖς οὐκ ἐξιτόν ἐστι· θύρας δ᾽ ἐπέθηκε Ποσειδῶν
χαλκείας, τεῖχος δὲ περοίχεται ἀμφοτέρωθεν·
ἔνθα Γύγης Κόττος τε καὶ † ὁ Βριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.

ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος
πόντου τ᾽ ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ᾽ ἔασιν,
ἀργαλέ᾽, εὐρώεντα, τά τε στυγέουσι θεοί περ·

χάσμα μέγ᾽· οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
οὖδας ἵκοιτ᾽, εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο,
ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι πρὸ θύελλα θυέλλῃ

---

*v. 725. Τάρταρον* ἵκοι v. 730. Διὸς μεγάλοιο ἕκητι
*v. 732. πύλας δ᾽* ἐπέθηκε

ἀργαλέη· δεινὸν δὲ καὶ ἀθανάτοιcι θεοῖcι
τοῦτο τέρας· καὶ Νυκτὸc ἐρεμνῆc οἰκία δεινὰ
ἕcτηκεν, νεφέληc κεκαλυμμένα κυανέῃcι.

τῶν πρόcθ' Ἰαπετοῖο πάιc † ἔχετ' οὐρανὸν εὐρὺν
ἑcτηώc, κεφαλῇ τε καὶ ἀκαμάτῃcι χέρεccιν
ἀcτεμφέωc, ὅθι Νύξ τε καὶ Ἡμέρη ἀμφὶc ἰοῦcαι
ἀλλήλαc προcέειπον ἀμειβόμεναι μέγαν οὐδὸν
χάλκεον· ἣ μὲν ἔcω καταβήcεται, ἣ δὲ θύραζε
ἔρχεται, οὐδέ ποτ' ἀμφοτέραc δόμοc ἐντὸc ἐέργει·
ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοcθεν ἐοῦcα
γαῖαν ἐπιcτρέφεται, ἣ δ' αὖ δόμου ἐντὸc ἐοῦcα
μίμνει τὴν αὐτῆc ὥρην ὁδοῦ, ἔc τ' ἂν ἵκηται·
ἣ μὲν ἐπιχθονίοιcι φάοc πολυδερκὲc ἔχουcα,
ἣ δ' Ὕπνον μετὰ χερcὶ καcίγνητον Θανάτοιο,
Νὺξ ὀλοή, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.
ἔνθα δὲ Νυκτὸc παῖδεc ἐρεμνῆc οἰκί' ἔχουcιν,
Ὕπνοc καὶ Θάνατοc, δεινοὶ θεοί· οὐδέ ποτ' αὐτοὺc
Ἠέλιοc φαέθων ἐπιδέρκεται ἀκτίνεccιν
οὐρανὸν εἰcανιών οὐδ' οὐρανόθεν καταβαίνων.
τῶν ἕτεροc μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάccηc
ἥcυχοc ἀνcτρέφεται καὶ μείλιχοc ἀνθρώποιcι,
τοῦ δὲ cιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
νηλεὲc ἐν cτήθεccιν· ἔχει δ' ὃν πρῶτα λάβῃcιν
ἀνθρώπων, ἐχθρὸc δὲ καὶ ἀθανάτοιcι θεοῖcιν.

ἔνθα θεοῦ χθονίου πρόcθεν δόμοι ἠχήεντεc
ἰφθίμου τ' Ἀίδεω καὶ ἐπαινῆc Περcεφονείηc
ἑcτᾶcιν, δεινὸc δὲ κύων προπάροιθε φυλάccει
νηλειήc, τέχνην δὲ κακὴν ἔχει· ἐc μὲν ἰόνταc
cαίνει ὁμῶc οὐρῇ τε καὶ οὔαcιν ἀμφοτέροιcιν,
ἐξελθεῖν δ' οὐκ αὖτιc ἐᾷ πάλιν, ἀλλὰ δοκεύων
ἐcθίει, ὅν κε λάβῃcι πυλέων ἔκτοcθεν ἰόντα.

ἔνθα δὲ ναιετάει cτυγερὴ θεὸc ἀθανάτοιcι,

---

*ἰφθίμου τ' Ἀίδεω καὶ ἐπαινῆς Περσεφονείης.* 774

---

v. 748. ἆccον ἰοῦcαι

δεινὴ Cτύξ, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο
πρεcβυτάτη· νόcφιν δὲ θεῶν κλυτὰ δώματα ναίει
μακρῇcιν πέτρῃcι κατηρεφέ᾽· ἀμφὶ δὲ πάντῃ
κίοcιν ἀργυρέοιcι πρὸc οὐρανὸν ἐcτήρικται.
παῦρα δὲ Θαύμαντοc θυγάτηρ πόδαc ὠκέα Ἶριc
ἀγγελίῃ πωλεῖται ἐπ᾽ εὐρέα νῶτα θαλάccηc,
ὁππότ᾽ ἔριc καὶ νεῖκοc ἐν ἀθανάτοιcιν ὄρηται,
καί ῥ᾽ ὅc τιc ψεύδηται Ὀλύμπια δώματ᾽ ἐχόντων·
Ζεὺc δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
τηλόθεν ἐν χρυcέῃ προχόῳ πολυώνυμον ὕδωρ
ψυχρόν, ὅ τ᾽ ἐκ πέτρηc καταλείβεται ἠλιβάτοιο,
ὑψηλῆc· πολλὸν δέ θ᾽ ὑπὸ χθονὸc εὐρυοδείηc
ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν
Ὠκεανοῖο κέραc, δεκάτη δ᾽ ἐπὶ μοῖρα δέδαcται·
ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάccηc
δίνῃc ἀργυρέῃc εἱλιγμένοc εἰc ἅλα πίπτει·
ἣ δὲ μί᾽ ἐκ πέτρηc προρέει, μέγα πῆμα θεοῖcιν.
ὅc κεν τὴν ἐπίορκον ἀπολείψαc ἐπομόccῃ
ἀθανάτων, οἳ ἔχουcι κάρη νιφόεντοc Ὀλύμπου,
κεῖται νήυτμοc τετελεcμένον εἰc ἐνιαυτόν,
οὐδέ ποτ᾽ ἀμβροcίηc καὶ νέκταροc ἔρχεται ἆccον
βρώcιοc, ἀλλά τε κεῖται ἀνάπνευcτοc καὶ ἄναυδοc
cτρωτοῖc ἐν λεχέεccι, κακὸν δ᾽ ἐπὶ κῶμα καλύπτει.
αὐτὰρ ἐπὴν νοῦcον τελέcῃ μέγαν εἰc ἐνιαυτόν,
ἄλλοc δ᾽ ἐξ ἄλλου δέχεται χαλεπώτεροc ἆθλοc·
εἰνάετεc δὲ θεῶν ἀπαμείρεται αἰὲν ἐόντων,
οὐδέ ποτ᾽ ἐc βουλὴν † ἐπιμίcγεται οὐδ᾽ ἐπὶ δαῖταc
ἐννέα πάντ᾽ ἔτεα· δεκάτῳ δ᾽ ἐπιμίcγεται αὖτιc
εἰρέαc ἀθανάτων, οἳ Ὀλύμπια δώματ᾽ ἔχουcι.
τοῖον ἄρ᾽ ὅρκον ἔθεντο θεοὶ Cτυγὸc ἄφθιτον ὕδωρ
ὠγύγιον· τὸ δ᾽ ἵηcι καταcτυφέλου διὰ χώρου.

---

*ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος*
*πόντου τ᾽ ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος*
*ἑξείης πάντων πηγαὶ καὶ πείρατ᾽ ἔασιν*
*ἀργαλέ᾽, εὐρώεντα, τά τε στυγέουσι θεοί περ.*

---

v. 781. ἀγγελίην v. 795. νήποτμοc v. 801. ἀπομείρεται

ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ χάλκεοϲ οὐδὸϲ
ἀϲτεμφήϲ, ῥίζῃϲι διηνεκέεϲϲιν ἀρηρώϲ,
αὐτοφυήϲ· πρόϲθεν δὲ θεῶν ἔκτοϲθεν ἁπάντων
Τιτῆνεϲ ναίουϲι, πέρην Χάεοϲ ζοφεροῖο.
αὐτὰρ ἐριϲμαράγοιο Διὸϲ κλειτοὶ ἐπίκουροι
δώματα ναιετάουϲιν ἐπ' Ὠκεανοῖο θεμέθλοιϲ,
Κόττοϲ τ' ἠδὲ Γύγηϲ. Βριάρεών γε μὲν ἠὺν ἐόντα
γαμβρὸν ἑὸν ποίηϲε βαρύκτυποϲ Ἐννοϲίγαιοϲ,
δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν, θυγατέρα ἥν.
αὐτὰρ ἐπεὶ Τιτῆναϲ ἀπ' οὐρανοῦ ἐξέλαϲε Ζεύϲ,
ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη
Ταρτάρου ἐν φιλότητι διὰ χρυϲέην Ἀφροδίτην·
οὗ χεῖρεϲ μὲν ἔαϲιν ἐπ' ἰϲχύι ἔργματ' ἔχουϲαι
καὶ πόδεϲ ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων
ἦν ἑκατὸν κεφαλαὶ ὄφιοϲ, δεινοῖο δράκοντοϲ,
γλώϲϲῃϲι δνοφερῇϲι λελειχμότεϲ· ἐκ δέ οἱ ὄϲϲων
θεϲπεϲίῃϲ κεφαλῇϲιν ὑπ' ὀφρύϲι πῦρ ἀμάρυϲϲε·
παϲέων δ' ἐκ κεφαλέων πῦρ καίετο δερκομένοιο.
φωναὶ δ' ἐν πάϲῃϲιν ἔϲαν δεινῇϲ κεφαλῇϲι
παντοίην ὄπ' ἱεῖϲαι ἀθέϲφατον· ἄλλοτε μὲν γὰρ
φθέγγονθ', ὥϲ τε θεοῖϲι ϲυνιέμεν, ἄλλοτε δ' αὖτε
ταύρου ἐριβρύχεω, μένοϲ ἀϲχέτου ὄϲϲαν ἀγαύρου,
ἄλλοτε δ' αὖτε λέοντοϲ ἀναιδέα θυμὸν ἔχοντοϲ,
ἄλλοτε δ' αὖ ϲκυλάκεϲϲιν ἐοικότα, θαύματ' ἀκοῦϲαι·
ἄλλοτε δ' αὖ ῥοίζεϲχ', ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
καί νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ,
καί κεν ὅ γε θνητοῖϲι καὶ ἀθανάτοιϲιν ἄναξεν,
εἰ μὴ ἄρ' ὀξὺ νόηϲε πατὴρ ἀνδρῶν τε θεῶν τε·
ϲκληρὸν δ' ἐβρόντηϲε καὶ ὄμβριμον· ἀμφὶ δὲ γαῖα
ϲμερδαλέον κονάβηϲε καὶ οὐρανὸϲ εὐρὺϲ ὕπερθε
πόντοϲ τ' Ὠκεανοῦ τε ῥοαὶ καὶ Τάρταρα γαίηϲ·
ποϲϲὶ δ' ὑπ' ἀθανάτοιϲι μέγαϲ πελεμίζετ' Ὄλυμποϲ
ὀρνυμένοιο ἄνακτοϲ, ἐπεϲτενάχιζε δὲ γαῖα.
καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον
βροντῆϲ τε ϲτεροπῆϲ τε πυρόϲ τ' ἀπὸ τοῖο πελώρου,
πρηϲτήρων ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντοϲ·

v. 811. λάινοϲ οὐδὸϲ

ἔζεε δὲ χθὼν πᾶcα καὶ οὐρανὸc ἠδὲ θάλαccα,
θῦε δ' ἄρ' ἀμφ' ἀκτὰc περί † τ' ἀμφί τε κύματα μακρὰ
ῥιπῇ ὕπ' ἀθανάτων, ἔνοcιc δ' ἄcβεcτοc ὀρώρει.
τρέε δ' Ἀίδηc ἐνέροιcι καταφθιμένοιcιν ἀνάccων,
Τιτῆνές θ' ὑποταρτάριοι, Κρόνον ἀμφὶc ἐόντεc,
ἀcβέcτου κελάδοιο καὶ αἰνῆc δηιοτῆτοc.

Ζεὺc δ' ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένοc, εἵλετο δ' ὅπλα,
βροντήν τε cτεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
πλῆξεν ἀπ' Οὐλύμποιο ἐπάλμενοc· ἀμφὶ δὲ πάcαc
ἔπρεcε θεcπεcίαc κεφαλὰc δεινοῖο πελώρου.
αὐτὰρ ἐπεὶ δή μιν δάμαcε πληγῇcιν ἱμάccαc,
ἤριπε γυιωθείc, cτενάχιζε δὲ γαῖα πελώρη.
φλὸξ δὲ κεραυνωθέντοc ἀπέccυτο τοῖο ἄνακτοc
οὔρεοc ἐν βήccῃcιν ἀιδνῆc παιπαλοέccηc
πληγέντοc· πολλὴ δὲ πελώρη καίετο γαῖα
ἀτμῇ θεcπεcίῃ, καὶ ἐτήκετο, καccίτεροc ὣc
τέχνῃ ὕπ' αἰζηῶν ὑπό τ' εὐτρήτου χοάνοιο
θαλφθείc, ἠὲ cίδηροc, ὅ περ κρατερώτατόc ἐcτιν,
οὔρεοc ἐν βήccῃcι δαμαζόμενοc πυρὶ κηλέῳ
τήκεται ἐν χθονὶ δίῃ ὑπ' Ἡφαίcτου παλάμῃcιν·
ὣc ἄρα τήκετο γαῖα cέλαι πυρὸc αἰθομένοιο.
ῥῖψε δέ μιν θυμῷ ἀκάχων ἐc Τάρταρον εὐρύν.

ἐκ δὲ Τυφωέοc ἔcτ' ἀνέμων μένοc ὑγρὸν ἀέντων
νόcφι Νότου Βορέω τε καὶ ἀργέcτεω Ζεφύροιο·
οἵ γε μὲν ἐκ θεόφιν γενεῇ, θνητοῖc μέγ' ὄνειαρ.
αἱ δ' ἄλλαι μαψαῦραι ἐπιπνείουcι θάλαccαν,
αἳ δή τοι πίπτουcαι ἐc ἠεροειδέα πόντον
πῆμα μέγα θνητοῖcι κακῇ θύουcιν ἀέλλῃ·
ἄλλοτε δ' ἄλλαι ἄειcι διαcκιδνᾶcί τε νῆαc
ναύταc τε φθείρουcι· κακοῦ δ' οὐ γίγνεται ἀλκὴ
ἀνδράcιν, οἳ κείνῃcι cυνάντωνται κατὰ πόντον·
αἳ δ' αὖ καὶ κατὰ γαῖαν ἀπείριτον ἀνθεμόεccαν
ἔργ' ἐρατὰ φθείρουcι χαμαιγενέων ἀνθρώπων,

---

v. 850. τρέcc' Ἀίδηc v. 870. Ἀργέcτεω Ζεφύρου τε
v. 875. ἄλλοι v. 877. κείνοιcι

πιμπλεῦcαι κόνιόc τε καὶ ἀργαλέου κολοcυρτοῦ.

αὐτὰρ ἐπεί ῥα πόνον μάκαρεc θεοὶ ἐξετέλεccαν,
Τιτήνεccι δὲ τιμάων κρίναντο βίηφι,
δή ῥα τότ' ὤτρυνον βαcιλευέμεν ἠδὲ ἀνάccειν
Γαίηc φραδμοcύνῃcιν Ὀλύμπιον εὐρύοπα Ζῆν
ἀθανάτων· ὃ δὲ τοῖcιν ἐὺ διεδάccατο τιμάc.

Ζεὺc δὲ θεῶν βαcιλεὺc πρώτην ἄλοχον θέτο Μῆτιν,
πλεῖcτα θεῶν εἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
ἀλλ' ὅτε δή ῥ' ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
τέξεcθαι, τότ' ἔπειτα δόλῳ φρέναc ἐξαπατήcαc
αἱμυλίοιcι λόγοιcιν ἑὴν ἐcκάτθετο νηδύν,
Γαίηc φραδμοcύνῃcι καὶ Οὐρανοῦ ἀcτερόεντοc.
τὼc γάρ οἱ φραcάτην, ἵνα μὴ βαcιληίδα τιμὴν
ἄλλοc ἔχοι Διὸc ἀντὶ θεῶν αἰειγενετάων·
ἐκ γὰρ τῆc εἵμαρτο περίφρονα τέκνα γενέcθαι.
πρώτην μὲν κούρην γλαυκώπιδα Τριτογένειαν
ἶcον ἔχουcαν πατρὶ μένοc καὶ ἐπίφρονα βουλήν,
αὐτὰρ ἔπειτ' ἄρα παῖδα θεῶν βαcιλῆα καὶ ἀνδρῶν
ἤμελλεν τέξεcθαι ὑπέρβιον ἦτορ ἔχοντα·
ἀλλ' ἄρα μιν Ζεὺc πρόcθεν ἑὴν ἐcκάτθετο νηδύν,
ὡc δή οἱ φράccαιτο θεὰ ἀγαθόν τε κακόν τε.
δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥραc,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν,
αἵ τ' ἔργ' ὠρεύουcι καταθνητοῖcι βροτοῖcι·
Μοίραc θ', ᾗc πλείcτην τιμὴν πόρε μητίετα Ζεύc,
Κλωθώ τε Λάχεcίν τε καὶ Ἄτροπον, αἵ τε διδοῦcι
θνητοῖc ἀνθρώποιcιν ἔχειν ἀγαθόν τε κακόν τε.
τρεῖc δέ οἱ Εὐρυνόμη Χάριταc τέκε καλλιπαρῄουc,
Ὠκεανοῦ κούρη πολυήρατον εἶδοc ἔχουcα,
Ἀγλαΐην τε καὶ Εὐφροcύνην Θαλίην τ' ἐρατεινήν·
τῶν καὶ ἀπὸ βλεφάρων ἔροc εἴβετο δερκομενάων
λυcιμελήc· καλὸν δέ θ' ὑπ' ὀφρύcι δερκιόωνται.
αὐτὰρ ὃ Δήμητροc πολυφόρβηc ἐc λέχοc ἦλθεν,
ἣ τέκε Περcεφόνην λευκώλενον, ἣν Ἀιδωνεὺc
ἥρπαcεν ἧc παρὰ μητρόc· ἔδωκε δὲ μητίετα Ζεύc.
Μνημοcύνηc δ' ἐξαῦτιc ἐράccατο καλλικόμοιο,

ἐξ ἧς αἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο
ἐννέα, τῇσιν ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἱμερόεντα γόνον περὶ πάντων Οὐρανιώνων,
γείνατ' ἄρ' αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν·
ἡ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτε
μιχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆι καὶ ἀνδρῶν.
αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα γείνατ' Ἀθήνην
δεινήν, ἐγρεκύδοιμον, ἀγέστρατον, ἀτρυτώνην,
πότνιαν, ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε μάχαι τε.
Ἥρη δ' Ἥφαιστον κλυτὸν οὐ φιλότητι μιγεῖσα
γείνατο, καὶ ζαμένησε καὶ ἤρισεν ᾧ παρακοίτῃ,
ἐκ πάντων τέχνῃσι κεκασμένον Οὐρανιώνων.

ἐκ δ' Ἀμφιτρίτης καὶ ἐρικτύπου Ἐννοσιγαίου
Τρίτων εὐρυβίης γένετο μέγας, ὅς τε θαλάσσης
πυθμέν' ἔχων παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
ναίει χρυσέα δῶ, δεινὸς θεός. αὐτὰρ Ἄρηι
ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτε
δεινούς, οἵ τ' ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας
ἐν πολέμῳ κρυόεντι σὺν Ἄρηι πτολιπόρθῳ,
Ἁρμονίην θ', ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.

Ζηνὶ δ' ἄρ' Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν
μιχθεῖσ' ἐν φιλότητι Διώνυσον πολυγηθέα,
ἀθάνατον θνητή· νῦν δ' ἀμφότεροι θεοί εἰσιν.
Ἀλκμήνη δ' ἄρ' ἔτικτε βίην Ἡρακληείην
μιχθεῖσ' ἐν φιλότητι Διὸς νεφεληγερέταο.
Ἀγλαΐην δ' Ἥφαιστος ἀγακλυτὸς ἀμφιγυήεις
ὁπλοτάτην Χαρίτων θαλερὴν ποιήσατ' ἄκοιτιν.
χρυσοκόμης δὲ Διώνυσος ξανθὴν Ἀριάδνην,
κούρην Μίνωος, θαλερὴν ποιήσατ' ἄκοιτιν·
τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε Κρονίων.
Ἥβην δ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱός,

---

v. 924. γλαυκώπιδα Τριτογένειαν

ἳϲ Ἡρακλῆοϲ, τελέϲαϲ ϲτονόενταϲ ἀέθλουϲ,
παῖδα Διὸϲ μεγάλοιο καὶ Ἥρηϲ χρυϲοπεδίλου
αἰδοίην θέτ᾽ ἄκοιτιν ἐν Οὐλύμπῳ νιφόεντι·
ὄλβιοϲ, ὃϲ μέγα ἔργον ἐν ἀθανάτοιϲιν ἀνύϲϲαϲ
ναίει ἀπήμαντοϲ καὶ ἀγήραοϲ ἤματα πάντα.
Ἠελίῳ δ᾽ ἀκάμαντι τέκε κλυτὴ Ὠκεανίνη
Περϲηὶϲ Κίρκην τε καὶ Αἰήτην βαϲιλῆα.
Αἰήτηϲ δ᾽ υἱὸϲ φαεϲιμβρότου Ἠελίοιο
κούρην Ὠκεανοῖο τελήεντοϲ ποταμοῖο
γῆμε θεῶν βουλῇϲιν, Ἰδυῖαν καλλιπάρηον·
ἡ δέ † οἱ Μήδειαν ἐύϲφυρον ἐν φιλότητι
γείναθ᾽ ὑποδμηθεῖϲα διὰ χρυϲέην Ἀφροδίτην.

Ὑμεῖϲ μὲν νῦν χαίρετ᾽, Ὀλύμπια δώματ᾽ ἔχοντεϲ.
νῦν δὲ θεάων φῦλον ἀείϲατε, ἡδυέπειαι
Μοῦϲαι Ὀλυμπιάδεϲ, κοῦραι Διὸϲ αἰγιόχοιο,
ὅϲϲαι δὴ θνητοῖϲι παρ᾽ ἀνδράϲιν εὐνηθεῖϲαι
ἀθάναται γείναντο θεοῖϲ ἐπιείκελα τέκνα.
Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,
Ἰαϲίῳ ἥρωι μιγεῖϲ᾽ ἐρατῇ φιλότητι
νειῷ ἔνι τριπόλῳ Κρήτηϲ ἐν πίονι δήμῳ,
ἐϲθλόν, ὃϲ εἶϲ᾽ ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάϲϲηϲ
πᾶϲαν· τῷ δὲ τυχόντι καὶ οὗ κ᾽ ἐϲ χεῖραϲ ἵκηται,
τὸν δ᾽ ἀφνειὸν ἔθηκε, πολύν τέ οἱ ὤπαϲεν ὄλβον.
Κάδμῳ δ᾽ Ἁρμονίη θυγάτηρ χρυϲέηϲ Ἀφροδίτηϲ
Ἰνὼ καὶ Ϲεμέλην καὶ Ἀγαυὴν καλλιπάρηον
Αὐτονόην θ᾽, ἣν γῆμεν Ἀριϲταῖοϲ βαθυχαίτηϲ,
γείνατο καὶ Πολύδωρον ἐυϲτεφάνῳ ἐνὶ Θήβῃ.
Τιθωνῷ δ᾽ Ἠὼϲ τέκε Μέμνονα χαλκοκορυϲτήν, 984
Αἰθιόπων βαϲιλῆα, καὶ Ἠμαθίωνα ἄνακτα.
αὐτάρ † τοι Κεφάλῳ φιτύϲατο φαίδιμον υἱόν,
ἴφθιμον Φαέθοντα, θεοῖϲ ἐπιείκελον ἄνδρα·

---

*νῆσοί τ᾽ ἤπειροί τε καὶ ἁλμυρὸς ἔνδοθι πόντος.* 964

*κούρῃ δ᾽ Ὠκεανοῖο Χρυσάορι καρτεροθύμῳ* 979
*μιχθεῖσ᾽ ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης*
*Καλλιρόη τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων,*
*Γηρυονέα, τὸν κτεῖνε βίη Ἡρακληείη,*
*βοῶν ἕνεκ᾽ εἰλιπόδων ἀμφιρρύτῳ εἰν Ἐρυθείῃ.* 983

τόν ῥα νέον, τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης,
παῖδ' ἀταλὰ φρονέοντα φιλομμειδὴς Ἀφροδίτη
ὦρτ' ἀνερειψαμένη, καί μιν Ζαθέοις ἐνὶ νηοῖς
νηοπόλον μύχιον ποιήσατο, δαίμονα δῖον.
κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης βουλῇσι θεῶν αἰειγενετάων
ἦγε παρ' Αἰήτεω, τελέσας στονόεντας ἀέθλους,
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ,
ὑβριστὴς Πελίης καὶ ἀτάσθαλος, ὀμβριμοεργός.
τοὺς τελέσας ἐς Ἰωλκὸν ἀφίκετο πολλὰ μογήσας,
ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην
Αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν·
καί ῥ' ἥ γε δμηθεῖσ' ὑπ' Ἰήσονι ποιμένι λαῶν
Μήδειον τέκε παῖδα, τὸν οὔρεσιν ἔτρεφε Χείρων
Φιλυρίδης· μεγάλου δὲ Διὸς νόος ἐξετελεῖτο.
αὐτὰρ Νηρῆος κοῦραι ἁλίοιο γέροντος,
ἤτοι μὲν Φῶκον Ψαμάθη τέκε δῖα θεάων
Αἰακοῦ ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην,
Πηλεῖ δὲ δμηθεῖσα θεὰ Θέτις ἀργυρόπεζα
γείνατ' Ἀχιλλῆα ῥηξήνορα, θυμολέοντα.
Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐυστέφανος Κυθέρεια
Ἀγχίσῃ ἥρωι μιγεῖσ' ἐρατῇ φιλότητι
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ὑληέσσης.
Κίρκη δ' Ἠελίου θυγάτηρ Ὑπεριονίδαο
γείνατ' Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε·
οἳ δή τοι μάλα τῆλε μυχῷ νήσων ἱεράων
πᾶσιν Τυρσηνοῖσιν † ἀγακλυτοῖσιν ἄνασσον.
Ναυσίθοον δ' Ὀδυσῆι Καλυψὼ δῖα θεάων
γείνατο Ναυσίνοόν τε μιγεῖσ' ἐρατῇ φιλότητι.

αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα·
νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,

* * * * * * * *

*Τηλέγονον δ' ἔτικτε διὰ χρυσῆν Ἀφροδίτην.* 1014

v. 991. νύχιον

# ΗΣΙΟΔΟΥ
## ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ.

— Μοῦϲαι Πιερίηθεν ἀοιδῇϲι κλείουϲαι,
— δεῦτε, Δί᾽ ἐννέπετε ϲφέτερον πατέρ᾽ ὑμνείουϲαι,
— ὅν τε διὰ βροτοὶ ἄνδρεϲ ὁμῶϲ ἄφατοί τε φατοί τε,
— ῥητοί τ᾽ ἄρρητοί τε Διὸϲ μεγάλοιο ἕκητι·
— ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
— ῥεῖα δ᾽ ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει,
— ῥεῖα δέ τ᾽ ἰθύνει ϲκολιὸν καὶ ἀγήνορα κάρφει
— Ζεὺϲ ὑψιβρεμέτηϲ, ὃϲ ὑπέρτατα δώματα ναίει.

— *κλῦθι ἰδὼν ἀίων τε, δίκῃ δ᾽ ἴθυνε θέμιστας*
— *τύνη· ἐγὼ δέ κε Πέρσῃ ἐτήτυμα μυθησαίμην.*

Οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένοϲ, ἀλλ᾽ ἐπὶ γαῖαν
εἰϲὶ δύω· τὴν μέν κεν ἐπαινέϲϲειε νοήϲαϲ,
ἣ δ᾽ ἐπιμωμητή· διὰ δ᾽ ἄνδιχα θυμὸν ἔχουϲιν.
ἣ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
ϲχετλίη· οὔ τιϲ τήν γε φιλεῖ βροτόϲ, ἀλλ᾽ ὑπ᾽ ἀνάγκηϲ
ἀθανάτων βουλῇϲιν Ἔριν τιμῶϲι βαρεῖαν.
τὴν δ᾽ ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή,
θῆκε δέ μιν Κρονίδηϲ ὑψίζυγοϲ, αἰθέρι ναίων,
γαίηϲ τ᾽ ἐν ῥίζῃϲι καὶ ἀνδράϲι πολλὸν ἀμείνω.
ἥ τε καὶ ἀπάλαμόν περ ὅμωϲ ἐπὶ ἔργον ἐγείρει·
εἰϲ ἕτερον γάρ τίϲ τε ἰδὼν ἔργοιο χατίζων
πλούϲιον, ὃϲ ϲπεύδει μὲν ἀρόμμεναι ἠδὲ φυτεύειν
οἶκόν τ᾽ εὖ θέϲθαι, ζηλοῖ δέ τε γείτονα γείτων
εἰϲ ἄφενον ϲπεύδοντ᾽· ἀγαθὴ δ᾽ Ἔριϲ ἥδε βροτοῖϲι.

---

v. 2. δεῦτε δή.

Καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων,
καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.

ὦ Πέρση, cὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ·
μηδέ c' Ἔριc κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
νείκε' ὀπιπεύοντ', ἀγορῆc ἐπακουὸν ἐόντα.
ὥρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε,
ᾧ τινι μὴ βίοc ἔνδον ἐπηετανὸc κατάκειται
ὡραῖοc, τὸν γαῖα φέρει, Δημήτεροc ἀκτήν.
τοῦ κε κορεccάμενοc νείκεα καὶ δῆριν ὀφέλλοιc
κτήμαc' ἐπ' ἀλλοτρίοιc· cοὶ δ' οὐκ ἔτι δεύτερον ἔcται
ὧδ' ἔρδειν· ἀλλ' αὖθι διακρινώμεθα νεῖκοc
ἰθείῃcι δίκαιc, αἵ τ' ἐκ Διόc εἰcιν ἄριcται.
ἤδη μὲν γὰρ κλῆρον ἐδαccάμεθ', ἄλλα τε πολλὰ
ἁρπάζων ἐφόρειc, μέγα κυδαίνων βαcιλῆαc
δωροφάγουc, οἳ τήνδε δίκην ἐθέλουcι δικάccαι.

Νήπιοι· οὐδὲ ἴcαcιν, ὅcῳ πλέον ἥμιcυ παντόc,

οὐδ' ὅcον ἐν μαλάχῃ τε καὶ ἀcφοδέλῳ μέγ' ὄνειαρ.

Κρύψαντεc γὰρ ἔχουcι θεοὶ βίον ἀνθρώποιcι·
ῥηιδίωc γάρ κεν καὶ ἐπ' ἤματι ἐργάccαιο,
ὥc τέ cε † κεἰc ἐνιαυτὸν ἔχειν καὶ ἀεργὸν ἐόντα·
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,
ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.

*ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν,*
*ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης·*
*τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά·*

κρύψε δὲ πῦρ· τὸ μὲν αὖθιc ἐὺc πάιc Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποιcι Διὸc παρὰ μητιόεντοc
ἐν κοίλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωcάμενοc προcέφη νεφεληγερέτα Ζεύc·
«Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώc,

v. 30. ὥρη. v. 48. ποικιλομήτηc.

χαίρεις πῦρ κλέψας καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
σοί δ᾽ αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι.
τοῖς δ᾽ ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.»
ὣς ἔφατ᾽· ἐκ δ᾽ ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἥφαιστον δ᾽ ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ᾽ ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάταις δὲ θεαῖς εἰς ὦπα ἐίσκειν
παρθενικῆς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν,
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην
καὶ πόθον ἀργαλέον καὶ γυιοκόρους μελεδῶνας·
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην ἤνωγε διάκτορον Ἀργειφόντην.
ὣς ἔφαθ᾽· οἳ δ᾽ ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι.
αὐτίκα δ᾽ ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς·
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι.
πάντα δέ οἱ χροΐ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.
ἐν δ᾽ ἄρα οἱ στήθεσσι διάκτορος Ἀργεϊφόντης
ψεύδεά θ᾽ αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
— τεῦξε, Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ᾽ ἄρα φωνὴν
θῆκε θεῶν κῆρυξ, ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες Ὀλύμπια δώματ᾽ ἔχοντες
δῶρον ἐδώρησαν, πῆμ᾽ ἀνδράσιν ἀλφηστῇσιν.
αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργεϊφόντην
δῶρον ἄγοντα θεῶν, ταχὺν ἄγγελον· οὐδ᾽ Ἐπιμηθεὺς
ἐφράσαθ᾽, ὥς οἱ ἔειπε Προμηθεύς, μή ποτε δῶρον
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου, ἀλλ᾽ ἀποπέμπειν
ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται.
αὐτὰρ ὃ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ᾽, ἐνόησε.

---

v. 66. γυιοβόρους

Πρὶν μὲν † ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
νόσφιν ἄτερ τε κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο
νούσων τ' ἀργαλέων, αἵ τ' ἀνδράσι κῆρας ἔδωκαν.
ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
ἐσκέδασ'· ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν
ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο
*αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο·*
ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα·
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι
— σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.

οὕτως οὔ τί πῃ ἔστι Διὸς νόον ἐξαλέασθαι.

*εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω*
*εὖ καὶ ἐπισταμένως· σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.*

†Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι.

Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες·
οἳ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν,
ὥς τε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερ τε πόνων καὶ ὀιζύος· οὐδέ τι δειλὸν
γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων·
θνῇσκον δ' ὥς ὕπνῳ δεδμημένοι. ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἳ δ' ἐθελημοὶ
ἥσυχοι ἔργ' ἐνέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν.

---

*αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν·* 93

---

*v. 96.* πίθοισιν

αὐτὰρ ἐπεὶ μὲν τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς
ἐσθλοί, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων,
*οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,*
*ἠέρα ἑσσάμενοι πάντῃ φοιτῶντες ἐπ' αἶαν,*
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήιον ἔσχον.
δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ' ἀτάλλων μέγα νήπιος ᾧ ἐνὶ οἴκῳ·
ἀλλ' ὅτ' ἄρ' ἡβήσαι τε καὶ ἥβης μέτρον ἵκοιτο,
παυρίδιον ζώεσκον ἐπὶ χρόνον ἄλγε' ἔχοντες
ἀφραδίῃς· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε χολούμενος, οὕνεκα τιμὰς
οὐκ ἐδίδων μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ' οὐκ ἀργυρῷ οὐδὲν ὁμοῖον,
ἐκ μελιᾶν, δεινόν τε καὶ ὄβριμον, οἷσιν Ἄρηος
ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν
ἄπλαστοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσι.
τῶν δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.

---

*ἀφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσιν.* 120

---

v. 122 sq. οἳ μὲν δαίμονες ἁγνοὶ ἐπιχθόνιοι καλέονται (τελέθουσιν) | ἐσθλοὶ ἀλεξίκακοι φύλακες v. 123. ἁγνοὶ ἐπιχθόνιοι φύλακες μερόπων v. 139. ἐδίδουν v. 141. φύλακες θνητοὶ v. 149. στιβαροῖς μελέεσσι

καὶ τοὶ μὲν χείρεσσιν ὑπὸ σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἀίδαο,
νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος Ἠελίοιο
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
αὖτις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.
καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηίδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο,
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠυκόμοιο.
ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε·
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης·
— καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
— ἐν μακάρων νήσοισι παρ' Ὠκεανὸν βαθυδίνην,
— ὄλβιοι ἥρωες· τοῖσιν μελιηδέα καρπὸν
— τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.
μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι·
νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀιζύος οὐδέ τι νύκτωρ
φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.

ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσι.

Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν. 181
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίιος οὐδέ τι παῖδες,
οὐδὲ ξεῖνος ξεινοδόκῳ καὶ ἑταῖρος ἑταίρῳ,
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ·
αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας·
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντ' ἐπέεσσι

— *τηλοῦ ἀπ' ἀθανάτων, τοῖσιν Κρόνος ἐμβασίλευε.* 169

v. 186. βάζοντες ἔπεσσι

σχέτλιοι, † οὔτε θεῶν ὄπιν εἰδότες· οὐδὲ μὲν οἵ γε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὐδὲ δικαίου,
οὔτ' ἀγαθοῦ· μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσὶ καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται·
ζῆλος δ' ἀνθρώποισιν ὀιζυροῖσιν ἅπασι
δυσκέλαδος κακόχαρτος ὁμαρτήσει στυγερώπης.

καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλόν,
ἀθανάτων μετὰ φῦλον ἴτην, προλιπόντ' ἀνθρώπους,
Αἰδὼς καὶ Νέμεσις. τὰ δὲ λείψεται ἄλγεα λυγρὰ
θνητοῖς ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

*νῦν δ' αἶνον βασιλεῦσιν ἐρέω φρονέουσι καὶ αὐτοῖς·*
ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον
ὕψι μάλ' ἐν νεφέεσσι φέρων, ὀνύχεσσι μεμαρπώς·
ἣ δ' ἐλεὸν γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι
μύρετο· τὴν δ' ὅ γ' ἐπικρατέως πρὸς μῦθον ἔειπε·
«δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων·
τῇ δ' εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν·
δεῖπνον δ', αἴ κ' ἐθέλω, ποιήσομαι ἠὲ μεθήσω.
—*ἄφρων δ', ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν·*
—*νίκης τε στέρεται, πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.»*
ὣς ἔφατ' ὠκυπέτης ἴρηξ, τανυσίπτερος ὄρνις.
ὦ Πέρση, σὺ δ' ἄκουε δίκης, μηδ' ὕβριν ὄφελλε.
ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ, οὐδὲ μὲν ἐσθλὸς
ῥηιδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς
ἐγκύρσας ἄτῃσιν· ὁδὸς δ' ἑτέρηφι παρελθεῖν
κρείσσων ἐς τὰ δίκαια· δίκη δ' ὑπὲρ ὕβριος ἴσχει
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.

αὐτίκα γὰρ τρέχει Ὅρκος ἅμα σκολιῇσι δίκῃσι.

τῆς δὲ Δίκης ῥόθος ἑλκομένης, ᾗ κ' ἄνδρες ἄγωσι·

δωροφάγοι, σκολιῇς δὲ δίκῃς κρίνωσι θέμιστας.
ἣ δ' ἕπεται κλαίουσα πόλιν καὶ ἤθεα λαῶν,
ἠέρα ἑσσαμένη, κακὸν ἀνθρώποισι φέρουσα,
οἵ τέ μιν ἐξελάσωσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν.

Οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσιν
ἰθείας καὶ μή τι παρεκβαίνουσι δικαίου,
τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ·
εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος, οὐδέ ποτ' αὐτοῖς
ἀργαλέον πόλεμον τεκμαίρεται εὐρύοπα Ζεύς·
οὐδέ ποτ' ἰθυδίκῃσι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ
οὐδ' ἄτη, θαλίῃς δὲ μεμηλότα ἔργα νέμονται.
τοῖσι φέρει μὲν γαῖα πολὺν βίον, οὔρεσι δὲ δρῦς
ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας,
εἰροπόκοι δ' ὄιες μαλλοῖς καταβεβρίθασι,
τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα τοκεῦσι.
θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
νίσσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.
οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρύοπα Ζεύς.

πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς τις ἀλιτραίνει καὶ ἀτάσθαλα μηχανάαται.

τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν· ἀποφθινύθουσι δὲ λαοί·
— οὐδὲ γυναῖκες τίκτουσιν· μινύθουσι δὲ οἶκοι
— *Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου. ἄλλοτε δ' αὖτε*
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ ὅ γε τεῖχος,
ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.

ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην· ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
ἀθάνατοι φράζονται, ὅσοι σκολιῇσι δίκῃσιν

---

v. 235. γονεῦσι v. 240. πολλάκι δὴ v. 241. ὅς κεν ἀλιτραίνῃ μητιάαται v. 247. πόντῳ ἀποτίνυται εὐρύοπα Ζεύς v. 250. ἀθάνατοι λεύσσουσιν

ἀλλήλους τρίβουςι θεῶν ὄπιν οὐκ ἀλέγοντες.

τρὶς γὰρ μυρίοι εἰςὶν ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἀθάνατοι Ζηνὸς φύλακες θνητῶν ἀνθρώπων,
οἵ ῥα φυλάςςουςίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑςςάμενοι πάντῃ φοιτῶντες ἐπ᾽ αἶαν.

Ἡ δέ τε παρθένος ἐςτὶ Δίκη, Διὸς ἐκγεγαυῖα,
κυδρή τ᾽ αἰδοίη τε θεοῖς, οἳ Ὄλυμπον ἔχουςι·
καί ῥ᾽ ὁπότ᾽ ἄν τίς μιν βλάπτῃ ςκολιῶς ὀνοτάζων,
αὐτίκα πὰρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι
γηρύετ᾽ ἀνθρώπων ἄδικον νόον, ὄφρ᾽ ἀποτίςῃ

δῆμος ἀταςθαλίας † βαςιλήων, οἳ λυγρὰ νοεῦντες
ἄλλῃ παρκλίνωςι δίκας ςκολιῶς ἐνέποντες.

*ταῦτα φυλασσόμενοι, βασιλῆες, † ἰθύνετε † δίκας,*
*δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε.*

Οἷ τ᾽ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων.

Ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύςαντι κακίςτη.

— πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήςας
— καί νυ τάδ᾽, αἴ κ᾽ ἐθέλῃς᾽, ἐπιδέρκεται, οὐδέ ἑ λήθει,
— οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.

— νῦν δὴ ἐγὼ μήτ᾽ αὐτὸς ἐν ἀνθρώποιςι δίκαιος
— εἴην μήτ᾽ ἐμὸς υἱός, ἐπεὶ κακὸν ἄνδρα δίκαιον
— ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.

— ἀλλὰ τά γ᾽ οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.

ὦ Πέρςη, ςὺ δὲ ταῦτα μετὰ φρεςὶ βάλλεο ςῇςι,
καί νυ δίκης ἐπάκουε, βίης δ᾽ ἐπιλήθεο πάμπαν·

---

v. 253. δαίμονες ἀθάνατοι φύλακες μερόπων ἀνθρώπων
v. 273. Δία μητιόεντα

τόνδε γὰρ ἀνθρώποιcι νόμον διέταξε Κρονίων,
ἰχθύcι μὲν καὶ θηρcὶ καὶ οἰωνοῖc πετεηνοῖc
ἔcθειν ἀλλήλουc, ἐπεὶ οὐ δίκη ἐcτὶν ἐν αὐτοῖc·
ἀνθρώποιcι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίcτη

γίγνεται. εἰ γάρ τίc κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεῦcαι
γιγνώcκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρύοπα Ζεύc·
ὃc δέ κε μαρτυρίῃcιν ἑκὼν ἐπίορκον ὀμόccαc
ψεύcεται, ἐν δὲ δίκην βλάψαc νήκεcτον † ἀάcθη,
τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπιcθε λέλειπται·
ἀνδρὸc δ' εὐόρκου γενεὴ μετόπιcθεν ἀμείνων.

cοὶ δ' ἐγὼ ἐcθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρcη·
τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἔcτιν ἑλέcθαι
ῥηιδίωc· ὀλίγη μὲν ὁδόc, μάλα δ' ἐγγύθι ναίει·
τῆc δ' ἀρετῆc ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸc δὲ καὶ ὄρθιοc οἶμοc ἐc αὐτὴν
καὶ τρηχὺc τὸ πρῶτον· ἐπὴν δ' εἰc ἄκρον ἵκηται,
ῥηιδίη δὴ ἔπειτα πέλει χαλεπή περ ἐοῦcα.

Οὗτοc μὲν πανάριcτοc, ὃc αὐτῷ πάντα νοήcῃ
φραccάμενοc, τά κ' ἔπειτα καὶ ἐc τέλοc ᾖcιν ἀμείνω·
ἐcθλὸc δ' αὖ κἀκεῖνοc, ὃc εὖ εἰπόντι πίθηται.
ὃc δέ κε μήτ' αὐτῷ νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὃ δ' αὖτ' ἀχρήιοc ἀνήρ.

ἀλλὰ cύ γ' ἡμετέρηc μεμνημένοc αἰὲν ἐφετμῆc
ἐργάζευ, Πέρcη, δῖον γένοc, ὄφρα cε λιμὸc
ἐχθαίρῃ, φιλέῃ δέ c' ἐυcτέφανοc Δημήτηρ
αἰδοίη, βιότου δὲ τεὴν † πίμπληcι καλιήν·
λιμὸc γάρ τοι πάμπαν ἀεργῷ cύμφοροc ἀνδρί.

Τῷ δὲ θεοὶ νεμεcῶcι καὶ ἀνέρεc, ὅc κεν ἀεργὸc
ζώῃ, κηφήνεccι κοθούροιc εἴκελοc ὀρμήν,

---

v. 280. ἀγορεύειν v. 283. βλάψῃ νήκεcτον ἀαcθείc v. 288. λείη μὲν ὁδόc v. 290. ἐπ' αὐτήν v. 291. ἵκηαι v. 293. αὐτὸc πάντα v. 296. αὐτὸc νοέῃ v. 304. κοτούροιc ὀργήν

οἵ τε μελιϲϲάων κάματον τρύχουϲιν ἀεργοὶ
ἔϲθοντεϲ· ϲοὶ δ᾽ ἔργα φίλ᾽ ἔϲτω μέτρια κοϲμεῖν,
ὥϲ κέ τοι ὡραίου βιότου πλήθωϲι καλιαί.

Ἐξ ἔργων ἄνδρεϲ πολύμηλοί τ᾽ ἀφνειοί τε,
καί τ᾽ ἐργαζόμενοϲ πολὺ φίλτεροϲ ἀθανάτοιϲιν.

Ἔργον δ᾽ οὐδὲν ὄνειδοϲ, ἀεργίη δέ τ᾽ ὄνειδοϲ. 311

Εἰ δέ κεν ἐργάζῃ, τάχα ϲε ζηλώϲει ἀεργὸϲ
πλουτεῦντα· πλούτῳ δ᾽ ἀρετὴ καὶ κῦδοϲ ὀπηδεῖ.

δαίμονι † δ᾽ οἷοϲ ἔηϲθα, τὸ ἐργάζεϲθαι ἄμεινον,
εἴ κεν ἀπ᾽ ἀλλοτρίων κτεάνων ἀεϲίφρονα θυμὸν
εἰϲ ἔργον τρέψαϲ μελετᾷϲ βίου, ὥϲ ϲε κελεύω. 316

Αἰδὼϲ τοι πρὸϲ ἀνολβίῃ, θάρϲοϲ δὲ πρὸϲ ὄλβῳ. 319

Χρήματα δ᾽ οὐχ ἁρπακτά, θεόϲδοτα πολλὸν ἀμείνω·
εἰ γάρ τιϲ καὶ χερϲὶ βίῃ μέγαν ὄλβον ἕληται
ἢ ὅ γ᾽ ἀπὸ γλώϲϲηϲ ληίϲϲεται, οἷά τε πολλὰ
γίγνεται, εὖτ᾽ ἂν δὴ κέρδοϲ νόον ἐξαπατήϲῃ
ἀνθρώπων, αἰδῶ δέ τ᾽ ἀναιδείη κατοπάζῃ,
ῥεῖα δέ μιν μαυροῦϲι θεοί, μινύθουϲι δὲ οἶκοι
ἀνέρι τῷ, παῦρον δέ τ᾽ ἐπὶ χρόνον ὄλβοϲ ὀπηδεῖ.

Ἶϲον δ᾽ ὅϲ θ᾽ ἱκέτην ὅϲ τε ξεῖνον κακὸν † ἔρξει,
ὅϲ τε καϲιγνήτοιο ἑοῦ ἀνὰ δέμνια † βαίνοι,
*κρυπταδίης εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων,*
ὅϲ τέ τευ ἀφραδίηϲ ἀλιταίνεται ὀρφανὰ τέκνα,
ὅϲ τε γονῆα γέροντα κακῷ ἐπὶ γήραοϲ οὐδῷ
νεικείει χαλεποῖϲι καθαπτόμενοϲ ἐπέεϲϲι·
τῷ δή τοι Ζεὺϲ αὐτὸϲ ἀγαίεται, ἐϲ δὲ τελευτὴν
ἔργων ἀντ᾽ ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.

---

310 *ἔσσεαι ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργόν.*

317 — *Αἰδὼς δ᾽ οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,*
— *αἰδώς, ἥ τ᾽ ἄνδρας μέγα σίνεται ἠδ᾽ ὀνίνησιν.*

Ἀλλὰ cὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεcίφρονα θυμόν·
κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοιcι θεοῖcιν
ἁγνῶc καὶ καθαρῶc, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν·
ἄλλοτε δὲ cπονδῇc θυέεccί τε ἱλάcκεcθαι,
ἠμὲν ὅτ' εὐνάζῃ καὶ ὅτ' ἂν φάοc ἱερὸν ἔλθῃ,
(· ὥc κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωcιν,
·) ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλοc.

Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶcαι,
τὸν δὲ μάλιcτα καλεῖν, ὅc τιc cέθεν ἐγγύθι ναίει·
εἰ γάρ τοι καὶ χρῆμ' ἐγκώμιον ἄλλο γένηται,
γείτονεc ἄζωcτοι ἔκιον, ζώcαντο δὲ πηοί.

Πῆμα κακὸc γείτων, ὅccον τ' ἀγαθὸc μέγ' ὄνειαρ.

Ἔμμορέ τοι τιμῆc, ὅc τ' ἔμμορε γείτονοc ἐcθλοῦ.

Οὐδ' ἂν βοῦc ἀπόλοιτ', εἰ μὴ γείτων κακὸc εἴη.

Εὖ μὲν μετρεῖcθαι παρὰ γείτονοc, εὖ δ' ἀποδοῦναι
αὐτῷ τῷ μέτρῳ, καὶ λώιον, αἴ κε δύνηαι,
ὡc ἂν χρηίζων καὶ ἐc ὕcτερον ἄρκιον εὕρῃc.

Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶc' ἄτῃcι.

— *Τὸν φιλέοντα φιλεῖν καὶ τῷ προσιόντι προσεῖναι,*
— *καὶ δόμεν, ὅς κεν δῷ, καὶ μὴ δόμεν, ὅς κεν μὴ δῷ.*

— *Δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔ τις ἔδωκε.*

Δὼc ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.

Ὃc μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅ γε καὶ μέγα δώῃ,
χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν·

---

v. 344. ἐγχώριον v. 357. κἂν μέγα

ὃc δέ κεν αὐτὸc ἕληται ἀναιδείηφι πιθήcαc
καί τε cμικρὸν ἐόν, τό γ' ἐπάχνωcεν φίλον ἦτορ. 360

Εἰ γάρ κεν καὶ cμικρὸν ἐπὶ cμικρῷ καταθεῖο
καὶ θαμὰ τοῦτ' ἔρδοιc, τάχα κεν μέγα καὶ τὸ γένοιτο.

Ὃc δ' ἐπ' ἐόντι φέρει, ὃ δ' ἀλύξεται αἴθοπα λιμόν.

Οὐ δὲ τό γ' εἰν οἴκῳ κατακείμενον ἀνέρα κήδει.

Οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν. 365

Ἐcθλὸν μὲν παρεόντοc ἑλέcθαι, πῆμα δὲ θυμῷ
χρηίζειν ἀπεόντοc· ἅ cε φράζεcθαι ἄνωγα.

Ἀρχομένου δὲ πίθου καὶ λήγοντοc κορέcαcθαι,
μεccόθι φείδεcθαι· δειλὴ δ' ἐν πυθμένι φειδώ. 369

Μὴ δὲ γυνή cε νόον πυγοcτόλοc ἐξαπατάτω, 373
αἱμύλα κωτίλλουcα, τεὴν διφῶcα καλιήν.

— Ὃc δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅ γε φηλήτῃcιν.

Μουνογενὴc δὲ πάιc εἴη πατρώιον οἶκον 376
φερβέμεν· ὧc γὰρ πλοῦτοc ἀέξεται ἐν μεγάροιcι.

ῥεῖα δέ κε πλεόνεccι πόροι Ζεὺc ἄcπετον ὄλβον. 379

Πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη.

*σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσιν,* 381

---

— *Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.* 370

— *Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι.*

— *Πίστεις δ' ἄρα† ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.*

— *γηραιὸς δὲ θάνοις ἕτερον παῖδ' ἐγκαταλείπων.* 378

---

v. 369. δειλὴ v. 375. φιλήτῃcι v. 376 (omisso v. 377) μουνογενὴc δὲ πάιc cώζοι πατρώιον οἶκον v. 381. φρεcὶν ἐcῖν

*ὧδ' ἔρδειν, καὶ ἔργον ἐπ' ἔργῳ ἐργάζεσθαι.*

Πληιάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεςθ' ἀμήτου, ἀρότοιο δὲ δυcομενάων·
αἳ δή τοι νύκτας τε καὶ ἤματα τεccαράκοντα
κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται τὰ πρῶτα χαραccομένοιο cιδήρου.
οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάccης
ἐγγύθι ναιετάουc', οἵ τ' ἄγκεα βηccήεντα,
πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον
ναίουcιν. γυμνὸν cπείρειν, γυμνὸν δὲ βοωτεῖν,
γυμνὸν δ' ἀμάειν, εἴ χ' ὥρια πάντ' ἐθέληcθα
ἔργα κομίζεcθαι Δημήτερος, ὥc τοι ἕκαcτα
ὥρι' ἀέξηται, μή πως τὰ μέταζε χατίζων
πτώccηc ἀλλοτρίους οἴκους καὶ μηδὲν ἀνύccηc.
ὡc καὶ νῦν ἐπ' ἔμ' ἦλθεc· ἐγὼ δέ τοι οὐκ ἐπιδώcω,
οὐδ' ἐπιμετρήcω· ἐργάζευ, νήπιε Πέρcη,
ἔργα, τά τ' ἀνθρώποιcι θεοὶ διετεκμήραντο,
μή ποτε cὺν παίδεccι γυναικί τε θυμὸν ἀχεύων
ζητεύῃc βίοτον κατὰ γείτονας, οἳ δ' ἀμελῶcι.
δὶc μὲν γὰρ καὶ τρὶc τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇc,
χρῆμα μὲν οὐ πρήξειc, cὺ δ' ἐτώcια πόλλ' ἀγορεύcειc,
ἀχρεῖοc δ' ἔcται ἐπέων νομόc. ἀλλά c' ἄνωγα
φράζεcθαι χρειῶν τε λύcιν λιμοῦ τ' ἀλεωρήν.
οἶκον μὲν πρώτιcτα γυναῖκά τε βοῦν τ' ἀροτῆρα,
χρήματα δ' εἰν οἴκῳ πάντ' ἄρμενα ποιήcαcθαι, 407
μὴ cὺ μὲν αἰτῇc ἄλλον, ὃ δ' ἀρνῆται, cὺ δὲ τητᾷ,
ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τοι ἔργον.
μηδ' ἀναβάλλεcθαι ἔc τ' αὔριον ἔc τ' ἔννηφιν·
οὐ γὰρ ἐτωcιοεργὸc ἀνὴρ πίμπληcι καλιήν,
οὐδ' ἀναβαλλόμενοc· μελέτη δέ τοι ἔργον ὀφέλλει·
αἰεὶ δ' ἀμβολιεργὸc ἀνὴρ ἄτῃcι παλαίει.

ἦμοc δὴ λήγει μένοc ὀξέοc ἠελίοιο

— *κτητήν, οὐ γαμετήν, ἥ τις καὶ βουσὶν ἕποιτο,* 406

v. 382. ἔργον δέ τ' ἐπ' ἔργῳ v. 384. ἀμητοῦ v. 392. ἀμᾶcθαι v. 394. μεταξὺ

καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήcαντος
Ζηνὸς ἐρισθενέος, μετὰ δὲ τρέπεται βρότεος χρὼς
πολλὸν ἐλαφρότερος· — δὴ γὰρ τότε Cείριος ἀcτὴρ
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ· —
τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖcα cιδήρῳ
ὕλη, φύλλα δ᾽ ἔραζε χέει πτόρθοιό τε λήγει·
τῆμος ἄρ᾽ ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον.
ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
ἄξονα δ᾽ ἑπταπόδην· μάλα γάρ νύ τοι ἄρμενον οὕτω·
εἰ δέ κεν ὀκταπόδην, ἀπὸ καὶ cφῦράν κε τάμοιο.
τριcπίθαμον δ᾽ ἄψιν τάμνειν δεκαδώρῳ ἁμάξῃ.
πόλλ᾽ ἐπικαμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅτ᾽ ἂν εὕρῃς,
εἰς οἶκον κατ᾽ ὄρος διζήμενος ἢ κατ᾽ ἄρουραν,
πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν,
εὖτ᾽ ἂν Ἀθηναίης δμῷος ἐν ἐλύματι πήξας
γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆι.
δοιὰ δὲ θέσθαι ἄροτρα πονησάμενος κατὰ οἶκον,
αὐτόγυον καὶ πηκτόν, ἐπεὶ πολὺ λώιον οὕτω·
εἴ χ᾽ ἕτερόν γ᾽ ἄξαις, ἕτερόν κ᾽ ἐπὶ βουσὶ βάλοιο.
δάφνης ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες,
δρυὸς ἔλυμα, † πρίνου δὲ γύην· βόε δ᾽ ἐνναετῆρε
ἄρσενε κεκτῆσθαι· τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν·
ἥβης μέτρον ἔχοντε· τὼ ἐργάζεσθαι ἀρίστω·
οὐκ ἂν τώ γ᾽ ἐρίσαντες ἐν αὔλακι κὰμ μὲν ἄροτρον
ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.
τοῖς δ᾽ ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο,
ἄρτον δειπνήσας τετράτρυφον, ὀκτάβλωμον,
ὅς κ᾽ ἔργου μελετῶν ἰθεῖαν αὔλακ᾽ ἐλαύνοι,
μηκέτι παπταίνων μεθ᾽ ὁμήλικας, ἀλλ᾽ ἐπὶ ἔργῳ
θυμὸν ἔχων· τοῦ δ᾽ οὔ τι νεώτερος ἄλλος ἀμείνων
σπέρματα δάσσασθαι καὶ ἐπισπορίην ἀλέασθαι·
κουρότερος γὰρ ἀνὴρ μεθ᾽ ὁμήλικας ἐπτοίηται.

φράζεσθαι δ᾽, εὖτ᾽ ἂν γεράνου φωνὴν ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης,

---

v. 426. ἄψιν v. 435. ἀκιρώτατοι v. 436. ἐνναετήρ

ἥ τ' ἀρότοιό τε ϲῆμα φέρει καὶ χείματοϲ ὥρην
δεικνύει ὀμβρηροῦ, κραδίην δ' ἔδακ' ἀνδρὸϲ ἀβούτεω·
δὴ τότε χορτάζειν ἕλικαϲ βοῦϲ ἔνδον ἐόνταϲ.

ῥηίδιον γὰρ ἔποϲ εἰπεῖν· «βόε δὸϲ καὶ ἅμαξαν·»
ῥηίδιον δ' ἀπανήϲαϲθαι· «πάρα δ' ἔργα βόεϲϲιν.»

φηϲὶ δ' ἀνὴρ φρέναϲ ἀφνειὸϲ πήξαϲθαι ἅμαξαν,
νήπιοϲ· οὐδὲ τό γ' οἶδ'· ἑκατὸν δέ τε δούρατ' ἀμάξηϲ,
τῶν πρόϲθεν μελέτην ἐχέμεν οἰκήια θέϲθαι.

εὖτ' ἂν δὴ πρώτιϲτ' ἄροτοϲ θνητοῖϲι φανείη,
δὴ τότ' ἐφορμηθῆναι ὁμῶϲ δμῶέϲ τε καὶ αὐτὸϲ
αὔην καὶ διερὴν ἀρόων ἀρότοιο καθ' ὥρην,
πρωὶ μάλα ϲπεύδων, ἵνα τοι πλήθωϲιν ἄρουραι.

ἔαρι πολεῖν· θέρεοϲ δὲ νεωμένη οὔ ϲ' ἀπατήϲει.

νειὸν δὲ ϲπείρειν ἔτι κουφίζουϲαν ἄρουραν.

νειὸϲ ἀλεξιάρη, παίδων εὐκηλήτειρα.

εὔχεϲθαι δὲ Διὶ χθονίῳ Δημήτερί θ' ἁγνῇ,
ἐκτελέα βρίθειν Δημήτεροϲ ἱερὸν ἀκτήν,
ἀρχόμενοϲ τὰ πρῶτ' ἀρότου, ὅτ' ἂν ἄκρον ἐχέτληϲ
χειρὶ λαβὼν ὅρπηκα βοῶν ἐπὶ νῶτον ἵκηαι
ἔνδρυον ἑλκόντων μεϲάβων· ὁ δὲ τυτθὸϲ ὄπιϲθε
δμῶοϲ ἔχων μακέλην πόνον ὀρνίθεϲϲι τιθείη
ϲπέρμα κατακρύπτων· εὐθημοϲύνη γὰρ ἀρίϲτη
θνητοῖϲ ἀνθρώποιϲ, κακοθημοϲύνη δὲ κακίϲτη.
ὧδέ κεν ἁδροϲύνῃ ϲτάχυεϲ νεύοιεν ἔραζε,
εἰ τέλοϲ αὐτὸϲ ὄπιϲθεν Ὀλύμπιοϲ ἐϲθλὸν ὀπάζοι,
ἐκ δ' ἀγγέων ἐλάϲειαϲ ἀράχνια· καί ϲε ἔολπα
γηθήϲειν βιότου αἱρεύμενον ἔνδον ἐόντοϲ·
εὐοχθέων δ' ἵξεαι πολιὸν ἔαρ, οὐδὲ πρὸϲ ἄλλουϲ
αὐγάϲεαι· ϲέο δ' ἄλλοϲ ἀνὴρ κεχρημένοϲ ἔϲται.
εἰ δέ κεν ἠελίοιο τροπῇϲ ἀρόῳϲ χθόνα δῖαν,
ἥμενοϲ ἀμήϲειϲ ὀλίγον περὶ χειρὸϲ ἐέργων,

v. 469. μεϲάβῳ

ἀντία δεϲμεύων κεκονιμένοϲ, οὐ μάλα χαίρων,
οἴϲειϲ δ' ἐν φορμῷ· παῦροι δέ ϲε θηήϲονται.

ἄλλοτε δ' ἀλλοῖοϲ Ζηνὸϲ νόοϲ αἰγιόχοιο,
ἀργαλέοϲ δ' ἄνδρεϲϲι καταθνητοῖϲι νοῆϲαι.

εἰ δέ κεν ὄψ' ἀρόϲῃϲ, τόδε κέν τοι φάρμακον εἴη·
ἦμοϲ κόκκυξ κοκκύζει δρυὸϲ ἐν πετάλοιϲι
τὸ πρῶτον τέρπει τε βροτοὺϲ ἐπ' ἀπείρονα γαῖαν,
τῆμοϲ Ζεὺϲ ὕοι τρίτῳ ἤματι μηδ' ἀπολήγοι,
μήτ' ἄρ' ὑπερβάλλων βοὸϲ ὁπλὴν μήτ' ἀπολείπων·
οὕτω κ' ὀψαρότηϲ πρωτηρότῃ ἰϲοφαρίζοι.

ἐν θυμῷ δ' εὖ πάντα φυλάϲϲεο· μηδέ ϲε λήθοι
μήτ' ἔαρ γιγνόμενον πολιὸν μήθ' ὥριοϲ ὄμβροϲ.

πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέϲχην
ὥρῃ χειμερίῃ, ὁπότε κρύοϲ ἀνέραϲ ἔργων
ἰϲχάνει, ἔνθα κ' ἄοκνοϲ ἀνὴρ μέγα οἶκον †ὀφέλλει,
μή ϲε κακοῦ χειμῶνοϲ ἀμηχανίη καταμάρψῃ
ϲὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζῃϲ.
πολλὰ δ' ἀεργὸϲ ἀνήρ, κενεὴν ἐπὶ ἐλπίδα μίμνων,
χρηίζων βιότοιο κακὰ προϲελέξατο θυμῷ.

ἐλπὶϲ δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει
ἥμενον ἐν λέϲχῃ, τῷ μὴ βίοϲ ἄρκιοϲ εἴη.

δείκνυε δὲ δμώεϲϲι θέρευϲ ἔτι μέϲϲου ἐόντοϲ·
«οὐκ αἰεὶ θέροϲ ἐϲϲεῖται, ποιεῖϲθε καλιάϲ.»

Μῆνα δὲ Ληναιῶνα, κάκ' ἤματα, βούδορα πάντα,
τοῦτον ἀλεύαϲθαι καὶ πηγάδαϲ, αἵ τ' ἐπὶ γαῖαν
πνεύϲαντοϲ Βορέαο δυϲηλεγέεϲ τελέθουϲιν,
ὅϲ τε διὰ Θρήκηϲ ἱπποτρόφου εὐρέι πόντῳ
ἐμπνεύϲαϲ ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη·

v. 491. λήθη v. 493. ἐπ' ἀλέα et ἐπ' ἀλέᾳ v. 504. βουδόρα

πολλὰς δὲ δρῦς ὑψικόμους ἐλάτας τε παχείας
οὔρεος ἐν βήσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
ἐμπίπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη·
θῆρες δὲ φρίσσους', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο,
τῶν καὶ λάχνῃ δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν
ψυχρὸς ἐὼν διάησι δασυστέρνων περ ἐόντων·
καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει·
καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔ τι,
οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν
ἲς ἀνέμου Βορέου· τροχαλὸν δὲ γέροντα τίθησι·
καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησιν,
ἥ τε δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνει
οὔ πω ἔργ' εἰδυῖα πολυχρύσου Ἀφροδίτης,
εὖτε λοεσσαμένη τέρενα χρόα καὶ λίπ' ἐλαίῳ
χρισαμένη μυχίη καταλέξεται ἔνδοθεν οἴκου
ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τένδει
ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἤθεσι λευγαλέοισιν·
οὐ † γάρ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι,
ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
στρωφᾶται, βράδιον δὲ Πανελλήνεσσι φαείνει.
καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
λυγρὸν μυλιόωντες ἀνὰ δρία βησσήεντα
φεύγουσιν· καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλεν,
οἳ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι
καὶ γλάφυ πετρῆεν· τότε δὴ τρίποδι †βροτῷ ἶσοι,
οὗ τ' ἐπὶ νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται,
τῷ ἴκελοι φοιτῶσιν ἀλευόμενοι νίφα λευκήν.

καὶ τότε ἕσσασθαι ἔρυμα χροός, ὥς σε κελεύω,
χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα,
στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι·
τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσι,
μηδ' ὀρθαὶ φρίσσωσιν ἀειρόμεναι κατὰ σῶμα·
ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο
ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.

---

v. 523. νυχίη v. 528. παρ' Ἑλλήνεσσι v. 530. μαλκιόωντες

πρωτογόνων δ' ἐρίφων, ὁπότ' ἂν κρύος ὥριον ἔλθῃ,
δέρματα συρράπτειν νεύρῳ βοός, ὄφρ' ἐπὶ νώτῳ
ὑετοῦ ἀμφιβάλῃ ἀλέην· κεφαλῆφι δ' ὕπερθε
πῖλον ἔχειν ἀσκητόν, ἵν' οὔατα μὴ καταδεύῃ.
ψυχρὴ γάρ τ' ἠὼς πέλεται Βορέαο πεσόντος·
ἠῷος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος
ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις,
ὅς τε ἀρυσσάμενος ποταμῶν ἄπο αἰεναόντων
ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ
ἄλλοτε μέν θ' ὕει ποτὶ ἕσπερον, ἄλλοτ' ἄησι
πυκνὰ Θρηικίου Βορέου νέφεα κλονέοντος.
τὸν φθάμενος ἔργον τελέσας οἶκόνδε νέεσθαι,
μή ποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ,
χρῶτα δὲ μυδαλέον θείῃ, κατὰ δ' εἵματα δεύῃ,
ἀλλ' ὑπαλεύασθαι· μεὶς γὰρ χαλεπώτατος οὗτος
χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις.
τῆμος τὤμισυ βουσίν, ἐπ' ἀνέρι δὲ πλέον εἴη
ἁρμαλιῆς· μακραὶ γὰρ ἐπίρροθοι εὐφρόναι εἰσί.
— *ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν*
— *ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰς ὅ κεν αὖτις*
— *γῆ πάντων μήτηρ καρπὸν σύμμικτον ἐνείκῃ.*

εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
χειμέρι' ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ' ἀστὴρ
Ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον Ὠκεανοῖο
πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκροκνέφαιος·
τὸν δὲ μέτ' ὀρθογόη Πανδιονὶς ὦρτο χελιδὼν
ἐς φάος ἀνθρώποις ἔαρος νέον ἱσταμένοιο·
τὴν φθάμενος οἴνας περιτεμνέμεν· ὣς γὰρ ἄμεινον.
ἀλλ' ὁπότ' ἂν φερέοικος ἀπὸ χθονὸς ἂμ φυτὰ βαίνῃ
Πληιάδας φεύγων, τότε δὴ σκάφος οὐκ ἔτι οἰνέων·
ἀλλ' ἅρπας τε χαρασσέμεναι καὶ δμῶας ἐγείρειν,
φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ' ἠῶ κοῖτον
ὥρῃ ἐν ἀμήτου, ὅτε τ' ἠέλιος χρόα κάρφει·
τημοῦτος σπεύδειν καὶ οἴκαδε καρπὸν ἀγείρειν
ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴῃ.

---

v. 549. ὀμβροφόρος v. 568. ὀρθρογόη et ὀρθοβόη
v. 576. καρπὸν ἀγινεῖν

ἠὼς γάρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶςαν.

Ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου·
ἠώς, ἥ τε φανεῖςα πολέας ἐπέβηςε κελεύθου
ἀνθρώπους, πολλοῖςι δ' ἐπὶ ζυγὰ βουςὶ τίθηςιν.

ἦμος δὲ ςκόλυμός τ' ἀνθεῖ, καὶ ἠχέτα τέττιξ
δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,
τῆμος πιόταταί τ' αἶγες καὶ οἶνος ἄριςτος,
μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ † τοι ἄνδρες
εἰςίν, ἐπεὶ κεφαλὴν καὶ γούνατα Ceίριος ἄζει,
αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος· ἀλλὰ τότ' ἤδη
εἴη πετραίη τε ςκιὴ καὶ βίβλινος οἶνος,
μᾶζά τ' ἀμολγαίη, γάλα τ' αἰγῶν ςβεννυμενάων,
καὶ βοὸς ὑλοφάγοιο κρέας μή πω τετοκυίης
πρωτογόνων τ' ἐρίφων· ἐπὶ δ' αἴθοπα πινέμεν οἶνον,
ἐν ςκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῆς,
ἀντίον ἀκραέος Ζεφύρου τρέψαντα πρόςωπον
κρήνης τ' ἀενάου καὶ ἀπορρύτου, ἥ τ' ἀθόλωτος.

Τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.

δμωςὶ δ' ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν
δινέμεν, εὖτ' ἂν πρῶτα φανῇ ςθένος Ὠρίωνος,
χώρῳ ἐν εὐαέι καὶ ἐυτροχάλῳ ἐν ἀλωῇ·
μέτρῳ δ' εὖ κομίςαςθαι ἐν ἄγγεςιν. αὐτὰρ ἐπὴν δὴ
πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθεν οἴκου,

θῆτά τ' ἄοικον ποιεῖςθαι, καὶ ἄτεκνον ἔριθον
δίζεςθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος·

καὶ κύνα καρχαρόδοντα κομεῖν — μὴ φείδεο ςίτου —,
μή ποτέ ς' ἡμερόκοιτος ἀνὴρ ἀπὸ χρήμαθ' ἕληται·
χόρτον τ' ἐςκομίςαι καὶ ςυρφετόν, ὄφρα τοι εἴη
βουςὶ καὶ ἡμιόνοιςιν ἐπηετανόν. αὐτὰρ ἔπειτα
δμῶας ἀναψῦξαι φίλα γούνατα καὶ βόε λῦςαι.
εὖτ' ἂν δ' Ὠρίων καὶ Ceίριος ἐς μέςον ἔλθῃ

---

v. 578. ἀπαμείρεται v. 589. Βύβλινος

οὐρανόν, Ἀρκτοῦρον δ' ἐςίδῃ ῥοδοδάκτυλος Ἠώς,
ὦ Πέρςη, τότε πάντας ἀπόδρεπε οἴκαδε βότρυς·
δεῖξαι δ' ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας '
πέντε δὲ cυςκιάςαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύςςαι
δῶρα Διωνύςου πολυγηθέος. αὐτὰρ ἐπὴν δὴ
Πληιάδες θ' Ὑάδες τε τό τε cθένος Ὠρίωνος
δύνωςιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
ὡραίου· πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἴη.

Εἰ δέ cε ναυτιλίης δυςπεμφέλου ἵμερος αἱρεῖ,
εὖτ' ἂν Πληιάδες cθένος ὄμβριμον Ὠρίωνος
φεύγουςαι πίπτωςιν ἐς ἠεροειδέα πόντον,
δὴ τότε παντοίων ἀνέμων θύουςιν ἀῆται·
καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ,
γῆν δ' ἐργάζεςθαι μεμνημένος, ὥς cε κελεύω·
νῆα δ' ἐπ' ἠπείρου ἐρύςαι πυκάςαι τε λίθοιςι
πάντοθεν, ὄφρ' ἴςχως' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύςας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος·
ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐγκάτθεο οἴκῳ,
εὐκόςμως cτολίςας νηὸς πτερὰ ποντοπόροιο·
πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάςαςθαι·
αὐτὸς δ' ὡραῖον μίμνειν πλόον, εἰς ὅ κεν ἔλθῃ.
καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν, ἐν δέ τε φόρτον
ἄρμενον ἐντύναςθαι, ἵν' οἴκαδε κέρδος ἄρηαι,
ὥς περ ἐμός τε πατὴρ καὶ cός, μέγα νήπιε Πέρςη,
πλωίζεςκ' ἐν νηυςὶ βίου κεχρημένος ἐςθλοῦ·
ὅς ποτε καὶ τῇδ' ἦλθε πολὺν διὰ πόντον ἀνύςςας,
Κύμην Αἰολίδα προλιπών, ἐν νηὶ μελαίνῃ,
οὐκ ἄφενος φεύγων οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,
ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἄνδρεςςι δίδωςι·
νάςςατο δ' ἄγχ' Ἑλικῶνος ὀιζυρῇ ἐνὶ κώμῃ,
Ἄςκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐςθλῇ.
τύνη δ', ὦ Πέρςη, ἔργων μεμνημένος εἶναι
ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιςτα.

Νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐν φορτία θέςθαι·
μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
ἔςςεται, εἴ κ' ἄνεμοί γε κακὰς ἀπέχωςιν ἀήτας.

εὖτ᾽ ἂν ἐπ᾽ ἐμπορίην τρέψας ἀεσίφρονα θυμόν,
βούλεαι † δὲ χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπῆ,
δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης
οὔτε τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν.
— οὐ γάρ πώ ποτε νηί γ᾽ ἐπέπλων εὐρέα πόντον,
— εἰ μὴ ἐς Εὔβοιαν ἐξ Αὐλίδος, ᾗ ποτ᾽ Ἀχαιοὶ
— μείναντες χειμῶνα πολὺν σὺν λαὸν ἄγειραν
— Ἑλλάδος ἐξ ἱερῆς Τροίην ἐς καλλιγύναικα.
— ἔνθα δ᾽ ἐγὼν ἐπ᾽ ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος
— Χαλκίδα τ᾽ εἰσεπέρησα· τὰ δὲ προπεφραδμένα πολλὰ
— ἄθλ᾽ ἔθεσαν παῖδες μεγαλήτορες· ἔνθα μέ φημι
— ὕμνῳ νικήσαντα φέρειν τρίποδ᾽ ὠτώεντα·
— τὸν μὲν ἐγὼ Μούσαις Ἑλικωνιάδεσσ᾽ ἀνέθηκα,
— ἔνθα με τὸ πρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
— τόσσον τοι νηῶν γε πεπείρημαι πολυγόμφων·
— ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο·
— Μοῦσαι γάρ μ᾽ ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.

ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο
ἐς τέλος ἐλθόντος θέρεος, καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
καυάξαις οὔτ᾽ ἄνδρας ἀποφθίσειε θάλασσα,
εἰ δὴ μὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλῃσιν ὀλέσσαι·
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε·
τῆμος δ᾽ εὐκρινέες τ᾽ αὖραι καὶ πόντος ἀπήμων.
εὔκηλος τότε νῆα θοὴν ἀνέμοισι πιθήσας
ἑλκέμεν ἐς πόντον φόρτον τ᾽ ἐς πάντα τίθεσθαι.
σπεύδειν δ᾽ ὅττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι,
μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον
καὶ χειμῶν᾽ ἐπιόντα Νότοιό τε δεινὰς ἀήτας,
ὅς τ᾽ ὤρινε θάλασσαν ὁμαρτήσας Διὸς ὄμβρῳ,
πολλῷ ὀπωρινῷ, χαλεπὸν δέ τε πόντον ἔθηκεν.
ἄλλος δ᾽ εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν·
ἦμος δὴ τὸ πρῶτον, ὅσον τ᾽ ἐπιβᾶσα κορώνη

v. 646 sq. τρέψῃς — βούλῃαι δὲ χρέα τε φυγεῖν v. 647. ἀτερπέα λιμόν v. 649. σεσοφιμένος

ἴχνοc ἐποίηcεν, τόccον πέταλ' ἀνδρὶ φανείη
ἐν κράδῃ ἀκροτάτῃ, τότε δ' ἄμβατόc ἐcτι θάλαccα·
εἰαρινὸc δ' οὗτοc πέλεται πλόοc. οὔ μιν ἔγωγε
αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαριcμένοc ἐcτίν,
ἁρπακτόc· χαλεπῶc κε φύγοιc κακόν· ἀλλά νυ καὶ τὰ
ἄνθρωποι ῥέζουcιν ἀιδρείῃcι νόοιο·
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖcι βροτοῖcι.
δεινὸν δ' ἐcτὶ θανεῖν μετὰ κύμαcιν. ἀλλά c' ἄνωγα
φράζεcθαι τάδε πάντα μετὰ φρεcίν, ὡc ἀγορεύω.

Μηδ' ἐνὶ νηυcὶν ἅπαντα βίον κοίλῃcι τίθεcθαι·
ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεcθαι.

Δεινὸν γὰρ πόντου μετὰ κύμαcι πήματι κῦρcαι.

Δεινὸν δ', εἴ κ' ἐφ' ἅμαξαν ὑπέρβιον ἄχθοc ἀείραc
ἄξονα καυάξαιc καὶ φορτί' ἀμαυρωθείη.

Μέτρα φυλάccεcθαι· καιρὸc δ' ἐπὶ πᾶcιν ἄριcτοc.

Ὡραῖοc δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεcθαι,
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων
μήτ' ἐπιθεὶc μάλα πολλά· γάμοc δέ τοι ὥριοc οὗτοc·
ἡ δὲ γυνὴ τέτορ' ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο.
παρθενικὴν δὲ γαμεῖν, ὥc κ' ἤθεα κεδνὰ διδάξῃc·
τὴν δὲ μάλιcτα γαμεῖν, ἥ τιc cέθεν ἐγγύθι ναίει,
πάντα μάλ' ἀμφὶc ἰδών, μὴ γείτοcι χάρματα γήμῃc.
οὐ μὲν γάρ τι γυναικὸc ἀνὴρ ληίζετ' ἄμεινον
τῆc ἀγαθῆc· τῆc δ' αὖτε κακῆc οὐ ῥίγιον ἄλλο,
δειπνολόχηc, ἥ τ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
εὕει ἄτερ δαλοῦ καὶ ὠμῷ γήραϊ δῶκεν.

Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένοc
εἶναι.

Μηδὲ καcιγνήτῳ ἶcον ποιεῖcθαι ἑταῖρον·
εἰ δέ κε ποιήcῃc, μή μιν πρότεροc κακὸν ἔρξῃc,

---

v. 692. ἐπ' ἅμαξαν v. 699. ἵνα ἤθεα v. 705. καὶ ἐν ὠμῷ γήραϊ θῆκεν

μηδὲ ψεύδεcθαι γλώccηc χάριν· εἰ δέ cέ γ' ἄρχει
ἤ τι ἔποc εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξαc,
δὶc τόcα τίνυcθαι μεμνημένοc· εἰ δέ cέ γ' αὖτιc
ἡγεῖτ' ἐc φιλότητα, δίκην δ' ἐθέλῃcι παραcχεῖν,
δέξαcθαι. δειλόc τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται· cὲ δὲ μή τι νόον κατελεγχέτω εἶδοc.

Μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεcθαι,
μηδὲ κακῶν ἕταρον μηδ' ἐcθλῶν νεικητῆρα.

Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόcιν αἰὲν ἐόντων.

Γλώccηc τοι θηcαυρὸc ἐν ἀνθρώποιcιν ἄριcτοc
φειδωλῆc, πλείcτη δὲ χάριc κατὰ μέτρον ἰούcηc.

Εἰ δὲ κακὸν εἴποιc, τάχα κ' αὐτὸc μεῖζον ἀκούcαιc.

Μηδὲ πολυξείνου δαιτὸc δυcπέμφελοc εἶναι
ἐκ κοινοῦ· πλείcτη δὲ χάριc, δαπάνη τ' ὀλιγίcτη.

Μηδέ ποτ' ἐξ ἠοῦc Διὶ λείβειν αἴθοπα οἶνον
χερcὶν ἀνίπτοιcιν, μηδ' ἄλλοιc ἀθανάτοιcιν·
οὐ γὰρ τοί γε κλύουcιν, ἀποπτύουcι δέ τ' ἀράc.

Μηδ' ἀντ' ἠελίοιο τετραμμένοc ὀρθὸc ὀμιχεῖν,
αὐτὰρ ἐπεί κε δύῃ, μεμνημένοc, ἔc τ' ἀνιόντα·
μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸc ὁδοῦ προβάδην οὐρήcῃc
μήτ' ἀπογυμνωθείc· μακάρων τοι νύκτεc ἔαcιν·
ἑζόμενοc δ' ὅ γε θεῖοc ἀνὴρ πεπνυμένα εἰδώc,
ἢ ὅ γε πρὸc τοῖχον πελάcαc εὐερκέοc αὐλῆc.

Μηδ' αἰδοῖα γονῇ πεπαλαγμένοc ἔνδοθεν οἴκου
ἱcτίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέαcθαι·
μηδ' ἀπὸ δυcφήμοιο τάφου ἀπονοcτήcαντα

v. 709. εἰ δέ κεν ἄρχῃ  v. 711 sq. εἰ δέ κεν αὖθιc | ἡγῆτ' ἐθέλῃcι  v. 716. νεικεcτῆρα  v. 721. κακόν κ' εἴπῃc  v. 730. μηδ' ἀπογυμνωθῇc

ϲπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτόϲ.

Μηδέ ποτ' ἀενάων ποταμῶν καλλίρροον ὕδωρ
ποϲϲὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐϲ καλὰ ῥέεθρα
χεῖραϲ νιψάμενοϲ πολυηράτῳ ὕδατι λευκῷ.
— Ὃϲ ποταμὸν διαβῇ, κακότητ' ἴδε χεῖραϲ ἄνιπτοϲ·
— τῷ δὲ θεοὶ νεμεϲῶϲι καὶ ἄλγεα δῶκαν ὀπίϲϲω.

Μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι ϲιδήρῳ.

Μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆροϲ ὕπερθε
πινόντων· ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.

Μηδὲ δόμον ποιῶν ἀνεπίξεϲτον καταλείπειν,
μή τοι ἐφεζομένη κρώζῃ λακέρυζα κορώνη.

Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀνελόντα
ἔϲθειν μηδὲ λόεϲθαι· ἐπεὶ καὶ τοῖϲ ἔνι ποινή.

Μηδ' ἐπ' ἀκινήτοιϲι καθίζειν—οὐ γὰρ ἄμεινον—
παῖδα δυωδεκαταῖον, ὅ τ' ἀνέρ' ἀνήνορα ποιεῖ,
μηδὲ δυωδεκάμηνον· ἶϲον καὶ τοῦτο τέτυκται.
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεϲθαι
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔϲτ' ἐπὶ καὶ τῷ
ποινή. μηδ' ἱεροῖϲιν ἐπ' αἰθομένοιϲι κυρήϲαϲ
μωμεύειν ἀίδηλα· θεόϲ νύ τι καὶ τὰ νεμεϲϲᾷ.

— Μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων
— μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέαϲθαι·

---

736b = 758. *μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι·*

---

v. 740. κακότητι δὲ et κακότητ' ἔπι v. 746. ἀνεπίρρεκτον v. 756. θεόϲ τοι

— μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔ τοι λώϊόν ἐστιν.

῟Ωδ' ἔρδειν, δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην·
φήμη γάρ τε κακὴ πέλεται, κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.

Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
λαοὶ φημίζουσι· θεός νύ τις ἐστὶ καὶ αὐτή.

---

Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος εὖ κατὰ μοῖραν
πεφραδέμεν δμώεσσι· τριηκάδα μηνὸς ἀρίστην
ἔργα τ' ἐποπτεύειν ἠδ' ἁρμαλιὴν δατέασθαι,
εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν.

Αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς παρὰ μητιόεντος.
πρῶτον ἔνη τετράς τε καὶ ἑβδόμη ἱερὸν ἦμαρ,
— τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ —
ὀγδοάτη τ' ἐνάτη τε· δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι·
ἑνδεκάτη τε δυωδεκάτη τ'· ἄμφω γε μὲν ἐσθλαί,
ἣ μὲν ὄις πείκειν, ἣ δ' εὔφρονα καρπὸν ἀμᾶσθαι·
ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων·
τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης
ἤματος ἐκ πλείου, ὅτε τ' ἴδρις σωρὸν ἀμᾶται·
τῇ δ' ἱστὸν στήσαιτο γυνὴ προβάλοιτό τε ἔργον.
μηνὸς δ' ἱσταμένου τρισκαιδεκάτην ἀλέασθαι
σπέρματος ἄρξασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.
ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσιν,
ἀνδρογόνος δ' ἀγαθή· κούρῃ δ' οὐ σύμφορός ἐστιν,
οὔτε γενέσθαι πρῶτ' οὔτ' ἄρ γάμου ἀντιβολῆσαι.
οὐδὲ μὲν ἡ πρώτη ἕκτη κούρῃ † τε γενέσθαι
ἄρμενος, ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων,

---

v. 764 sq. λαοὶ | πολλοὶ φημίξωσι v. 768. ἀληθείῃ
v. 777. νῇ v. 781. σπέρματα δάσσασθαι v. 782. μάλα
σύμφορός

ϲηκόν τ᾽ ἀμφιβαλεῖν ποιμνήιον ἤπιον ἦμαρ·
ἐϲθλὴ δ᾽ ἀνδρογόνοϲ· φιλέοι δέ κε κέρτομα βάζειν
ψεύδεά θ᾽ αἱμυλίουϲ τε λόγουϲ κρυφίουϲ τ᾽ ὀαριϲμούϲ.
 μηνὸϲ δ᾽ ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆαϲ δὲ δυωδεκάτῃ ταλαεργούϲ.
 εἰκάδι δ᾽ ἐν μεγάλῃ, πλέῳ ἤματι, ἵϲτορα φῶτα
γείναϲθαι· μάλα γάρ τε νόον πεπυκαϲμένοϲ ἐϲτίν.
— ἐϲθλὴ δ᾽ ἀνδρογόνοϲ δεκάτη· κούρῃ δέ τε τετρὰϲ
— μέϲϲη· τῇ δέ τε μῆλα καὶ εἰλίποδαϲ ἕλικαϲ βοῦϲ
— καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆαϲ ταλαεργοὺϲ
— πρηΰνειν, ἐπὶ χεῖρα τιθείϲ. πεφύλαξο δὲ θυμῷ
τετράδ᾽ ἀλεύαϲθαι φθίνοντόϲ θ᾽ ἱϲταμένου τε
ἄλγεα θυμοβορεῖν· μάλα τοι τετελεϲμένον ἦμαρ.
 ἐν δὲ τετάρτῃ μηνὸϲ ἄγεϲθ᾽ εἰϲ οἶκον ἄκοιτιν,
οἰωνοὺϲ κρίναϲ, οἳ ἐπ᾽ ἔργματι τούτῳ ἄριϲτοι.
 πέμπταϲ δ᾽ ἐξαλέαϲθαι, ἐπεὶ χαλεπαί τε καὶ αἰναί·
ἐν πέμπτῃ γάρ φαϲιν Ἐρινύαϲ ἀμφιπολεύειν
Ὅρκον γεινόμενον, τὸν Ἔριϲ τέκε πῆμ᾽ ἐπιόρκοιϲ.
 μέϲϲῃ δ᾽ ἑβδομάτῃ Δημήτεροϲ ἱερὸν ἀκτὴν
εὖ μάλ᾽ ὀπιπεύονταϲ ἐυτροχάλῳ ἐν ἀλωῇ
βάλλειν, ὑλοτόμον τε ταμεῖν θαλαμήια δοῦρα
νήιά τε ξύλα πολλά, τά τ᾽ ἄρμενα νηυϲὶ πέλονται.
 τετράδι δ᾽ ἄρχεϲθαι νῆαϲ πήγνυϲθαι ἀραιάϲ.
 εἰνὰϲ δ᾽ ἡ μέϲϲη ἐπὶ δείελα λώιον ἦμαρ,
πρωτίϲτη δ᾽ εἰνὰϲ παναπήμων ἀνθρώποιϲιν·
ἐϲθλὴ μὲν γάρ θ᾽ ἥδε φυτευέμεν ἠδὲ γενέϲθαι
ἀνέρι τ᾽ ἠδὲ γυναικί· καὶ οὔ ποτε πάγκακον ἦμαρ.
 παῦροι δ᾽ αὖτε ἴϲαϲι τριϲεινάδα μηνὸϲ ἀρίϲτην
ἄρξαϲθαί τε πίθου καὶ ἐπὶ ζυγὸν αὐχένα θεῖναι
βουϲὶ καὶ ἡμιόνοιϲι καὶ ἵπποιϲ ὠκυπόδεϲϲι,
νῆα πολυκλήιδα θοὴν εἰϲ οἴνοπα πόντον
εἰρύμεναι· παῦροι δέ τ᾽ ἀληθέα κικλήϲκουϲι·
τετράδι δ᾽ οἶγε πίθον· περὶ πάντων ἱερὸν ἦμαρ
μέϲϲη· παῦροι δ᾽ αὖτε μετ᾽ εἰκάδα μηνὸϲ ἀρίϲτην

808[b] = 420 τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ.

v. 788. φιλέει δέ τε    v. 804. Ὅρκον τιννυμένας

ἠοῦς γιγνομένης· ἐπὶ δείελα δ' ἐστὶ χερείων.
αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ,
αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.

Ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δέ τ' ἴσασιν.

Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.

Τάων εὐδαίμων τε καὶ ὄλβιος, ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν,
ὄρνιθας κρίνων καὶ ὑπερβασίας ἀλεείνων.

---

# ΗΣΙΟΔΟΥ

## ΑΣΠΙΣ ΗΡΑΚΛΕΟΥΣ.

Ἢ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν
ἤλυθεν ἐς Θήβας μετ' ἀρήιον Ἀμφιτρύωνα
Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος,
ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων
εἴδεΐ τε μεγέθει τε· νόον γε μὲν οὔ τις ἔριζε
τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι·
τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἀπὸ κυανεάων
τοῖον ἄηθ', οἷόν τε πολυχρύσου Ἀφροδίτης.
ἣ δὲ καὶ ὧς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην,
ὡς οὔ πώ τις ἔτισε γυναικῶν θηλυτεράων·
ἦ μήν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανεν ἶφι δαμάσσας,
χωσάμενος περὶ βουσί· λιπὼν δ' ὅ γε πατρίδα γαῖαν
ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους.
ἔνθ' ὅ γε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι
νόσφιν ἄτερ φιλότητος ἐφιμέρου· οὐ γάρ †οἱ ἦεν
πρὶν λεχέων ἐπιβῆναι ἐυσφύρου Ἠλεκτρυώνης,
πρίν γε φόνον τίσαιτο κασιγνήτων μεγαθύμων
ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων.

ὣϲ γάρ οἱ διέκειτο, θεοὶ δ' ἐπιμάρτυροι ἦϲαν.
τῶν ὅ γ' ὀπίζετο μῆνιν, ἐπείγετο δ' ὅττι τάχιϲτα
ἐκτελέϲαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμιϲ ἦεν.
τῷ δ' ἅμα ἱέμενοι πολέμοιό τε φυλόπιδόϲ τε
Βοιωτοὶ πλήξιπποι, ὑπὲρ ϲακέων πνείοντεϲ,
Λοκροί τ' ἀγχέμαχοι καὶ Φωκῆεϲ μεγάθυμοι
ἕϲποντ'· ἦρχε δὲ τοῖϲιν ἐὺϲ πάιϲ Ἀλκαίοιο,
κυδιόων λαοῖϲι. πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
ἄλλην μῆτιν ὕφαινε μετὰ φρεϲίν, ὥϲ ῥα θεοῖϲιν
ἀνδράϲι τ' ἀλφηϲτῇϲιν ἀρῆϲ ἀλκτῆρα φυτεύϲαι.
ὦρτο δ' ἀπ' Οὐλύμποιο δόλον φρεϲὶ βυϲϲοδομεύων,
ἱμείρων φιλότητοϲ ἐυζώνοιο γυναικόϲ,
ἐννύχιοϲ· τάχα δ' ἷξε Τυφαόνιον, τόθεν αὖτιϲ
Φίκιον ἀκρότατον προϲεβήϲατο μητίετα Ζεύϲ·
ἔνθα καθεζόμενοϲ φρεϲὶ μήδετο θέϲκελα ἔργα.
αὐτῇ μὲν γὰρ νυκτὶ τανυϲφύρου Ἠλεκτρυώνηϲ
εὐνῇ καὶ φιλότητι μίγη, τέλεϲεν δ' ἄρ' ἐέλδωρ·
αὐτῇ δ' Ἀμφιτρύων λαοϲϲόοϲ, ἀγλαὸϲ ἥρωϲ,
ἐκτελέϲαϲ μέγα ἔργον ἀφίκετο ὅνδε δόμονδε,
οὐδ' ὅ γ' ἐπὶ δμῶαϲ καὶ ποιμέναϲ ἀγροιώταϲ
ὦρτ' ἰέναι, πρίν γ' ἧϲ ἀλόχου ἐπιβήμεναι εὐνῆϲ·
τοῖοϲ γὰρ κραδίην πόθοϲ αἴνυτο ποιμένα λαῶν.
ὡϲ δ' ὅτ' ἀνὴρ ἀϲπαϲτὸν ὑπεκπροφύγῃ κακότητα
νούϲου ὑπ' ἀργαλέηϲ ἢ καὶ κρατεροῦ ὑπὸ δεϲμοῦ,
ὣϲ ῥα τότ' Ἀμφιτρύων χαλεπὸν πόνον ἐκτολυπεύϲαϲ
ἀϲπαϲίωϲ τε φίλωϲ τε ἑὸν δόμον εἰϲαφίκανε.
παννύχιοϲ δ' ἄρ' ἔλεκτο ϲὺν αἰδοίῃ παρακοίτι,
τερπόμενοϲ δώροιϲι πολυχρύϲου Ἀφροδίτηϲ.
ἣ δὲ θεῷ δμηθεῖϲα καὶ ἀνέρι πολλὸν ἀρίϲτῳ
Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε,
οὐκ ἔθ' ὁμὰ φρονέοντε· καϲιγνήτω γε μὲν ἤϲτην·
τὸν μὲν χειρότερον, τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην·
τὸν μὲν ὑποδμηθεῖϲα κελαινεφέι Κρονίωνι,
αὐτὰρ Ἰφικλῆα δορυϲϲόῳ Ἀμφιτρύωνι,
κεκριμένην γενεήν· τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖϲα,

---

v. 28 sq. ὄφρα — φυτεύϲῃ   v. 54. Ἰφικλῆ λαοϲϲόῳ

τὸν δὲ Διὶ Κρονίωνι, θεῶν σημάντορι πάντων.

῞Ος καὶ Κύκνον ἔπεφνεν ᾿Αρητιάδην μεγάθυμον.
εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου ᾿Απόλλωνος
αὐτὸν καὶ πατέρα ὃν ῎Αρην, ἄτον πολέμοιο,
τεύχεσι λαμπομένους σέλας ὣς πυρὸς αἰθομένοιο,
ἑσταότ᾽ ἐν δίφρῳ· χθόνα δ᾽ ἔκτυπον ὠκέες ἵπποι
νύσσοντες χηλῇσι, κόνις δέ σφ᾽ ἀμφιδεδήει,
κοπτομένη πλεκτοῖσιν ὑφ᾽ ἅρμασι καὶ ποσὶν ἵππων.
ἅρματα δ᾽ εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον
ἵππων ἱεμένων· κεχάρητο δὲ Κύκνος ἀμύμων,
ἐλπόμενος Διὸς υἱὸν ἀρήιον ἡνίοχόν τε
χαλκῷ δῃώσειν καὶ ἀπὸ κλυτὰ τεύχεα δύσειν.
ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε Φοῖβος ᾿Απόλλων·
αὐτὸς γάρ οἱ ἐπῶρσε βίην ῾Ηρακληείην.
πᾶν δ᾽ ἄλσος καὶ βωμὸς ᾿Απόλλωνος Παγασαίου
λάμπεν ὑπαὶ δεινοῖο θεοῦ τευχέων τε καὶ αὐτοῦ·
πῦρ δ᾽ ὣς ὀφθαλμῶν ἀπελάμπετο. τίς κεν ἐκείνῳ
ἔτλη θνητὸς ἐὼν κατεναντίον ὁρμηθῆναι,
πλὴν ῾Ηρακλῆος καὶ κυδαλίμου ᾿Ιολάου;
κείνων γὰρ μεγάλη τε βίη, καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
ὅς ῥα τόθ᾽ ἡνίοχον προσέφη κρατερὸν ᾿Ιόλαον·
«ἥρως ὦ ᾿Ιόλαε, βροτῶν πολὺ φίλτατε πάντων,
ἦ τι †μετ᾽ ἀθανάτους μάκαρας, τοὶ ῎Ολυμπον ἔχουσιν,
ἤλιτεν ᾿Αμφιτρύων, ὅτ᾽ ἐυστέφανον ποτὶ Θήβην
ἦλθε λιπὼν Τίρυνθον, ἐυκτίμενον πτολίεθρον,
κτείνας ᾿Ηλεκτρύωνα βοῶν ἕνεκ᾽ εὐρυμετώπων,
ἵκετο δ᾽ ἐς Κρείοντα καὶ ῾Ηνιόχην τανύπεπλον,
οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖχον,
ἣ δίκη ἔσθ᾽ ἱκέτῃσι, τίον δ᾽ ἄρα κηρόθι μᾶλλον.
ζῶε δ᾽ ἀγαλλόμενος σὺν ἐυσφύρῳ ᾿Ηλεκτρυώνῃ,
ᾗ ἀλόχῳ· τάχα δ᾽ ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
γεινόμεθ᾽, οὔτε φυὴν ἐναλίγκιοι οὔτε νόημα,
σός τε πατὴρ καὶ ἐγώ· τοῦ μὲν φρένας ἐξέλετο Ζεύς,
ὃς προλιπὼν σφέτερόν τε δόμον σφετέρους τε τοκῆας
ᾤχετο τιμήσων ἀλιτήμενον Εὐρυσθῆα,
σχέτλιος· ἦ που πολλὰ μετεστοναχίζετ᾽ ὀπίσσω,

ἣν ἄτην ἀχέων· ἡ δ᾿ οὐ παλινάγρετός ἐστιν.
αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ᾿ ἀέθλους.
ὦ φίλος, ἀλλὰ σὺ θᾶσσον ἔχ᾿ ἡνία φοινικόεντα
ἵππων ὠκυπόδων· μέγα δὲ φρεσὶ θάρσος ἀέξων
ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων,
μηδὲν ὑποδδείσας κτύπον Ἄρεος ἀνδροφόνοιο,
ὃς νῦν κεκληγὼς περιμαίνεται ἱερὸν ἄλσος
Φοίβου Ἀπόλλωνος, ἑκατηβελέταο ἄνακτος.
ἦ μὴν καὶ κρατερός περ ἐὼν ἄαται πολέμοιο.»
τὸν δ᾿ αὖτε προσέειπεν ἀμώμητος Ἰόλαος·
«ἠθεῖ᾿, ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε
τιμᾷ σὴν κεφαλὴν καὶ ταύρεος Ἐννοσίγαιος,
ὃς Θήβης κρήδεμνον ἔχει ῥύεταί τε πόληα·
οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε
σὰς ἐς χεῖρας ἄγουσιν, ἵνα κλέος ἐσθλὸν ἄρηαι.
ἀλλ᾿ ἄγε, δύσεο τεύχε᾿ ἀρήια, ὄφρα τάχιστα
δίφρους ἐμπελάσαντες Ἄρηός θ᾿ ἡμέτερόν τε
μαρνώμεσθ᾿, ἐπεὶ οὔ τοι ἀτάρβητον Διὸς υἱὸν
οὐδ᾿ Ἰφικλείδην δειδίξεται· ἀλλά μιν οἴω
φεύξεσθαι δύο παῖδας ἀμύμονος Ἀλκείδαο,
οἵ δή σφι σχεδόν εἰσι λιλαιόμενοι πολέμοιο
φυλόπιδα στήσειν, τά σφιν πολὺ φέρτερα θοίνης.»
ὧς φάτο· μείδησεν δὲ βίη Ἡρακληείη,
θυμῷ γηθήσας· μάλα γάρ νύ οἱ ἄρμενα εἶπε·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
«ἥρως ὦ Ἰόλαε, διοτρεφές, οὐκέτι τηλοῦ
ὑσμίνη τρηχεῖα· σὺ δ᾿, ὡς πάρος ἦσθα δαΐφρων,
ὣς καὶ νῦν μέγαν ἵππον Ἀρείονα κυανοχαίτην
πάντῃ ἀναστρωφᾶν καὶ ἀρηγέμεν, ὥς κε δύνηαι.»
ὣς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ,
Ἡφαίστου κλυτὰ δῶρα, περὶ κνήμῃσιν ἔθηκε.
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε,
καλόν, χρύσειον, πολυδαίδαλον, ὅν οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη, κούρη Διός, ὁππότ᾿ ἔμελλε
τὸ πρῶτον στονόεντας ἐφορμήσασθαι ἀέθλους.
θήκατο δ᾿ ἀμφ᾿ ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
δεινὸς ἀνήρ· κοίλην δὲ περὶ στήθεσσι φαρέτρην
καββάλετ᾿ ἐξόπιθεν· πολλοὶ δ᾿ ἔντοσθεν ὀιστοὶ

ῥιγηλοί, θανάτοιο λαθιφθόγγοιο δοτῆρεϲ·
πρόϲθεν μὲν θάνατόν τ' εἶχον καὶ δάκρυϲι μῦρον,
μέϲϲοι δὲ ξεϲτοὶ περιμήκεεϲ, αὐτὰρ ὄπιϲθε
μορφνοῖο φλεγύαο καλυπτόμενοι πτερύγεϲϲιν
†ἦϲαν· ὃ δ' ὄμβριμον ἔγχοϲ ἀκαχμένον αἴθοπι χαλκῷ,
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκε,
δαιδαλέην, ἀδάμαντοϲ, ἐπὶ κροτάφοιϲ ἀραρυῖαν,
ἥ τ' εἴρυτο κάρη Ἡρακλῆοϲ θείοιο.
χερϲί γε μὲν ϲάκοϲ εἷλε παναίολον· οὐδέ τιϲ αὐτὸ
οὔτ' ἔρρηξε βαλὼν οὔτ' ἔθλαϲϲε, θαῦμα ἰδέϲθαι.

πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ λευκῷ τ' ἐλέφαντι
ἠλέκτρῳ θ' ὑπολαμπὲϲ ἔην, χρυϲῷ τε φαεινῷ
λαμπόμενον, κυάνου δὲ διὰ πτύχεϲ ἠλήλαντο.
ἐν μέϲϲῳ δὲ δράκοντοϲ ἔην φόβοϲ οὔ τι φατειόϲ,
ἔμπαλιν ὄϲϲοιϲιν πυρὶ λαμπομένοιϲι δεδορκώϲ·
τοῦ καὶ ὀδόντων μὲν πλῆτο ϲτόμα λευκὰ θεόντων,
δεινῶν, ἀπλήτων, ἐπὶ δὲ βλοϲυροῖο μετώπου
δεινὴ ἔριϲ πεπότητο κορύϲϲουϲα κλόνον ἀνδρῶν,
ϲχετλίη, ἥ ῥα νόον τε καὶ ἐκ φρέναϲ εἵλετο φωτῶν,
οἵ τινεϲ ἀντιβίην πόλεμον Διὸϲ υἷι φέροιεν·
τῶν καὶ ψυχαὶ μὲν χθόνα δύνουϲ' Ἄιδοϲ εἴϲω
αὐτῶν· ὀϲτέα δέ ϲφι περὶ ῥινοῖο ϲαπείϲηϲ
Σειρίου ἀζαλέοιο κελαινῇ πύθεται αἴῃ.
ἐν δὲ προΐωξίϲ τε παλίωξίϲ τε τέτυκτο,
ἐν δ' ὅμαδόϲ τε φόνοϲ τ' ἀνδροκταϲίη τε δεδήει,
ἐν δ' ἔριϲ, ἐν δὲ κυδοιμὸϲ ἐθύνεον, ἐν δ' ὀλοὴ κήρ,
ἄλλον ζωὸν ἔχουϲα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·
εἷμα δ' ἔχ' ἀμφ' ὤμοιϲι δαφοινεὸν αἵματι φωτῶν,
δεινὸν δερκομένη καναχῇϲί τε βεβρυχυῖα.
ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔϲαν οὔ τι φατειῶν
δώδεκα, ταὶ φοβέεϲκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
οἵ τινεϲ ἀντιβίην πόλεμον Διὸϲ υἷι φέροιεν·
τῶν καὶ ὀδόντων μὲν καναχὴ πέλεν, εὖτε μάχοιτο

---

v. 134. μόρφνοιο v. 135. εἵλετο χαλκῷ v. 144. δ' ἀδάμαντοϲ ἔην Φόβοϲ v. 155. φόβοϲ τ'

Ἀμφιτρυωνιάδης, τὰ δὲ δαίετο θαυματὰ ἔργα·
στίγματα δ' ὣς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσι,
†κυάνεοι κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.
  ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν ἠδὲ λεόντων
ἐς σφέας δερκομένων, κοτεόντων θ' ἱεμένων τε,
τῶν καὶ ὁμιληδὸν στίχες ἤισαν· οὐδέ νυ τῶν γε
οὐδέτεροι τρεέτην· φρῖσσόν γε μὲν αὐχένας ἄμφω.
ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
δοιοί, ἀπουράμενοι ψυχάς, κατὰ δέ σφι κελαινὸν
αἷμ' ἀπελείβετ' ἔραζ'· οἳ δ' αὐχένας ἐξεριπόντες
κείατο τεθνηῶτες ὑπὸ βλοσυροῖσι λέουσι.
τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην κοτέοντε μάχεσθαι,
ἀμφότεροι, χλοῦναί τε σύες χαροποί τε λέοντες.
  ἐν δ' ἦν ὑσμίνη Λαπιθάων αἰχμητάων
Καινέα τ' ἀμφὶ ἄνακτα, Δρύαντά τε Πειρίθοόν τε,
Ὁπλέα τ' Ἐξάδιόν τε, Φάληρόν τε Πρόλοχόν τε,
Μόψον τ' Ἀμπυκίδην Τιταρήσιον, ὄζον Ἄρηος,
Θησέα τ' Αἰγείδην, ἐπιείκελον ἀθανάτοισιν·
ἀργύρεοι, χρύσεια περὶ χροΐ τεύχε' ἔχοντες.
Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο
ἀμφὶ μέγαν Πετραῖον ἰδ' Ἄσβολον οἰωνιστήν,
Ἄρκτον τ' Οὔρειόν τε, μελαγχαίτην τε Μίμαντα,
καὶ δύο Πευκείδας Περιμήδεά τε Δρύαλόν τε,
ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
καί τε συναΐγδην ὡσεὶ ζωοί περ ἐόντες
ἔγχεσιν ἠδ' ἐλάτῃς αὐτοσχεδὸν ὠριγνῶντο.
  ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἔστασαν ἵπποι
χρύσεοι, ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος οὔλιος Ἄρης,
αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,
αἵματι φοινικόεις, ὡσεὶ ζωοὺς ἐναρίζων,
δίφρῳ ἐπεμβεβαώς· παρὰ δὲ Δεῖμός τε Φόβος τε
ἔστασαν ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
ἐν δὲ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
τῇ ἰκέλη, ὡσεί τε μάχην ἐθέλουσα κορύσσειν,
†ἔγχος ἔχουσ' ἐν χερσὶ χρυσέην τε τρυφάλειαν,
αἰγίδα τ' ἀμφ' ὤμοις· ἐπὶ δ' ᾤχετο φύλοπιν αἰνήν.

---

v. 166 sq. δράκουσι | κυάνεα

ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός· ἐν δ' ἄρα μέσσῳ
ἱμερόεν κιθάριζε Διὸς καὶ Λητοῦς υἱὸς
*χρυσείῃ φόρμιγγι· θεῶν δ' ἕδος ἁγνὸς Ὄλυμπος·*
*ἐν δ' ἀγορή, περὶ δ' ὄλβος ἀπείριτος ἐστεφάνωτο*
ἀθανάτων ἐν ἀγῶνι· θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομέναις εἰκυῖαι.
ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης
κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο,
κλυζομένῳ ἴκελος· πολλοί γε μὲν ἂμ μέσον αὐτοῦ
δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες,
νηχομένοις ἴκελοι· δοιοὶ δ' ἀναφυσιόωντες
ἀργύρεοι δελφῖνες † ἐφοίτων ἔλλοπας ἰχθῦς·
τῶν ὕπο χάλκειοι τρέον ἰχθύες. αὐτὰρ ἐπ' ἀκταῖς
ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος· εἶχε δὲ χερσὶν
ἰχθύσιν ἀμφίβληστρον, ἀπορρίψοντι ἐοικώς.
ἐν δ' ἦν ἠυκόμου Δανάης τέκος ἱππότα Περσεύς,
οὔτ' ἄρ' ἐπιψαύων σάκεος ποσίν, οὔθ' ἑκὰς αὐτοῦ,
θαῦμα μέγα φράσσασθ', ἐπεὶ οὐδαμῇ ἐστήρικτο.
τὼς γάρ μιν παλάμαις τεῦξε κλυτὸς Ἀμφιγυήεις,
χρύσεον· ἀμφὶ δὲ ποσσὶν ἔχε πτερόεντα πέδιλα·
ὤμοισιν δέ †μιν ἀμφὶ μελάνδετον ἆορ ἔκειτο
χάλκεον ἐκ τελαμῶνος· ὃ δ' ὥστε νόημ' ἐποτᾶτο·
πᾶν δὲ μετάφρενον εἶχε κάρη δεινοῖο πελώρου
Γοργοῦς· ἀμφὶ δέ μιν κίβισις θέε, θαῦμα ἰδέσθαι,
ἀργυρέη, θύσανοι δὲ κατῃωρεῦντο φαεινοί,
χρύσειοι· δεινὴ δὲ περὶ κροτάφοισιν ἄνακτος
κεῖτ' Ἄιδος κυνέη, νυκτὸς ζόφον αἰνὸν ἔχουσα·
αὐτὸς δὲ σπεύδοντι καὶ ἐρρίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐτιταίνετο. ταὶ δὲ μετ' αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐρρώοντο,
ἱέμεναι μαπέειν· ἐπὶ δὲ χλωροῦ ἀδάμαντος
βαινουσέων ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ
ὀξέα καὶ λιγέως· ἐπὶ δὲ ζώνῃσι δράκοντες
δοιὼ ἀπῃωρεῦντ', ἐπικυρτώοντε κάρηνα·
λίχμαζον δ' ἄρα τώ γε, μένει δ' ἐχάρασσον ὀδόντας
ἄγρια δερκομένω· ἐπὶ δὲ δεινοῖσι καρήνοις
Γοργείοις ἐδονεῖτο μέγας φόβος. οἳ δ' ὑπὲρ αὐτέων
ἄνδρες ἐμαρνάσθην πολεμήια τεύχε' ἔχοντες,

τοὶ μὲν ὑπὲρ cφετέρης πόλιος cφετέρων τε τοκήων
λοιγὸν ἀμύνοντες, τοὶ δὲ πραθέειν μεμαῶτες·
πολλοὶ μὲν κέατο, πλέονες δ' ἔτι δῆριν ἔχοντες
μάρνανθ'· αἱ δὲ γυναῖκες ἐυδμήτων ἐπὶ πύργων
χάλκεον ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειάς,
ζωῇςιν ἴκελαι, ἔργα κλυτοῦ Ἡφαίςτοιο·
ἄνδρες δ', οἳ πρεςβῆες ἔςαν γήρᾳ τε † μέμαρται,
ἀθρόοι ἔντοςθεν πυλέων ἔςαν, ἂν δὲ θεοῖςι
χεῖρας ἔχον μακάρεςςι, περὶ cφετέροιςι τέκεςςι
δειδιότες· τοὶ δ' αὖτε μάχην ἔχον. αἳ δὲ μετ' αὐτοὺς
Κῆρες κυάνεαι, λευκοὺς ἀραβεῦςαι ὀδόντας,
δεινωποὶ βλοςυροί τε δαφοινοί τ' ἄπλητοί τε
δῆριν ἔχον περὶ πιπτόντων· πᾶςαι δ' ἄρ' ἵεντο
αἷμα μέλαν πιέειν· ὃν δὲ πρῶτον †μεμάρποιεν
κείμενον ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
†βάλλ' ὄνυχας μεγάλους· ψυχὴ δ' Ἄιδόςδε †κατεῖεν
Τάρταρον ἐς κρυόενθ'· αἳ δὲ φρένας εὖτ' ἀρέςαντο
αἵματος ἀνδρομέου, τὸν μὲν ῥίπταςκον ὀπίςςω,
ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦςαι.
*Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν· ἣ μὲν ὑφήσσων*
*Ἄτροπος οὔ τι πέλεν μεγάλη θεός, ἀλλ' ἄρα † ἥ γε*
*†τῶν γε μὲν ἀλλάων προφερής τ' ἦν πρεσβυτάτη τε.*
πᾶςαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο,
δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμαςι θυμήναςαι,
ἐν δ' ὄνυχας χεῖράς τε θραςείας ἰςώςαντο.
πὰρ δ' Ἀχλὺς εἱςτήκει ἐπιςμυγερή τε καὶ αἰνή,
χλωρή, ἀυςταλέη, λιμῷ καταπεπτηυῖα,
γουνοπαχής· μακροὶ δ' ὄνυχες χείρεςςιν ὑπῆςαν.
τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον, ἐκ δὲ παρειῶν
αἷμ' ἀπελείβετ' ἔραζ'· ἣ δ' ἄπλητον ςεςαρυῖα
εἱςτήκει, πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους,
δάκρυςι μυδαλέη. παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν·
χρύςειαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι
ἑπτὰ πύλαι· τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χοροῖς τε
τέρψιν ἔχον· τοὶ μὲν γὰρ ἐυςςώτρου ἐπ' ἀπήνης
ἦγοντ' ἀνδρὶ γυναῖκα, πολὺς δ' ὑμέναιος ὀρώρει·

v. 245. γῆράς τ' ἐμέμαρπεν γῆράς τε μέμαρπον

τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
χερσὶν ἔνι δμωῶν· ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι
πρόσθ' ἔκιον· τῇσιν δὲ χοροὶ παίζοντες ἕποντο·
τοὶ μὲν ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
ἐξ ἁπαλῶν στομάτων, περὶ δέ σφισιν ἄγνυτο ἠχώ·
αἳ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.
ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ,
τοί γε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ,
τοί γε μὲν αὖ γελόωντες ὑπ' αὐλητῆρι ἕκαστος
πρόσθ' ἔκιον. πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε
ἀγλαΐαι τ' εἶχον. τοὶ δ' αὖ προπάροιθε πόληος
νῶθ' ἵππων ἐπιβάντες ἐθύνεον. οἱ δ' ἀροτῆρες
ἤρεικον χθόνα δῖαν, ἐπιστολάδην δὲ χιτῶνας
ἐστάλατ'. αὐτὰρ ἔην βαθὺ λήιον· οἵ γε μὲν ἤμων
αἰχμῇς ὀξείῃσι κορωνιόωντα πέτηλα,
βριθόμενα σταχύων, ὡσεὶ Δημήτερος ἀκτήν·
οἳ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον καὶ ἔπιτνον ἀλωήν.
οἳ δ' ἐτρύγων οἴνας δρεπάνας ἐν χερσὶν ἔχοντες·
οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων
λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων
βριθομένων φύλλοισι καὶ ἀργυρέῃς ἑλίκεσσιν·
οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν· παρὰ δέ σφισιν ὄρχος
χρύσεος ἦν, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο,
σειόμενος φύλλοισι καὶ ἀργυρέῃσι κάμαξι,
βριθόμενος σταφυλῇσι· μελάνθησάν γε μὲν αἵδε.
οἵ γε μὲν ἐτράπεον, τοὶ δ' ἤρυον. οἳ δ' ἐμάχοντο
πύξ τε καὶ ἑλκηδόν. τοὶ δ' ὠκύποδας λαγὸς ᾗρευν
ἄνδρες θηρευταί, καὶ καρχαρόδοντε κύνε πρό,
ἱέμενοι μαπέειν, οἳ δ' ἱέμενοι ὑπαλύξαι.
πὰρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον, ἀμφὶ δ' ἀέθλῳ
δῆριν ἔχον καὶ μόχθον. ἐυπλεκέων δ' ἐπὶ δίφρων
ἡνίοχοι βεβαῶτες ἐφίεσαν ὠκέας ἵππους,
ῥυτὰ χαλαίνοντες· τὰ δ' ἐπικροτέοντα πέτοντο
ἅρματα κολλήεντ', ἐπὶ δὲ πλῆμναι μέγ' ἀύτευν·

---

*τοί γε μὲν οὖν παίζοντες ὑπ' αὐλητῆρι ἕκαστος* 299

---

v. 289. κορωνιόεντα aut κορυνιόεντα

οἳ μὲν ἄρ' αἴδιον † ἔχον πόνον· οὐδέ ποτέ σφι
νίκη ἐπηνύσθη, ἀλλ' ἄκριτον εἶχον ἄεθλον·
τοῖσι δὲ καὶ προὔκειτο μέγας τρίπος ἐντὸς ἀγῶνος,
χρύσειος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.
ἀμφὶ δ' ἴτυν ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς·
πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον· οἳ δὲ κατ' αὐτὸν
κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον, οἵ ῥά γε πολλοὶ
νῆχον ἐπ' ἄκρον ὕδωρ· πὰρ δ' ἰχθύες ἐκλονέοντο.

θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκτύπῳ, οὗ διὰ βουλὰς
Ἥφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε,
ἀρσάμενος παλάμῃσι. τὸ μὲν Διὸς ἄλκιμος υἱὸς
πάλλεν ἐπικρατέως· ἐπὶ δ' ἱππείου θόρε δίφρου,
εἴκελος ἀστεροπῇ πατρὸς Διὸς αἰγιόχοιο,
κοῦφα βιβάς. τῷ δ' ἡνίοχος κρατερὸς Ἰόλαος
δίφρου ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα.
ἀγχίμολον δέ σφ' ἦλθε θεὰ γλαυκῶπις Ἀθήνη,
καί σφεας θαρσύνουσ' ἔπεα πτερόεντα προσηύδα·
«χαίρετε, Λυγκῆος γενεὴ τηλεκλειτοῖο·
νῦν δὴ Ζεὺς κράτος ὔμμι διδοῖ μακάρεσσιν ἀνάσσων,
Κύκνον τ' ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
ἄλλο δέ σοί τι ἔπος ἐρέω, μέγα φέρτατε λαῶν·
εὖτ' ἂν δὴ Κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς,
τὸν μὲν ἔπειτ' αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
ἔνθα κε γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
ὀφθαλμοῖσιν ἴδῃς, ἔνθ' οὐτάμεν ὀξέι χαλκῷ·
ἂψ δ' ἀναχάσσασθαι, ἐπεὶ οὔ νύ τοι αἴσιμόν ἐστιν
οὔθ' ἵππους ἑλέειν οὔτε κλυτὰ τεύχεα τοῖο.»
ὣς εἰποῦσ' ἐς δίφρον ἐβήσατο δῖα θεάων,
νίκην ἀθανάτῃς χερσὶν καὶ κῦδος ἔχουσα,
ἐσσυμένως. τότε δή ῥα διόγνητος Ἰόλαος
σμερδαλέον ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὀμοκλῆς
ῥίμφ' ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο.
ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις Ἀθήνη
αἰγίδ' ἀνασσείσασα· περιστενάχιζε δὲ γαῖα.
τοὶ δ' ἄμυδις προγένοντ' ἴκελοι πυρὶ ἠὲ θυέλλῃ
Κύκνος θ' ἱππόδαμος καὶ Ἄρης ἀκόρητος ἀυτῆς.

τῶν θ' ἵπποι μὲν ἔπειθ' ὑπεναντίον ἀλλήλοιcιν
ὀξεῖα χρέμιcαν, περὶ δέ cφιcιν ἄγνυτο ἠχώ.
τὸν πρότεροc προcέειπε βίη Ἡρακληείη·
«Κύκνε πέπον, τί νυ νῶιν ἐπίcχετον ὠκέαc ἵππουc
ἀνδράcιν, οἵ τε πόνου καὶ ὀιζύοc ἴδριέc εἰμεν;
ἀλλὰ παρὲξ ἔχε δίφρον ἐύξοον ἠδὲ κελεύθου
εἶκε παρὲξ ἰέναι. Τρηχῖνα δέ τοι παρελαύνω
ἐc Κήυκα ἄνακτα· ὃ γὰρ δυνάμει τε καὶ αἰδοῖ
Τρηχῖνοc προβέβηκε· cὺ δ' εὖ μάλα οἶcθα καὶ αὐτόc·
τοῦ γὰρ ὀπυίειc παῖδα Θεμιcτονόην κυανῶπιν.
ὦ πέπον, οὐ μὲν γάρ τοι Ἄρηc θανάτοιο τελευτὴν
ἀρκέcει, εἰ δὴ νῶι cυνοιcόμεθα πτολεμίζειν.
ἤδη μέν τέ ἕ φημι καὶ ἄλλοτε πειρηθῆναι
ἔγχεοc ἡμετέρου, ὅθ' ὑπὲρ Πύλου ἠμαθόεντοc
ἀντίοc ἔcτη ἐμεῖο μάχηc ἄμοτον μενεαίνων·
τρὶc μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶc ἠρείcατο γαίῃ
οὐταμένου cάκεοc· τὸ δὲ τέτρατον ἤλαcα μηρὸν
παντὶ μένει cπεύδων, διὰ δὲ μέγα cαρκὸc ἄραξα·
πρηνὴc δ' ἐν κονίῃcι χαμαὶ πέcεν ἔγχεοc αἰχμῇ.
ἔνθα κε δὴ λωβητὸc ἐν ἀθανάτοιcιν ἐτύχθη,
χερcὶν ὑφ' ἡμετέρῃcι λιπὼν ἔναρα βροτόεντα.»
ὣc ἔφατ'· οὐδ' ἄρα Κύκνοc ἐυμμελίηc ἐμενοίνα
τῷ ἐπιπειθόμενοc ἐχέμεν ἐρυcάρματαc ἵππουc.
δὴ τότ' ἀπ' εὐπλεκέων δίφρων θόρον αἶψ' ἐπὶ γαῖαν
παῖc τε Διὸc μεγάλου καὶ Ἐνυαλίοιο ἄνακτοc·
ἡνίοχοι δ' ἔμπληην ἔλαcαν καλλίτριχαc ἵππουc·
τῶν δ' ὑπὸ cευομένων κανάχιζε †πόc' εὐρεῖα χθών.
ὡc δ' ὅτ' ἀφ' ὑψηλῆc κορυφῆc ὄρεοc μεγάλοιο
πέτραι ἀποθρώcκουcαι ἐπ' ἀλλήλῃcι πέcωcι,
πολλαὶ δὲ δρῦc ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι
αἴγειροί τε τανύρριζοι ῥήγνυνται ὑπ' αὐτῶν
ῥίμφα κυλινδομένων, εἵωc πεδίονδ' ἀφίκωνται·
ὣc οἳ ἐπ' ἀλλήλοιcι πέcον μέγα κεκλήγοντεc.
πᾶcα δὲ Μυρμιδόνων τε πόλιc κλειτή τ' Ἰαωλκόc,
Ἄρνη τ' ἠδ' Ἑλίκη Ἄνθειά τε ποιήεccα

---

v. 365. ἔγχεοc ὁρμῇ v. 375. ἀποθρώcκωcιν, ἐπ' ἀλλήλαιc δὲ πέcωcι

φωνῇ ὕπ᾽ ἀμφοτέρων μεγάλ᾽ ἴαχον· οἳ δ᾽ ἀλαλητῷ
θεϲπεϲίῳ ϲύνιϲαν· μέγα δ᾽ ἔκτυπε μητίετα Ζεύϲ,
κὰδ δ᾽ ἄρ᾽ ἀπ᾽ οὐρανόθεν ψιάδαϲ βάλεν αἱματοέϲϲαϲ,
ϲῆμα τιθεὶϲ πολέμοιο ἑῷ μεγαθαρϲέι παιδί.
οἷοϲ δ᾽ ἐν βήϲϲῃϲ ὄρεοϲ χαλεπὸϲ προϊδέϲθαι
κάπροϲ χαυλιόδων φρονέει θυμῷ μαχέϲαϲθαι
ἀνδράϲι θηρευτῇϲ, θήγει δέ τε λευκὸν ὀδόντα
δοχμωθείϲ, ἀφρὸϲ δὲ περὶ ϲτόμα μαϲτιχόωντι
λείβεται, ὄϲϲε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην,
ὀρθὰϲ δ᾽ ἐν λοφιῇ φρίϲϲει τρίχαϲ ἀμφί τε δειρήν·
τῷ ἴκελοϲ Διὸϲ υἱὸϲ ἀφ᾽ ἱππείου θόρε δίφρου.
ἦμοϲ δὲ χλοερῷ κυανόπτεροϲ ἠχέτα τέττιξ
ὄζῳ ἐφεζόμενοϲ θέροϲ ἀνθρώποιϲιν ἀείδειν
ἄρχεται, ᾧ τε πόϲιϲ καὶ βρῶϲιϲ θῆλυϲ ἐέρϲη,
καί τε πανημέριόϲ τε καὶ ἠῷοϲ χέει αὐδὴν
ἴδει ἐν αἰνοτάτῳ, ὅτε τε χρόα Ϲείριοϲ ἄζει,
τῆμοϲ δὴ κέγχροιϲι περὶ γλῶχεϲ τελέθουϲι,
τούϲ τε θέρει ϲπείρουϲιν, ὅτ᾽ ὄμφακεϲ αἰόλλονται,
οἷα Διώνυϲοϲ δῶκ᾽ ἀνδράϲι χάρμα καὶ ἄχθοϲ·
τὴν ὥρην μάρναντο, πολὺϲ δ᾽ ὀρυμαγδὸϲ ὀρώρει.
ὡϲ δὲ λέοντε δύω ἀμφὶ κταμένηϲ ἐλάφοιο
ἀλλήλοιϲ κοτέοντεϲ ἐπὶ ϲφέαϲ ὁρμήϲωϲι,
δεινὴ δέ ϲφ᾽ ἰαχὴ ἄραβόϲ θ᾽ ἅμα γίγνετ᾽ ὀδόντων·
ἠδ᾽ ὥϲτ᾽ αἰγυπιοὶ γαμψώνυχεϲ, ἀγκυλοχεῖλαι,
πέτρῃ ἐφ᾽ ὑψηλῇ μεγάλα κλάζοντε μάχονται
αἰγὸϲ ὀρεϲϲινόμου ἢ ἀγροτέρηϲ ἐλάφοιο,
πίονοϲ, ἥν τ᾽ ἐδάμαϲϲε βαλὼν αἰζήιοϲ ἀνὴρ
ἰῷ ἀπὸ νευρῆϲ, αὐτὸϲ δ᾽ ἀπαλήϲεται ἄλλῃ
χώρου ἄιδριϲ ἐών· οἳ δ᾽ ὀτραλέωϲ ἐνόηϲαν,
ἐϲϲυμένωϲ δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο·
ὣϲ οἳ κεκλήγοντεϲ ἐπ᾽ ἀλλήλοιϲιν ὄρουϲαν.
ἔνθ᾽ ἤτοι Κύκνοϲ μὲν ὑπερμενέοϲ Διὸϲ υἱὸν
κτεινέμεναι μεμαὼϲ ϲάκει ἔμβαλε χάλκεον ἔγχοϲ,
οὐδ᾽ ἔρρηξεν χαλκόν· ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀμφιτρυωνιάδηϲ δέ, βίη Ἡρακληείη,
μεϲϲηγὺϲ κόρυθόϲ τε καὶ ἀϲπίδοϲ ἔγχεϊ μακρῷ

---

v. 405. οἳ δ᾽ ὥϲτ᾽ v. 406. μάχεϲθον v. 415. χαλκὸϲ

αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου
ἤλας' ἐπικρατέως· ἀπὸ δ' ἄμφω κέρσε τένοντε
ἀνδροφόνος μελίη· μέγα γὰρ σθένος ἔμπεσε φωτός·
ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ὅτε πέτρη
ἠλίβατος πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ·
ὣς ἔριπ'· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
τὸν μὲν ἔπειτ' εἴασε Διὸς ταλακάρδιος υἱός,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην προσιόντα δοκεύσας
δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς σώματι κύρσας,
ὅς τε μάλ' ἐνδυκέως ῥινὸν κρατεροῖς ὀνύχεσσι
σχίσσας ὅττι τάχιστα μελίφρονα θυμὸν ἀπηύρα·
†ἐμμενέως δ' ἄρα τοῦ γε κελαινὸν πίμπλαται ἦτορ,
γλαυκιόων δ' ὄσσοις δεινὸν πλευράς τε καὶ ὤμους
οὐρῇ μαστιόων ποσσὶ γλάφει, οὐδέ τις αὐτὸν
ἔτλη ἐς ἄντα ἰδὼν σχεδὸν ἐλθεῖν οὐδὲ μάχεσθαι·
τοῖος ἄρ' Ἀμφιτρυωνιάδης ἀκόρητος ἀυτῆς
ἀντίος ἔστη Ἄρηος, ἐνὶ φρεσὶ θάρσος ἀέξων,
ἐσσυμένως· ὃ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ·
ἀμφότεροι δ' ἰάχοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀρούσῃ,
μακρὰ δ' ἐπιθρώσκουσα κυλίνδεται, ἣ δέ τε ἠχῇ
ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν
ὑψηλός, τῷ δὴ συνενείκεται, ἔνθα μιν ἴσχει·
τόσσῃ ὃ μὲν ἰαχῇ βρισάρματος οὔλιος Ἄρης
κεκληγὼς ἐπόρουσεν· ὃ δ' ἐμμαπέως ὑπέδεκτο.
αὐτὰρ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο
ἀντίη ἤλθεν Ἄρηος, ἐρεμνὴν αἰγίδ' ἔχουσα,
δεινὰ δ' ὑπόδρα ἰδοῦσ' ἔπεα πτερόεντα προσηύδα·
«Ἄρες, ἐπίσχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους·
οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα, Διὸς θρασυκάρδιον υἱόν.
ἀλλ' ἄγε, παῦε μάχης, μηδ' ἀντίος ἵστασ' ἐμεῖο.»
ὣς ἔφατ'· ἀλλ' οὐ πεῖθ' Ἄρεος μεγαλήτορα θυμόν·
ἀλλὰ μέγα ἰάχων φλογὶ εἴκελα τεύχεα πάλλων
καρπαλίμως ἐπόρουσε βίῃ Ἡρακλείῃ,
κακτάμεναι μεμαώς· καί ῥ' ἔμβαλε χάλκεον ἔγχος,

---

v. 425. ἐπιόντα

σπερχνὸν παιδὸς ἑοῦ κοτέων περὶ τεθνηῶτος,
ἐν σάκεϊ μεγάλῳ· ἀπὸ δὲ γλαυκῶπις Ἀθήνη
ἔγχεος ὁρμὴν ἔτραπ' ὀρεξαμένη ἀπὸ δίφρου.
δριμὺ δ' Ἄρην ἄχος εἷλεν· ἐρυσσάμενος δ' ἄορ ὀξὺ
ἔσσυτ' ἐφ' †Ἡρακλῆι κρατερόφρονι· τὸν δ' ἐπιόντα
Ἀμφιτρυωνιάδης δεινῆς ἀκόρητος ἀυτῆς
μηρὸν γυμνωθέντα σάκευς ὑπὸ δαιδαλέοιο
οὖτας' ἐπικρατέως, διὰ δὲ μέγα σαρκὸς ἄραξε
δούρατι νωμήσας, ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.
τῷ δὲ Φόβος καὶ Δεῖμος ἐύτροχον ἅρμα καὶ ἵππους
ἤλασαν αἶψ' ἐγγύς, καὶ ἀπὸ χθονὸς εὐρυοδείης
ἐς δίφρον θῆκαν πολυδαίδαλον· αἶψα δ' ἔπειτα
ἵππους μαστιέτην, ἵκοντο δὲ μακρὸν Ὄλυμπον.
υἱὸς δ' Ἀλκμήνης καὶ κυδάλιμος Ἰόλαος
Κύκνον σκυλεύσαντες ἀπ' ὤμων τεύχεα καλὰ
νίσσοντ'· αἶψα δ' ἔπειτα πόλιν Τρηχῖνος ἵκοντο
ἵπποις ὠκυπόδεσσιν. ἀτὰρ γλαυκῶπις Ἀθήνη
ἐξίκετ' Οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.
Κύκνον δ' αὖ Κήυξ θάπτεν καὶ λαὸς ἀπείρων,
οἵ ῥ' ἐγγὺς ναῖον πόλιος κλειτοῦ βασιλῆος
Ἄνθην Μυρμιδόνων τε πόλιν κλειτήν τ' Ἰαωλκόν
Ἄρνην τ' ἠδ' Ἑλίκην· πολλὸς δ' ἠγείρετο λαός,
τιμῶντες Κήυκα φίλον μακάρεσσι θεοῖσι.
τοῦ δὲ τάφον καὶ σῆμ' ἀιδὲς ποίησεν Ἄναυρος
ὄμβρῳ χειμερίῳ πλήθων· τὼς γάρ μιν Ἀπόλλων
Λητοΐδης ἤνωξ', ὅτι ῥα, κλειτὰς ἑκατόμβας
ὅς τις ἄγοι †Πυθοῖδε, βίῃ σύλασκε δοκεύων.

# INDEX NOMINUM.

## A.


'Αγαυή I. nom. Th. 247.
'Αγαυή II. acc. Th. 976.
'Αγλαΐη acc. Th. 909. 945.
"Αγριος acc. Th. 1013.
'Αγχίσης dat. Th. 1009.
'Αδμήτη nom. Th. 349.
'Αελλώ acc. Th. 267.
'Αθηναίη nom. S. 126. 443. — gen. Th. 318. O. 430.
'Αθήνη nom. Th. 573. 577. O. 72. 76. S. 325. 343. 455. 470. — acc. Th. 13. 888. 924. O. 63.
Αἰακός gen. Th. 1005.
Αἰγαῖον ὄρος dat. Th. 484.
Αἰγείδης acc. S. 182.
'Αΐδης nom. Th. 850. — gen. Th. 311. 768. 774. O. 153. — acc. Th. 455.
"Αιδος S. 151. 227. — "Αιδόσδε S. 254.
'Αιδωνεύς nom. Th. 913.
Αἰδώς nom. O. 200.
Αἰήτης nom. Th. 958. — gen. Th. 992. 994. — acc. Th. 957.
Αἰθήρ nom. Th. 124.
Αἰθίοπες gen. Th. 985.
Αἰνείας acc. Th. 1008.
Αἰολίς acc. (Κύμην) O. 636.
Αἴσηπος acc. Th. 342.
Αἰσονίδης nom. Th. 993. 999.
'Ακάστη nom. Th. 356.
'Ακραίη nom. Th. 249.
"Αλγεα acc. Th. 227.
'Αλιάκμων acc. Th. 341.
'Αλιμήδη nom. Th. 255.
'Αλκαῖος gen. S. 26.
'Αλκείδης gen. S. 112.
'Αλκμήνη nom. Th. 943. S. 3. — gen. Th. 526. 950. S. 467.
'Αλφειός acc. Th. 338.
'Αμπυκίδης acc. S. 181.
'Αμφιγυήεις nom. Th. 571. 579. 945. O. 70. S. 219.
'Αμφιδάμας gen. E. 654.
'Αμφιλογίαι acc. Th. 229.
'Αμφιρώ nom. Th. 360.
'Αμφιτρίτη nom. Th. 243. — gen. Th. 930. — dat. Th. 254.
'Αμφιτρύων nom. S. 37. 44. 80. — dat. S. 54. — acc. S. 2.
'Αμφιτρυωνιάδης nom. Th. 317. S. 165. 416. 433. 459.
"Αναυρος nom. S. 477.
'Ανδροκτασίη acc. plur. Th. 228.
"Ανεμοι acc. Th. 378.
"Ανθεια nom. S. 381.
"Ανθη acc. S. 474.
'Απάτη acc. Th. 224.
'Απέσας gen. Th. 331.
'Απόλλων nom. S. 68. 478. — gen. Th. 94. S. 58. 70. 100. — dat. Th. 347. — acc. Th. 14. 918. O. 771.

Ἀργείη (Ἥρη) nom. Th. 12.
Ἀργεϊφόντης nom. O. 77. — acc. O. 68. 84.
Ἄργη acc. Th. 140.
Ἀρδηcκοc acc. Th. 345.
Ἀρείων acc. S. 120.
Ἄρηc nom. S. 192. 346. 357. 441. — gen. O. 145. S. 98. 109. 181. 191. 434. 444. 450. — dat. Th. 933. 936. — acc. Th. 922. S. 59. 333. 425. 457. — voc. S. 446.
Ἀρητιάδηc acc. S. 57.
Ἀριάδνη acc. Th. 947.
Ἄριμοι dat. Th. 304.
Ἀριcταῖοc nom. Th. 977.
Ἄρκτοc acc. S. 186.
Ἀρκτοῦροc nom. O. 566. — acc. O. 610.
Ἁρμονίη nom. Th. 975. — acc. Th. 937.
Ἄρνη nom. S. 381. — acc. S. 475.
Ἅρπυιαι acc. Th. 267.
Ἄρτεμιc acc. Th. 14. 918.
Ἄcβολοc acc. S. 185.
Ἀcίη nom. Th. 359.
Ἄcκρη dat. O. 640.
Ἀcτερίη acc. Th. 409.
Ἀcτραῖοc dat. Th. 378. — acc. Th. 376.
Ἄτη acc. Th. 230.
Ἀτλαγενήc gen. plur. (Πληιάδων) O. 383.
Ἀτλαντίc nom. Th. 938.
Ἄτλαc nom. Th. 517. — acc. Th. 509.
Ἄτροποc nom. S. 259. — acc. Th. 218. 905.
Αὐλίc gen. O. 651.
Αὐτονόη I. nom. Th. 258.
Αὐτονόη II. acc. Th. 977.
Ἀφρογένεια acc. Th. 196.
Ἀφροδίτη nom. Th. 989. — gen. O. 521. S. 8. 47. — acc. Th. 16. 195. 822. 962. 975. 980. 1005. 1014. O. 65.
Ἀχαιοί nom. O. 651.
Ἀχελώιοc acc. Th. 340.
Ἀχιλλεύc acc. Th. 1007.
Ἀχλύc nom. S. 264.

## Β.

Βελλεροφόντηc nom. Th. 325.
Βίη acc. Th. 385.
Βοιωτοί nom. S. 24.
Βορέηc gen. Th. 870. O. 506. 518. 547. 553. — acc. Th. 379.
Βριάρεωc nom. Th. 149. 714. 734. — dat. Th. 617. — acc. Th. 817.
Βρόντηc acc. Th. 140.

## Γ.

Γαῖα nom. Th. 45. 117. 126. 159. 173. 184. 479. 505. 821. — gen. Th. 147. 154. 158. 421. 463. 494. 626. 644. 884. 891. — dat. Th. 176. 238. acc. Th. 20. 470.
Γαλαξαύρη nom. Th. 353.
Γαλάτεια nom. Th. 250.
Γαλήνη nom Th. 244.
Γῆ gen. Th. 106.
Γῆραc acc. Th. 225.
Γηρυονεύc dat. Th. 309. — acc. Th. 287. 982.
Γίγαντεc gen. Th. 50. — acc. Th. 185.
Γλαύκη nom. Th. 244.
Γλαυκονόμη nom. Th. 256.
Γόργειοc dat. plur. (καρήνοιc) S. 237.
Γοργώ gen. sing. S. 224. — nom. plur. S. 230. — acc. plur. Th. 274.
Γραῖαι acc. Th. 270. 271.
Γρήνικοc acc. Th. 342.
Γύγηc nom. Th. 149. 714. 734. 817. — dat. Th. 618.

## Δ.

Δανάη gen. S. 216.
Δαναΐδηc nom. S. 229.

Δεῖμος nom. S. 195. 463. — acc. Th. 934.
Δημήτηρ nom. Th. 969. O. 300. — gen. Th. 912. O. 32. 393. 466. 597. 805. S. 290. — dat. O. 465. — acc. Th. 454.
Δίκη nom. O. 256. — gen. O. 220. — acc. Th. 902.
Διώνη nom. Th. 353. — acc. Th. 17.
Διώνυσος nom. Th. 947. S. 400. — gen. O. 614. — acc. Th. 941.
Δρύαλος acc. S. 187.
Δρύας acc. S. 179.
Δυναμένη nom. Th. 248.
Δυσνομίη acc. Th. 230.
Δωρίς I. gen. Th. 241.
Δωρίς II. nom. Th. 250.
Δωρίς III. nom. Th. 350.
Δωτώ nom. Th. 248.

Ε.

Εἰλείθυια acc. Th. 922.
Εἰρήνη acc. Th. 902.
Ἑκάτη dat. Th. 441. — acc. Th. 411. 418.
Ἑλένη gen. O. 165.
Ἐλευθήρ gen. Th. 54.
Ἑλίκη nom. S. 381. — acc. S. 475.
Ἑλικών gen. Th. 2. 23. O. 639. — dat. Th. 7.
Ἑλικωνιάδες (Μοῦσαι) gen. Th. 1. — dat. O. 658.
Ἑλλάς gen. O. 653.
Ἐλπίς nom. O. 96.
Ἐννοσίγαιος nom. Th. 818. S. 104. — gen. Th. 930. — dat. Th. 441. — acc. Th. 456.
Ἐνυάλιος gen. S. 371.
Ἐνυώ acc. Th. 273.
Ἐξάδιος acc. S. 180.
Ἐπιμηθεύς nom. O. 85. — acc. *Th.* 511. O. 84.
*Ἑπτάπορος* acc. Th. 341.
*Ἐρατώ I. nom.* Th. 78.
Ἐρατώ II. nom. Th. 246.
Ἔρεβος nom. Th. 123. — dat. Th. 125. — acc. Th. 515. —
Ἐρέβευσφιν Th. 669.
Ἐρινύες acc. Th. 185. 472. O. 803.
Ἔρις nom. Th. 226. O. 24. 28. 804. — acc. Th. 225. O. 16. — gen. plur. O. 11.
Ἑρμείης acc. O. 68.
Ἑρμῆς dat. Th. 444. — acc. Th. 938.
Ἕρμος acc. Th. 343.
Ἔρος nom. Th. 120. 201.
Ἐρυθείη dat. Th. 290. 983.
Ἑσπερίδες nom. Th. 275. — gen. Th. 518. — acc. Th. 215.
Εὐαγόρη nom. Th. 257.
Εὐάρνη nom. Th. 259.
Εὔβοια acc. O. 651.
Εὐδώρη I. nom. Th. 244.
Εὐδώρη II. nom. Th. 360.
Εὔηνος acc. Th. 345.
Εὐκράντη nom. Th. 243.
Εὐλιμένη nom. Th. 247.
Εὐνείκη nom. Th. 246.
Εὐνομίη acc. Th. 902.
Εὐπόμπη nom. Th. 261.
Εὐρυάλη nom. Th. 276.
Εὐρυβίη nom. Th. 375. — acc. Th. 239.
Εὐρυνόμη nom. Th. 358. 907.
Εὐρυσθεύς acc. S. 91.
Εὐρυτίων acc. Th. 293.
Εὐρώπη nom. Th. 357.
Εὐτέρπη nom. Th. 77.
Εὐφροσύνη acc. Th. 909.
Ἔχιδνα nom. Th. 304. — acc. Th. 297.
Ἑωσφόρος acc. Th. 381.

Ζ.

Ζευξώ nom. Th. 352.
Ζεύς nom. Th. 56. 399. 412. 428. 498. 514. 520. 545. 550. 558. 561. 601. 669. 687. 784.

820. 853. 886. 899. 904. 914. O. 8. 47. 53. 104. 138. 143. 158. 168. 180. 229. 239. 281. 323. 379. 488. 565. 638. 668. S. 33. 89. 328. 383. — gen. Ζηνός Th. 41. 285. 529. O. 87. 245. 253. 416. 483. 661. — gen. Διός Th. 13. 25. 29. 51. 52. 76. 81. 96. 105. 316. 328. 348. 386. 485. 513. 537. 613. 708. 730. 735. 815. 893. 920. 944. 952. 966. 1002. 1022. O. 4. 36. 51. 79. 99. 105. 122. 256. 267. 626. 676. 769. S. 66. 110. 126. 150. 168. 197. 202. 320. 322. 371. 392. 413. 422. 424. 443. 448. — dat. Ζηνί Th. 141. 388. 938. S. 318. — dat. Διί Th. 36. 286. 580. O. 69. 259. 465. 724. S. 56. — acc. Ζῆνα Th. 47. 457. 479. 568. — acc. Ζῆν Th. 884. — acc. Δία Th. 11. 468. O. 2. 52. 273. — voc. Th. 548. — Διόθεν O. 765. S. 22.
Ζέφυρος gen. Th. 870. O. 594. — acc. Th. 379.
Ζῆλος acc. Th. 384.

H.

Ἥβη acc. Th. 17. 922. 950.
Ἠέλιος nom. Th. 760. — gen. Th. 958. 1011. — dat. Th. 956. — acc. Th. 18. 371
Ἠιόνη nom. Th. 255.
Ἠλέκτρη nom. Th. 349. — acc. Th. 266.
Ἠλεκτρύων gen. S. 3. — acc. S. 82.
Ἠλεκτρυώνη gen. S. 16. 35. — dat. S. 86.
Ἠμαθίων acc. Th. 985.
Ἡμέρη nom. Th. 124. 748.
Ἡνιόχη acc. S. 83.
Ἡρακλέης nom. Th. 318. 527. — *gen. Th.* 530. 951. S. 74. 138. — dat. S. 458. — acc. S. 448.
Ἡρακληείη (βίη) nom. Th. 289. 982. S. 115. 349. 416. — gen. Th. 332. — dat. Th. 315. S. 452. — acc. Th. 943. S. 52. 69.
Ἥρη nom. Th. 314. 328. 927. — gen. Th. 952. — acc. Th. 11. 454. 921.
Ἠριγένεια nom. Th. 381.
Ἠριδανός acc. Th. 338.
Ἡσίοδος acc. Th. 22.
Ἥφαιστος nom. Th. 945. S. 319. — gen. Th. 866. S. 123. 244. 297. 313. — acc. Th. 927. O. 60.
Ἠώς nom. Th. 378. 984. O. 610. — gen. Th. 451. — acc. Th. 18. 372.

Θ.

Θάλεια nom. Th. 77.
Θαλίη I. nom. Th. 245.
Θαλίη II. acc. Th. 909.
Θάνατος nom. Th. 759. — gen. Th. 756. — acc. Th. 211.
Θαύμας nom. Th. 265. — gen. Th. 780. — acc. Th. 237.
Θεία nom. Th. 371. — acc. Th. 135.
Θέμις acc. Th. 16. 135. 901.
Θεμιστονόη acc. S. 356.
Θεμιστώ nom. Th. 261.
Θέτις nom. Th. 244. 1006.
Θηβαγενής gen. (Ἡρακλῆος) Th. 530.
Θήβη gen. sing. S. 105. — dat. sing. Th. 978. O. 162. S. 49. — acc. sing. S. 80. — acc. plur. S. 2. 13.
Θησεύς acc. S. 182.
Θόη nom. Th. 354.
Θρηίκιος gen. sing. (Βορέω) O. 553.
Θρῄκη gen. O. 507.

I.

Ἰάνειρα nom. Th. 356.
Ἰάνθη nom. Th. 349.
Ἰαπετιονίδης(Προμηθεύς)nom. Th. 614. — dat. Th. 528. — voc. Th. 543. 559. O. 54.
Ἰαπετός nom. Th. 507. — gen. Th. 565. 746. O. 50. — acc. Th. 19. 134.
Ἰάσιος dat. Th. 970.
Ἰαωλκός nom. S. 380. — acc. S. 474.
Ἴδη gen. Th. 1010.
Ἰδυῖα nom. Th. 352. — acc. Th. 960.
Ἰήσων dat. Th. 1000.
Ἵμερος nom. Th. 64. 201.
Ἰνώ acc. Th. 976.
Ἰόλαος nom. S. 102. 323. 340. 467. — gen. S. 74. — dat. Th. 317. — acc. S. 77. — voc. S. 78. 118.
Ἱπποθόη nom. Th. 251.
Ἱππονόη nom. Th. 251.
Ἵππου κρήνη gen. Th. 6.
Ἱππώ nom. Th. 351.
Ἶρις nom. Th. 780. — acc. Th. 266. 784.
Ἱστίη acc. Th. 454.
Ἴστρος acc. Th. 339.
Ἰφικλείδης acc. S. 111.
Ἰφικλῆς acc. S. 54.
Ἰωλκός acc. Th. 997.

K.

Καδμεῖος nom. sing. (Σεμέλη) Th. 940. — dat. plur. Th. 326. — acc. plur. S. 13.
Καδμηίς (γαῖα) dat. O. 162.
Κάδμος nom. Th. 937. — dat. Th. 975.
Κάικος acc. Th. 343.
Καινεύς acc. S. 179.
Καλλιόπη nom. Th. 79.
Καλλιρόη nom. Th. 351. 981. — dat. Th. 288.
Καλυψώ nom. Th. 359. 1017.
Κένταυροι nom. S. 184.
Κέρβερος acc. Th. 311.
Κερκηίς nom. Th. 355.
Κέφαλος dat. Th. 986.
Κήρ acc. sing. Th. 211. — nom. plur. S. 249. — acc. plur. Th. 217.
Κητώ nom. Th. 270. 333. — gen. Th. 336. — acc. Th. 238.
Κῆυξ nom. S. 472. — acc. S. 354. 476.
Κίρκη nom. Th. 1011. — acc. Th. 957.
Κλειώ nom. Th. 77.
Κλυμένη nom. Th. 351. — acc. Th. 508.
Κλυτίη nom. Th. 352.
Κλωθώ nom. S. 258. — acc. Th. 218. 905.
Κοῖος gen. Th. 404. — acc. Th. 134.
Κόττος nom. Th. 149. 654. 714. 734. 817. — dat. Th. 618.
Κράτος acc. Th. 385.
Κρείων acc. S. 83.
Κρήτη gen. Th. 971. — dat. Th. 480. — acc. Th. 477.
Κρεῖος dat. Th. 375. — acc. Th. 134.
Κρονίδης nom. Th. 412. 423. 450. 624. O. 18. 138. 158. 168. 239. 247. — gen. Th. 572. O. 71. — dat. Th. 53.
Κρονίων nom. Th. 949. O. 242. 276. — gen. Th. 4. — dat. Th. 534. O. 69. 259. S. 53. 56.
Κρόνος nom. Th. 137. 168. 459. 473. 495. O. 169. — gen. Th. 395. 625. 630. 648. 660. 668. O. 111. — dat. Th. 453. 476. 634. — acc. Th. 19. 73. 851.
Κρυσηίς nom. Th. 359.
Κυανοχαίτης nom. Th. 278.
Κυθέρεια nom. Th. 934. 1008. — acc. Th. 196. 198.
Κύθηρα dat. Th. 192. 198.
Κύκλωπες nom. Th. 144. — acc. Th. 139.

Κύκνος nom. S. 65. 346. 368. 413. — acc. S. 57. 329. 331. 468. 472. — voc. S. 350.
Κυματολήγη dat. Th. 153.
Κύμη acc. O. 636.
Κυμοδόκη nom. Th. 252.
Κυμοθόη nom. Th. 245.
Κυμοπόλεια acc. Th. 819.
Κυμώ nom. Th. 255.
Κυπρογένεια acc. Th. 199.
Κύπρος dat. Th. 199. — acc. Th. 193.

Λ.

Λάδων acc. Th. 344.
Λαομέδεια nom. Th. 257.
Λαπίθαι acc. S. 178.
Λατῖνος acc. Th. 1013.
Λάχεσις nom. S. 258. — acc. Th. 218. 905.
Λειαγόρη nom. Th. 257.
Λερναῖος acc. sing. (Ὕδρην) Th. 314.
Λήθη acc. Th. 227.
Ληναιών acc. O. 504.
Λητοΐδης nom. S. 479.
Λητώ nom. Th. 918. O. 771. — gen. S. 202. — acc. Th. 19. 406.
Λιμός acc. Th. 227.
Λόγοι acc. Th. 229.
Λοκροί nom. S. 25.
Λυγκεύς gen. S. 327.
Λύκτος acc. Th. 477. 482.
Λυσιάνασσα nom. Th. 258.

M.

Μαίανδρος acc. Th. 339.
Μαίη nom. Th. 938.
Μάχαι acc. Th. 228.
Μέδουσα nom. Th. 276.
Μελίαι acc. Th. 187.
Μελίτη nom. Th. 247.
Μελπομένη nom. Th. 77.
Μέμνων acc. Th. 984.
Μενεσθώ nom. Th. 357.
Μενίππη nom. Th. 260.
Μενοίτιος acc. Th. 510. 514.
Μήδεια acc. Th. 961.
Μήδειος acc. Th. 1001.
Μηκώνη dat. Th. 536.
Μηλόβοσις nom. Th. 354.
Μῆτις nom. Th. 358. — acc. Th. 886.
Μίμας acc. S. 186.
Μίνως gen. Th. 948.
Μνημοσύνη nom. Th. 54. — gen. Th. 915. — acc. Th. 135.
Μοῖραι acc. Th. 217. 904.
Μόρος acc. Th. 211.
Μοῦσαι nom. Th. 25. 52. 75. 96. 916. O. 662. — gen. Th. 1. 36. 93. 94. 100. — dat. O. 658. — voc. Th. 114. 966. 1022. O. 1.
Μόψος acc. S. 181.
Μυρμιδόνες gen. S. 380. 474.
Μῶμος acc. Th. 214.

N.

Ναυσίθοος acc. Th. 1017.
Ναυσίνοος acc. Th. 1018.
Νείκεα acc. Th. 229.
Νεῖλος acc. Th. 338.
Νεμεαῖος (λέων) acc. Th. 327.
Νεμείη gen. Th. 329. 331.
Νέμεσις nom. O. 200. — acc. Th. 223.
Νέσσος acc. Th. 341.
Νημερτής nom. Th. 262.
Νηρεύς gen. Th. 240. 263. 1003. — acc. Th. 233.
Νησαίη nom. Th. 249.
Νησώ nom. Th. 261.
Νίκη acc. Th. 384.
Νότος gen. Th. 870. O. 675. — acc. Th. 380.
Νύμφαι gen. Th. 130. — acc. Th. 187.
Νύξ nom. Th. 123. 211. 213. 224. 748. 757. O. 17. — gen. Th. 107. 124. 758. — acc Th. 20.

## Ξ.

Ξάνθη nom. Th. 356.

## Ο.

Ὀδυσσεύς gen. Th. 1012. — dat. (Ὀδυσῆι) Th. 1017.
Ὄθρυς gen. Th. 632.
Οἰδιπόδης gen. O. 163.
Ὀιζύς acc. Th. 214.
Ὀλμειός gen. Th. 6.
Ὀλυμπιάδες (Μοῦσαι) nom. Th. 25. 52. — voc. Th. 966. 1022.
Ὀλύμπιος nom. sing. masc. Th. 390. O. 474. — gen. sing. masc. Th. 529. O. 87. 245. — acc. sing. masc. Th. 884. — acc. plur. ntr Th. 75. 114. 783. 804. 963. O. 81. 110. 128.
Ὄλυμπος nom. Th. 680. 842. S. 203. gen. Th. 37. 42. 51. 62. 118. 408. 689. 794. — acc. Th. 68. 101. 113. 391. O. 139. 197. 257. S. 79. 466.
Ὄνειρος gen. plur. Th. 212.
Ὁπλεύς acc. S. 180.
Ὄρθος dat. Th. 927. — acc. Th. 293. 309.
Ὅρκος nom. O. 219. — acc. Th. 231. O. 804.
Οὔλυμπος gen. Th. 633. 855. S. 30. — dat. Th. 953. — acc. S. 471. — Οὔλυμπόνδε Th. 397.
Οὐρανίδαι acc. Th. 502.
Οὐρανίδης dat. Th. 486.
Οὐρανίη I. nom. Th. 78.
Οὐρανίη II. nom. Th. 350.
Οὐρανίωνες gen. Th. 461. 919. 929.
Οὐρανός nom. Th. 45. 159. 176. 208. — gen. Th. 106. 147. 154. 421. 463. 644. 891. — dat. Th. 133. — acc. Th. 127. 470.
*Οὔρεα* acc. Th. 129.
*Οὔρειος* acc. S. 186.

## Π.

Παγασαῖος (Ἀπόλλων) gen. S. 70.
Πάλλας dat. Th. 383. — acc. Th. 376.
Παλλάς nom. Th. 577. O. 76. S. 126.
Πανδιονίς nom. O. 568.
Πανδώρη acc. O. 81.
Πανέλληνες dat. O. 528.
Πανόπη nom. Th. 250.
Παρθένιος acc. Th. 344.
Παρνησός gen. Th. 499.
Πασιθέη nom. Th. 246.
Πειθώ I. nom. Th. 349.
Πειθώ II. nom. O. 73.
Πειρίθοος acc. S. 179.
Πεισιθόη nom. Th. 352.
Πελίης nom. Th. 996.
Περιμήδης acc. S. 187.
Περμησός gen. Th. 5.
Περσεύς nom. Th. 280. S. 216. 229.
Περσεφόνεια gen. Th. 768. 774.
Περσεφόνη acc. Th. 913.
Περσηίς nom. Th. 356. 957.
Πέρσης I. nom. Th. 409. — acc. Th. 377.
Πέρσης II. dat. O. 10. — voc. O. 27. 213. 274. 286. 299. 397. 61 633. 641.
Πετραίη nom Th. 357.
Πετραῖος acc. S. 185.
Πευκείδης acc. S. 187.
Πεφρηδώ acc. Th. 273.
Πήγασος nom. Th. 281. 325.
Πηλεύς dat. Th. 1006.
Πηνειός acc. Th. 343.
Πιερίδες (Μοῦσαι) nom. S. 206.
Πιερίη dat. Th. 53. — Πιερίηθεν O. 1.
Πληιάδες nom. O. 615. 619. — gen. O. 383. — acc. O. 572.
Πληξαύρη nom. Th. 353.
Πλοῦτος acc. Th. 969.
Πλουτώ nom. Th. 355.
Πολυδώρη nom. Th. 354.

Πολύδωρος acc. Th. 978.
Πολυμνία nom. Th. 78.
Πόνος acc. Th. 226.
Ποντοπόρεια nom. Th. 256.
Πόντος nom. Th. 107. 233. — acc. Th. 132.
Ποσειδάων nom. O. 667. — acc. Th. 15.
Ποσειδῶν nom. Th. 732.
Ποταμοί nom. Th. 367. — dat. Th. 348. — acc. Th. 337.
Πουλυνόμη nom. Th. 258.
Πρόλοχος acc. S. 180.
Προμηθεύς nom. Th. 546. 614. O. 48. 86. — acc. Th. 510. 521.
Προνόη nom. Th. 261.
Πρυμνώ nom. Th. 350.
Πρωτομέδεια nom. Th. 249.
Πρωτώ I. nom. Th. 243.
Πρωτώ II. nom. Th. 248.
Πυθώ dat. Th. 499. — Πυθοῖδε S. 480.
Πύλος gen. S. 360.

Ρ.

Ῥέη acc. Th. 467.
Ῥεῖα acc. Th. 135.
Ῥείη nom. Th. 453. 625. 634.
Ῥῆσος acc. Th. 340.
Ῥόδεια nom. Th. 351.
Ῥόδιος acc. Th. 341.

Σ.

Σαγγάριος acc. Th. 344.
Σαώ nom. Th. 243.
Σείριος nom. O. 417. 587. 609. S. 397. — gen. S. 153.
Σελήνη acc. Th. 18. 371.
Σεμέλη nom. Th. 940. — acc. Th. 976.
Σθεινώ nom. Th. 276.
Σιμόεις acc. Th. 342.
Σκάμανδρος acc. Th. 345.
Σπειώ nom. Th. 245.
Στερόπη acc. Th. 140.
Στρύμων acc. Th. 339.
Στύξ nom. Th. 361. 383. 389. 397. 776. — gen. Th. 805.

Τ.

Τάρταρα nom. Th. 119. 841. — acc. Th. 725.
Τάρταρος gen. Th. 736. 807. 822. — acc. Th. 682. 721. 868. S. 255.
Τάφιοι gen. S. 19.
Τελεσθώ nom. Th. 358.
Τερψιχόρη nom. Th. 78.
Τηθύς nom. Th. 337. 368. — gen. Th. 362. — acc. Th. 136.
Τηλεβόαι gen. S. 19.
Τηλέγονος acc. Th. 1014.
Τιθωνός dat. Th. 984.
Τίρυνθος acc. S. 81.
Τίρυνς acc. Th. 292.
Τιταρήσιος (Μόψος) acc. S. 181.
Τιτῆνες nom. Th. 207. 630. 632. 648. 668. 676. 729. 814. 851. — dat. Th. 392. 424. 650. 663. 674. 882. — acc. Th. 697. 717. 820.
Τρητός gen. Th. 331.
Τρηχίς gen. S. 355. 469. — acc. S. 353.
Τριτογένεια nom. S. 197. — acc. Th. 895.
Τρίτων nom. Th. 931.
Τροίη acc. O. 165. 653.
Τυρσηνοί dat. Th. 1016.
Τυφαόνιος acc. S. 32.
Τυφάων acc. Th. 306.
Τυφωεύς gen. Th. 869. — acc. Th. 821.
Τύχη nom. Th. 360.

Υ.

Ὑάδες nom. O. 615.
Ὕδρη acc. Th. 313.
Ὑπεριονίδης gen. Th. 1011.
Ὑπερίων gen. Th. 374. — acc. Th. 134.
Ὕπνος nom. Th. 759. — acc. Th. 212. 756.
Ὑσμῖναι acc. Th. 228.

Φ.

Φαέθων acc. Th. 987.
Φάληρος acc. S. 180.
Φᾶσις acc. Th. 340.
Φέρουσα nom. Th. 248.
Φίκιον acc. S. 33.
Φιλομηδής acc. Th. 200.
Φιλότης acc. Th. 224.
Φιλυρίδης nom. Th. 1002.
Φίξ acc. Th. 326.
Φόβος nom. S. 195. 463. — acc. Th. 934.
Φοίβη nom. Th. 404. — acc. Th. 136.
Φοῖβος nom. S. 68. — gen. S. 100. — acc. Th. 14.
Φόνοι acc. Th. 228.
Φόρκυς gen. Th. 336. — dat. Th. 270. 333. — acc. Th. 237.
Φωκῆες nom. S. 25.
Φῶκος acc. Th. 1004.

Χ.

Χαλκίς acc. O. 655.
Χάος nom. Th. 116. 700. — gen. Th. 123. 814.
Χάριτες nom. Th. 64. O. 73. — gen. Th. 946. — acc. Th. 907.
Χείρων nom. Th. 1001.
Χίμαιρα acc. Th. 319.
Χρυσάωρ nom. Th. 281. 287. — dat. Th. 979.

Ψ.

Ψαμάθη nom. Th. 260. 1004.
Ψεύδεα acc. Th. 229.

Ω.

Ὠκεανίνη nom. sing. Th. 389. 956. — acc. sing. Th. 507. — nom. plur. Th. 364.
Ὠκεανός nom. S. 314. — gen. Th. 215. 242. 265. 274. 282. 288. 292. 294. 362. 368. 383. 695. 776. 789. 816. 841. 908. 959. 979. O. 566. — dat. Th. 337. — acc. Th. 20. 133. O. 171.
Ὠκυπέτη acc. Th. 267.
Ὠκυρόη nom. Th. 360.
Ὧραι nom. O. 75. — acc. Th. 901.
Ὠρίων nom. O. 609. — gen. O. 598. 615. 619.

Pindarus

# PINDARI CARMINA

CUM

# DEPERDITORUM FRAGMENTIS SELECTIS.

RECOGNOVIT

W. CHRIST.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXIX.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

# PRAEFATIO.

Cum duo viri de Pindari carminibus emendandis post immortalem Aug. Boeckhii memoriam meritissimi ita in utramque partem peccassent, ut librorum manu scriptorum fidei alter nimium parum alter tribueret, mihi mediam inire viam visum est. Tycho enim Mommsenius, ne magnam operam in codicibus religiose excutiendis et scite digerendis collocatam iacere contemnive sineret, reliqua artis criticae subsidia, quae in carminibus recognoscendis et plura et potiora esse solent, posthabuit, unde factum est, ut haud raro poetae verba summorum virorum ope fere perpolita librorum naevis atque erroribus iterum commacularet. Th. autem Bergkius codices neque optimos neque subtiliter ponderatos adhibuit et summa, qua floret, ingenii felicitate fretus iis quoque locis, quibus a codicibus recte aestimatis lex ac norma erat petenda, suo arbitrio indulgere maluit. qua in re felicior mihi sors obtigit, quippe cui paratis a Mommsenio copiis uti licuit, quas ut neglegere levitatis ita expilare religionis duxi.

Atque hoc quidem Mommsenius rectissime monuit, primum omnium libros a Byzantinis grammaticis, Moschopulo Thoma Magistro Triclinio, interpolatos a veteribus integrisque exemplaribus probe esse distinguendos. Illi magistelli cum suo Marte scabros numeros expedire et orationis menda expellere studerent, nec, si paucos quosdam locos ut N. I. 52 et Is. IV, 10, quos num ipsi emendaverint possis dubitare, exceperis, ex aliis melioribusque, quam nos, fontibus haurirent, libris ab iis emendatis nihil prorsus auctoritatis tribuendum est. Alterum veterum librorum genus ut recte adhibeas neve *certas numerorum* grammaticaeque leges codicum mon-

stris erroribusque detorqueri patiaris, originem et naturam eorum paulo accuratius scruteris oportet. Atque uno de capite omnes codices ortos esse cum ex glossis lacunisque omnium communibus (cf. Ol. II, 29. VII, 49. X, 25. P. V, 118. XI, 42 al.) satis appareat, hoc nobis quaerendum est, quo tandem tempore illud exstitisse et in varios rivulos diductum esse videatur. In membris igitur carminum dispescendis cum omnes libri fere ubique ita consentiant, ut grandis illius numerorum generis, quale Thebano poetae veteres et peritos iudices tribuisse in commentatione academica de metrica Pindari carminum traditione probavi, nulla fere vestigia supersint, archetypum illud non ante Aristophanem grammaticum, quem primum lyricorum carmina in cola sive membra divisisse Dionysius Halicarnasseus de verb. compos. c. XXII et XXVI memoriae tradidit, exaratum esse consentaneum est. Quin adeo rationes, quibus archetypi auctor in membris dividendis usus est, a circumspecta Alexandrinorum grammaticorum doctrina ita abhorrent, ut longe eum post Aristophanis aetatem ingruente iam barbarie vixisse conicias. Eodem fere ducit comparatio lectionum codicum cum scholiis veteribus instituta; haec enim ex Didymi potissimum copiosis commentariis compilata esse inter omnes satis constat; iam vero integriora, quam Pindari codices exhibent, exemplaria scholiorum compilatorem ante oculos habuisse cum alia demonstrant tum adnotatio P. XI v. 42 adiecta. Etenim quod scholiasta dicit 'λείπει τὸ ὀφείλεις' satis arguit, in illius libris glossam χρή, quae in omnes codices nostros irrepsit, nondum additam fuisse. Itaque archetypum nostrorum librorum post eius qui scholia vetera compilavit aetatem scriptum fuisse pro certo statuas; is autem non solum Didymum sed ne Herodianum quidem, utpote bis laudatum (cf. schol. Ol. I, 18 et P. III, 65), antecessit, quamquam certius aliquid definire equidem non ausim. Illo in libro archetypo numerorum *causa adeo* nihil erat novatum, ut et verba quae metrorum *legibus* excludi dudum grammatici intellexerant, *ut* φιλέοντι δὲ Μοῖσαι Ol. II, 26 loco non cesserint et

vulgares formae, quamvis metro repugnantes, reconditiores persaepe expulerint. praeterea librarius grammaticus haud raro variantes lectiones vel ex scholiis excerptas vel ex aliis, quos more tum recepto cum suo exemplari contulerat, codicibus enotatas in margine aut supra lineam adiecerat.

Hinc originem duxerunt codices veteres, Ambrosianus primus Vaticanus secundus Parisinus septimus Mediceus secundus, e quibus Ambrosianum duodecim tantum carmina priora Olympica continere, Parisinum autem medio carmine Pythico quinto deficere aegerrime ferimus. eadem de stirpe alii descendunt codices, qui cum ab interpolationibus grammaticorum nonnihil labis contraxisse videantur, et raro a me adhibiti et deteriores appellati sunt. Peculiarem vero inter codices veteres tam meliores quam deteriores locum sibi vindicat codex Ambrosianus, utpote qui hic illic aliam metricis scholiis confirmatam membrorum divisionem exhibeat et in singulis lectionibus haud raro ab omnibus reliquis libris recedat. Sed ut aliam illius codicis ac reliquorum librorum recognitionem dicas, potiorem tamen et ubique probandam quominus iudices, errorum haud exiguus numerus prohibet. Omnino haec est in nostra Pindari carmina recensendi cura singularis fortuna, ut numerorum leges perspectae longe plurimas lectiones varias manifesto falsas arguant nec earum molesta multitudine mentis acumen turbari sinant. Qua de causa in hac quidem editione, quam praeclari vatis amicorum usui, non grammaticorum curiosae importunitati accommodavi, nihil ista codicum ostenta moratus sedulo nota a grammaticis graecis usurpata (γϱ.) significavi, sicubi antiquitus lectiones vere varias memoriae prodi cognovi.

Ex iis, quae huc usque disputavi, illud quoque apparet maiorem quam codicibus esse fidem tribuendam scholiis, ut quae non solum codicibus ipsis sed etiam fonte eorum antiquiora sint. Itaque eorum quoque testimonia de scripturae discrepantia aliquanto plenius, quam a reliquis editoribus factum est, in brevi adnotatione critica commemoravi, quamquam ne in Heimsoethiorum

an illud

– ◡̄ – ◡◡ – ◡ –

prius periodi membrum esse dicas, praesertim cum utroque loco verba finire et dissecare Pindarus non vereatur, et anastropha Is. VI v. 32:

*αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα*

priori divisioni, alteri analogia Ol. IX v. 7:

*ἀκροτήριον Ἄλιδος*
*τοιοῖσδε βέλεσσι*

favere videatur. Eadem difficultas redit aliis in periodis ut

◡ – ◡◡ – ◡◡ – ◡̄ – ◡◡ – ⏓ (P. X, 3)
◡◡ – ◡◡ – ◡ – ◡̄ – ◡ – ◡ ⏓ (P. X, 6)

multis id genus. Quin etiam in versibus dactylo-epitritis, quorum minus impedita scandendi ratio esse videtur, multi obiciuntur scrupuli, si membra eorum seorsim scribere velis. Quamquam enim certum est versus

– ◡◡ – ◡◡ – ⏓ – ◡◡ – ◡◡ –

prius membrum, rhythmicas si spectaveris rationes, tribus prioribus pedibus expleri, tamen fieri potuit, ut brevis illa mora, qua membra dirimebantur, non post finitum tertium pedem sed medio illo pede interponeretur, cuius rei musicis modulis deperditis ardua iam facta est disceptatio. Accedit quod nonnullae periodi tam exiguis membris constant, ut eas pusillos in versiculos dissectas moleste feras. Quis enim non stomachetur, si quem chartae adeo non parcentem videat, ut versum (N. X, 13)

*θρέψε δ' αἰχμὰν Ἀμφιτρύωνος· ὁ δ' ὄλβῳ φέρτατος*

sic in tres versiculos dissecet:

*θρέψε δ' αἰχμὰν*
*Ἀμφιτρύωνος. ὁ δ' ὄλβῳ*
*φέρτατος.*

*Ad postremum* si caesuras, quibus periodorum membra *disiunguntur*, ab recentioribus poetis plus minus reli*giose observatas*, a Pindaro fere prorsus neglectas

attendas, hoc proprium Thebani poetae fuisse videtur, quod totum magis spectabat, quod in partes dirimeres, quam partes, ex quibus ipse totum illud componeret. Atque hoc quidem maxime cadit in carmina quae pedibus dactylo-epitritis composita sunt et numeris continuis feruntur, sed ne ab iis quidem alienum est, quae Pindarus ad exemplum Aeolensium poetarum paulo detortum et suo tumori magis accommodatum composuit.

Omnibus his causis commotus aliam quaesivi rationem, qua, quomodo periodi sua in membra dissecandae essent, legentium oculis animisque patefacerem. Atque exemplum, quod sequerer, praebuerunt accentus a Bentleio Hermanno Ritschelio aliis iis, quas voce acui oporteret, syllabis versuum Plautinorum et Terentianorum suprapositi; sed proprietate graecae scripturae et accentibus ad aliam rem significandam iam occupatis adductus sum, ut punctis quam accentibus uti mallem, quibus primarium cuiusque membri sive pedis compositi ictum notarem; membra autem ipsa singularum periodorum quo pacto dividenda esse iudicaverim, nec brevi exponi potest et copiose a me alio loco explanabitur. Unum vero silentio praetermittere nequeo, quo modo pedem singularem ordini logaoedico praemissum notandum curaverim. Attingam rem spinosam ac spissa obscuratam caligine, quam etiam post novissima Westphalii commenta vereor ne numquam plane discutere liceat, nisi si quando felici casu Aeolicorum carminum modulationes inveniantur. Atque litteram illam, qua in aequationibus arithmeticis rem ignotam significant, mea in editione nemo, si dis placet, desiderabit. Illud quoque aequus iudex non queretur, quod basis, quam G. Hermannus dixit, notationem ab altero et tertio membro periodi secludendam curavi; media enim in periodo praeludio isti nullus certe locus est, qua de causa in versibus quales sunt

*Ἄριστον μὲν ὕδωρ ὁ δὲ | χρυσὸς αἰθόμενον πῦρ.* (Ol. I, 1.)

*Καφισίων ὑδάτων λαχοῖσαι* \ ταίτε ναίετε καλλίπωλον ἕδραν (Ol. XIV, 1)

*Ὦ Μεγάκλεες ὔ | μαί τε καὶ προγόνων.* (P. VII, 17)

primum alterius membri ictum ceteris praegravare significavi, et versus

*ἵππων τε σιδαροχαρμᾶν δαιμόνιαι τροφοί* (P. II, 2).
*τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὅμως* (P. VIII, 6)

ita divisi, ut in illo ab *δαιμόνιαι*, in hoc ab *τε καί* alterum membrum ordiri dicerem. Impeditior est causa in primo cuiusque periodi membro. Quamquam enim hic quoque pedem spondaicum vel trochaicum dactylo praemissum primario fere ictu percussum esse non praefracte negaverim, tamen a me impetrare non potui, ut pedis dactylici ictum levitati trium syllabarum brevium cessisse putarem; ne iambi quidem praemissi ictus illum aequasse videtur, unde in his quidem versuum generibus a tribus brevibus, vel solutis vel in iambum contractis, ad primarii ictus gravitatem cantorum vocem assurrexisse veri simillimum duxi. Quod enim H. Schmidtius nuper commentus est iambi illius syllabam alteram tres moras sive *χρόνους πρώτους* explesse, id nullo modo potest probari. Namque Anacreon, qui hos versus coniunxit:

*Ἐγὼ δ' οὔτ' ἂν Ἀμαλθίης*
*βουλοίμην κέρας οὔτ' ἔτεα*
*πεντήκοντά τε καὶ ἑκατὸν*
*Ταρτησσοῦ βασιλεῦσαι·*

et poetae dramatici, qui locis ab omni corruptelae suspicione remotis hos versiculos

— ⏑ — ⏖ — ⏑ — et ⏑ — — ⏖ — ⏑ —

sibi respondere voluerunt, satis superque demonstrant iambi praemissi eandem ac trochaei vim et mensuram fuisse. Quae cum ita sint, prima huius generis membra ita notavi, ut aut alteri cuique pedi aut primo et alteri puncta subicerem; qua in re difficillima si aliquotiens titubavi, venia mihi a benevolis iudicibus dabitur. Illud ne eget quidem venia, quod nonnumquam *proceriorum* periodorum posteriora membra proprio versu *ita inclusi*, ut a margine ea paulo revocarem.

Peculiarem vero sibi vindicant locum ea membra quae adverso fronte ita concurrunt, ut continuo numerorum cursu interrupto alterum in arsi finiatur, ab arsi ordiatur alterum. Sed ut depressionum et elationum vicissitudinem interrumpi patet, si verba et syllabas ipsas spectaveris, ita in modulationibus inanibus temporibus interpositis vel syllabis longis amplius protractis aequabilitas numerorum restitui potuit; neque dubium est, quin hoc factum sit in iis carminibus, quae sedatis et gravibus rhythmis doricis composita sunt; sed in illis quoque cantilenis, quae ad dithyramborum impetum et anfractus propius accedebant, mora aliqua illis locis quamvis exigua interposita esse videtur. Nos, cum notis musicis deperditis, quantum illud intervallum in quoque versu fuerit, definire non audeamus, in eo acquievimus, ut hac illud nota ⌴ et maiore inter duas arses vacuo relicto spatio significaremus.

Alia, quae ad artem metricam pertinent, in metrorum indicibus singulis carminibus praemissis exposui. Atque primum quidem quo modo pedum compositorum sive membrorum primo ictui maius quam reliquis tribuitur pondus, eodem modo in versibus, quo arctius singulae partes in unum periodi corpus coalescant, primum rursus membrum reliquis antecellere par est. Qua de causa ut primum ictum primi membri maxima vi efferendum esse indicarem, duplici eum accentu notandum curavi. quamquam haec magis pertinent ad recitandi artem; nam musico alia quoque modulationis adminicula in promptu erant, quibus partes periodi conecteret.

In mediis vero periodis cum poeta saepe rhythmum trochaicum ita continuarit, ut binae dipodiae unum membrum efficere videantur, hanc quoque rem ita significavi, ut alterius dipodiae ictum deprimerem hunc in modum:*)

---

*) Aegre iam fero, quod non eadem notatione usus sum, ut Ol. I, 7. P. X ep. 3 aliis locis hos numeros ⏒́ ⏖ – ⏒̣ ⏑ – unum in membrum comprehendendos esse significarem; somniculosus vero *Ol.* X ep. 3 has descripsi notas –⏑⏑̲ ⏑ ⏖, cum *scribere deberem* ⏑⏑̲ – ⏑ ⏖.

–́ ⏑ – – –̣ ⏑ – –

tres autem bases coniunctas unius pedis compositi fines excedere iudicavi, quandoquidem illae tanta procul dubio gravitate ferebantur, ut octo singulae morarum spatium explerent. Quid? quod binae an ubique coniungendae sint possis dubitare. Etenim in primo quidem versu Is. III ipse poeta caesura post octavam syllabam raro neglecta quatuor bases in duo binarum dipodiarum membra dividendas esse indicavit. Atque confidentius etiam P. I ep. 7 et Is. IV, 6 duas dipodias unum in pedem compositum coniungas, siquidem post alteram basin nusquam non vocabuli finis incidit. Sed aliis in versibus, cum indicia periodi in certa membra divisae desint, discrimen quod inter elatiorem atque depressiorem ictum statuimus, magis probabile quam certum atque exploratum est.

Tertium quod in metrorum indicibus indicavi pertinet ad periodos aut dissecandas aut continuandas. Cum enim aliquot versuum numeros ita digestos esse animadverterim, ut certo quodam loco omnibus in strophis vocabuli finis incideret, hunc locum linea recta notavi, quam ita velim interpreteris, tamquam, licet fieri possit ut illo loco finis versus statuatur, tamen ob rhythmicas rationes parum illud veri simile videatur. Contrarium haud raro in carminibus cum aliis tum dactylo-epitritis usu venit, ut continuato eodem numerorum genere prior versus arsi finiatur alter ab thesi initium capiat, unde duos versus coniungere non dubitares, nisi hiatus et syllaba anceps in fine prioris admissa pronum animum revocarent. Neque dubito, quin in illo versuum genere, dummodo accedat arctus si minus omnibus, at certe in plerisque strophis sententiarum nexus, tam exigua in fine primi versus fuerit pausa, ut numeros tantum non continuos homines audire sibi viderentur. Video me lubricam viam ingressum esse, ausus tamen sum hanc rem ita significare ut alterius versus notas paulo amplius a *margine* removerem.

*Denique indices* metrorum ita adornavi, ut accura*tam quantitatis* syllabarum imaginem exhiberem, musi-

ces licentias non significarem. Qua de causa neque temporum inanium signa addidi, et syllabarum tres vel quatuor moras explentium notis fere nusquam usus sum; quam rem non ita accipi volo, quasi pausae tam incertum locum fuisse arbitrer, ut eam, ubicumque numeri vacillent, cum Bergkio (cf. eius notam ad Is. VIII (VII), 55) adsciscere liceat, aut virorum doctorum, qui musices potissimum rationes expediendas sibi proposuerunt, commenta improbem omnia. Sic, ut exemplo utar, quam maxime mihi Westphalii sententia arridet, qua clausulas spondaicas, quotiens alter versus a thesi, quam *ἄρσιν* ille graeco et vetere more dicit, orditur, hanc vim ⌴ – habuisse comprobavit. Sed nolui hac quidem in editione musices rationes expedire, praesertim cum persaepe, quamquam de summa re convenit, tamen de notis adhibendis ambigas. Nam ut lubentissime concedo in carminibus dactylo-epitritis dipodias trochaicas octonum morarum spatium explesse, ita nescio utrum sequar Westphalium hanc divisionem $2\frac{2}{3}$ $1\frac{1}{3}$ 2 2 exhibentem, an H. Schmidtium illam ⌴ ⏑ – – potius probantem. Multo autem minus Schmidtii rationibusne dicam an hariolationibus me capi passus sum, ut aut sescupla tempora statuerem iis locis, quibus nulla ancipitis syllabae vestigia apparent, aut syllabae ancipiti non modo duarum sed trium, quin etiam quatuor morarum vim adsignarem, aut denique in pausis admittendis modorum nescio cui concinnitati plus quam certis hiatus admissi indiciis tribuerem.

# VITA PINDARI.

(Ex Eustathii prooemio commentariorum Pindaricorum.)

---

Ἐπιμεμέληται ὑπὸ τῶν παλαιῶν καὶ εἰς γένους ἀναγραφὴν τὴν κατά τε Πλούταρχον καὶ ἑτέρους, παρ' οἷς φέρεται ὅτι κώμη Θηβαίων οἱ Κυνοκέφαλοι. ἐκ ταύτης οἱ τοῦ σοφοῦ τοῦδε γενέτορες, πατὴρ μὲν Παγώνδας ὀνοματικῷ τύπῳ Βοιωτίῳ κατὰ τὸ Ἐπαμεινώνδας, Κρεώνδας· κατὰ δέ τινας Δαϊφάντου ἢ Σκοπελίνου αὐλητοῦ καὶ Μυρτοῦς. ὃς δὴ Σκοπελῖνος τὴν αὐλητικὴν διδάξας τὸν παῖδα, ἐπεί φασιν εἶδεν αὐτὸν μείζονος ἕξεως φύντα ἤπερ ὑπ' αὐτῷ τελειωθῆναι, παρέδωκεν εἰς μάθησιν μελοποιῷ, τῷ περιᾳδομένῳ Λάσῳ τῷ Ἑρμιονεῖ, παρ' ᾧ ἐπαιδεύθη τὴν λυρικήν. ἔνιοι δὲ τὸν αὐτὸν ἔφασαν δυωνυμίας λόγῳ Σκοπελῖνον καὶ Δαΐφαντον λέγεσθαι. ἄλλοι δὲ πάτρων Πινδάρου εἴτε πατρῷον τὸν Σκοπελῖνον εἶπον γενέσθαι. εἰσὶ δ' οἳ καὶ οὐ Μυρτώ, ἀλλὰ Κλεοδίκην, ἢ κατὰ συναίρεσιν Κλειδίκην μητέρα τῷ Πινδάρῳ ἀναγράφουσι, γενομένῳ ἐπὶ ἄρχοντος Βίωνος κατὰ τοὺς χρόνους Αἰσχύλου, ᾧ καὶ συγγεγένηται, ὁμιλήσας καὶ ἀπονάμενός τι καὶ τῆς ἐκείνου μεγαλοφωνίας. τέθνηκε δὲ ὅτε τὰ Περσικὰ ἤκμαζε, κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, ζήσας ἔτη ἓξ καὶ ἑξήκοντα, κατὰ δὲ ἐνίους ὀγδοήκοντα. ἔσχε δέ φασι θυγατέρας δύο, Πρωτομάχην καὶ Εὔμητιν, καὶ υἱὸν δὲ Δαΐφαντον, γήμας Μεγάκλειαν· ὧν δὴ θυγατέρων μέμνηται καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Ἡ μάλα Πρωτομάχη τε καὶ Εὔμητις λιγύφωνοι
ἔκλαυσαν, πινυταὶ Πινδάριαι θύγατρες,
Ἀργόθεν ἦμος ἵκοντο κομίζουσ' ἔνδοθι κρωσσοῦ
λείψαν' ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

ἐν ᾧ δὴ ἐπιγράμματι οὐ δηλουμένου τοῦ πῶς ἐν Ἄργει θανὼν ὁ Πίνδαρος εἶτα εἰς τὴν πατρίδα ἐκεῖθεν ἐκομίσθη, ὅμως ἐστὶν ὑπονοῆσαι, ὅτι ἀπελθὼν εἴς τινα Πελοποννήσιον ἀγῶνα καὶ θανὼν κατ' αὐτὸ τὸ Ἄργος ἀπεδόθη ἐκεῖθεν πατρίδι νεκρός. τῷ δὲ ῥηθέντι υἱῷ Δαϊφάντῳ καὶ δαφνηφορικὸν ᾆσμα γράψαι λέγεται ὁ πατήρ, ὅς φασι καὶ Σιμωνίδου ἤκουσε, νεώτερος μὲν ἐκείνου ὤν, πρεσβύτερος δὲ Βακχυλίδου.

εἰπεῖν δὲ τοῦτο καὶ ἄλλως κατὰ τοὺς παλαιούς, ἐπέβαλε Πίνδαρος τοῖς χρόνοις Σιμωνίδου, ᾗ νεώτερος πρεσβυτέρου. τῶν αὐτῶν γοῦν μέμνηνται ἀμφότεροι πράξεων. ἀλλὰ καὶ παρὰ Ἱέρωνι τῷ Συρακουσίων τυράννῳ ἄμφω ἐγένοντο, ἀποδημήσαντες δηλαδὴ καθ' ἑτέρους καὶ αὐτοὶ [σοφοὺς] εἰς τὴν Σικελίαν. καὶ μὴν πρὸς τὸ ἱστορηθὲν τοῦτο διαφέρεσθαι δοκεῖ τὸ περιφερόμενον. λέγεται γάρ, ὅτι Πίνδαρος ἐρωτηθείς, διὰ τί Σιμωνίδης μὲν πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐκ ἐθέλει, ἔφη· διότι βούλομαι ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

ᾄδεται δὲ καὶ ὡς εὐσεβὴς ἦν, τιμῶν Πᾶνα καὶ Ῥέαν καὶ Ἀπόλλωνα, καὶ ὅτι κατὰ τὴν τοῦ Ξέρξου διάβασιν ἤκμαζε τὴν ἡλικίαν. διὰ δὲ τὸ θεοφιλὴς δόξαι καὶ τιμῆς πολλὴν περιουσίαν ἔσχεν ἐν Ἕλλησιν. Ἀπόλλων γοῦν οὕτω φασὶν αὐτὸν ἐφίλει, ὡς καὶ μερίδα λαμβάνειν ἐκ τῶν θυομένων ἐκείνῳ, καὶ τὸν ἱερέα δὲ βοᾶν ἐν ταῖς θυσίαις· «Πίνδαρος ἐπὶ τὸ δεῖπνον τῷ θεῷ·» ἢ καὶ ἄλλως· «Πίνδαρος ἴτω ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ.» κατὰ δὲ ἄλλους ἐν Δελφοῖς κλείειν ὁ νεωκόρος μέλλων τὸν νεὼν κηρύσσει καθ' ἡμέραν· «Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ.» καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς δηλοῖ καὶ αὐτὸς εἰπών·

Πενταετηρὶς ἑορτὰ βουπομπός, ἐν ᾗ πρῶτος εὐνάσθην ἀγαπατὸς ἐν σπαργάνοις.

λέγεται δὲ καὶ ὅτι ὁ Πὰν μεταξὺ Κιθαιρῶνος καὶ Ἑλικῶνος ὤφθη ᾄδων παιᾶνα Πινδάρου. διὸ καὶ αὐτὸς ᾆσμα ἐποίησεν, ἐν ᾧ χάριν αὐτῷ τῆς τιμῆς ἀνθομολογεῖται, οὗ ἀρχή·

Ὦ Πάν, Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων φύλαξ.

τῇ ἱστορίᾳ δὲ ταύτῃ μαρτυρεῖ καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

*Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,*
*τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς,*
*οὐδὲ μάτην λαροῖς περὶ χείλεσιν ἑσμὸς ἐκεῖνος*
*ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.*
*μάρτυς ὁ Μαινάλιος κερόεις θεὸς ὕμνον ἀείσας*
*τὸν σέο καὶ νομίων λησάμενος δονάκων.*

λέγει δὲ τὸ ἐπίγραμμα τοῦτο νεβρείους μὲν αὐλούς, τοὺς ὡς εἰκὸς ἐξ ὀστέων ἐλάφου νεογνῆς. δῆλον γάρ, ὡς νεβρὸς τὸ νεογιλὸν τῆς ἐλάφου· ὡς δὲ ἀπὸ ὀνείων ὀστῶν, οὕτω καὶ ἀπὸ νεβρείων αὐλοὶ ἐγίνοντο. ἡ δὲ χέλυς, ὅ ἐστιν ἡ κιθάρα, ἐξ ἀρχαιοτάτης κλήσεως κεκληρονόμηται εἰς φράσιν. ἦν γὰρ ὅτε ὄστρακον χέλυος, ἤγουν χελώνης, εἰς κοίλωμα κιθάρας τῷ Ἑρμῇ ἐχρησίμευσεν (ὡς καὶ μετ' ὀλίγα γεγράψεται), καθ' οὗ ἐνταθεῖσαι χορδαὶ τὴν κιθάραν ἀπετέλεσαν. ὁ δὲ ἑσμὸς δηλοῖ μὲν τὴν βοτρυδὸν συνίζησιν τῶν μελισσῶν, ὧν ἐν τοῖς κατωτέρω πλατεῖα μνήμη ἔσται. δασύνεται γὰρ ἀπὸ τοῦ ἕζω. κάθισμα γὰρ μελισσῶν ἡ λέξις δηλοῖ, καὶ συνιστᾷ τὸ δασὺ ἐνταῦθα πνεῦμα ὁ παρὰ Ἀριστοτέλει ἐν τῷ περὶ ζώων ἱστορίας ἀφεσμός. τὸ δὲ κηρόδετον μέλι ἀφομοιοῦταί πως τῷ παρ' Αἰσχύλῳ κηροπλάστῳ δονακι, ὃς δηλοῖ τὸ σύριγγα. Μαινάλιος δὲ θεὸς ὁ Πὰν ὡς Ἀρκαδικός. ἐν Μαινάλῳ γὰρ ἐτιμᾶτο, Ἀρκαδίας ὄρει. κερόεις δὲ ὁ αὐτός, ἐπεὶ κερασφόρος ἐπλάττετο, διὰ τὰς τῶν ὀρῶν ἐξοχὰς τὰς ὑψηλοτάτας, αἳ αὐταὶ μέρος εἰσὶ τοῦ παντός, εἰς ὃ μεταλαμβάνεται καὶ ὁ Πάν. ὅτι δὲ κέρατα ἐλέγοντο καὶ αἱ ὀρειναὶ ὑπεροχαί, δηλοῖ ὁ γράψας ὑψικέρατα πέτραν, τὴν καὶ ὑψηλὴν καὶ εἰς ὀξὺ λήγουσαν. ὕμνον δὲ ἀείσας ταὐτόν ἐστι τῷ ᾄσας παιᾶνα, τόν, ὡς δεδήλωται, Πινδαρικόν, εἰ καὶ ἄλλως ἑτεροῖόν τι παρὰ τὸν ὕμνον ὁ παιάν. δόνακες δὲ νόμιοι, τουτέστι φίλοι τοῖς νέμουσι· καὶ ὅλη σύριγξ ἡ τῷ Πανὶ φίλη διὰ τὰς πνοὰς τῶν κατακόσμων ἀνέμων καὶ τοὺς ἐκεῖθεν συριγμούς, ἃ τῷ Πανὶ φίλα εἰσί. καὶ οὕτω μὲν τὸ εἰρημένον ἐπίγραμμα θεοφιλῆ ἐμφαίνει γενέσθαι τὸν Πίνδαρον. λέγεται δὲ καί, ὡς Δημήτηρ ὄναρ ποτὲ αὐτῷ ἐπιφανεῖσα ἐμέμψατο, εἰ μόνην θεῶν αὐτὴν οὐχ ὕμνησεν. ὁ δὲ καὶ εἰς αὐτὴν ἐποίησεν, ἀρξάμενος οὕτω· Πότνια θεσμοφόρε· καὶ βωμὸν δὲ ἀμφοῖν πρὸ τῆς οἰκίας ἱδρύσατο. Χαμαιλέων δέ φασι καὶ Ἴστρος

ἱστοροῦσιν, ὡς περὶ Ἑλικῶνα θηρῶντος αὐτοῦ καὶ καμάτῳ κατενεχθέντος εἰς ὕπνον, μέλισσα τῷ στόματι προσκαθίσασα κηρία ἐνέθετο· οἱ δὲ ὄναρ φασὶν ἰδεῖν αὐτόν, ὡς μέλιτος καὶ κηροῦ πλῆρες αὐτῷ γεγόνοι τὸ στόμα. καὶ οὕτως οἰωνισάμενος ἔπειτα εἰς ποιητικὴν ἐτράπη, καθηγησαμένων αὐτῷ τοῦ μαθεῖν ἢ τοῦ Λάσου, ὡς εἴρηται, ἢ τοῦ Ἀθηναίου Ἀγαθοκλέους ἢ Ἀπολλοδώρου, ὃν φασι καὶ προϊστάμενον κυκλίων χορῶν καὶ ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν Πινδάρῳ παιδὶ ὄντι· τὸν δὲ εὖ τὸ πιστωθὲν διακοσμήσαντα περιβοηθῆναι. τινὲς δέ γε, ὡς κατωτέρω ῥηθήσεται, τὸ σημεῖον τῆς μελίσσης παιδὶ νεωτάτῳ ἔτι ὄντι Πινδάρῳ ἐπιγενέσθαι ἱστοροῦσιν. ὅτι δὲ ἐν παλαιῷ ἐπιγράμματι κεῖται γοργῶς μνῆμα τοῦ μελισσείου τοῦδε κηρίου, δεδήλωται ἀνωτέρω.

ἐχθρὰ δέ φασι φρονούντων ἀλλήλοις Ἀθηναίων καὶ Θηβαίων, ἐπεὶ ἔγραψέ που· Ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθῆναι, κατὰ δέ τινας, ἐπεὶ ἔρεισμα Ἑλλάδος ἔφη τὰς Ἀθήνας, ἐζημίωσαν αὐτὸν Θηβαῖοι χιλίαις δραχμαῖς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι ὡς φιλαττικοῦ. λέγεται δὲ καί, ὡς Λάκωνες ἐμπρήσαντές ποτε Θήβας κατὰ μάχην, ἧς ἦρχε Παυσανίας ὁ σφῶν βασιλεύς, ἀπέσχοντο μόνης τῆς οἰκίας τοῦ ποιητοῦ, ἰδόντες ἐπιγεγραμμένον τό·

Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε.

τοῦτο δέ φασι καὶ Ἀλέξανδρος μετὰ ταῦτα πεποίηκε. καὶ αὐτὸς γὰρ ἐμπρήσας Θήβας ἐφύλαξε τὴν οἰκίαν, ἢ καὶ εἰς πρυτανεῖον ὕστερον ἀπετελέσθη.

φέρεται δὲ λόγος, καὶ θεωρούς ποτε ἀπιόντας εἰς Ἄμμωνος αἰτῆσαι Πινδάρῳ οἷα φίλῳ τὸ ἐν ἀνθρώποις ἄριστον· καὶ θανεῖν αὐτὸν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. τοῦτο δὲ πάντως καὶ θανάτου ἐστὶ σέμνωμα, ὡς κολούοντος τὴν ἐν κακοῖς μακροτέραν βιοτήν· ὃ δὴ καὶ ἐπὶ τῶν κτισάντων τὸν Πυθοῖ ναὸν ἱστόρηται, οἳ τὸ ἔργον συντετελεκότες θαύματος ἄξιον ὂν καὶ ἀγαθὸν μέγα ἑαυτοῖς θεόθεν αἰτησάμενοι, εἶτα ἕωθεν οὐκ ἔτ' ἦσαν ὡς θανάτῳ ἀπεληλυθότες. καὶ Κλέοβις δὲ καὶ Βίτων ὅμοια τῆς ὑπὲρ ἀγαθοῦ εὐχῆς ἀπώναντο, ἡνίκα ἐκεῖνοι τὴν μητέρα ἐπὶ ἁμάξης ἑλκύσαντες διὰ μέσης ἀγορᾶς ἐς νενομισμένην δημοτελῆ θυσίαν (οἱ γὰρ ἱεροὶ βόες οὐ παρῆσαν) ἔτυχον μὲν εὐχῆς μητρόθεν ὡς ἐπὶ κρείττοσιν, αὐτοὶ

*δὲ προὐκαλέσαντο θάνατον, ὃς αὐτίκα ἐκείνων ἐλάβετο. ἀλλὰ ταῦτα μὲν οὕτω παρερρίφθω οὐδ' αὐτὰ εἰς κενόν.*

*τοῦ δὲ κατὰ Πίνδαρον γένους οὕτω πεζολογικῶς προενηνεγμένου φέρεται εἰς αὐτὸν καὶ δι' ἐπῶν παλαιῶν ταῦτα, οἷς ἐμφέρονται καί τινα ἐπέκεινα τῶν προειρημένων·*

*Πίνδαρον ὑψαγόρην Καδμηίδος οὖδεϊ Θήβης*
*Κλειδίκη εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ*
*γείνατο, ναιετάουσα Κυνὸς κεφαλῆς παρὰ χώρῳ,*
*οὐκ οἷον· ἅμα τῷ καὶ Ἐρίτιμον εἰδότα θήρης,*
*εἰδότα πυγμαχίης τε παλαισμοσύνης τ' ἀλεγεινῆς.*
*τὸν μέν, ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ*
*εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ*
*χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.*
*τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων*
*ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων*
*τοπρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,*
*ὅς ῥά τε οἱ κατέδειξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.*
*εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῇ*
*Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,*
*Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.*
*ἀλλὰ τὸ μὲν μετόπισθεν. ἔτι ζώοντι δ' ἀοιδῷ*
*Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς*
*ἦια καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.*
*καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠύκερος Πὰν*
*Πινδάρου αἰὲν ἄειδε καὶ οὐκ ἐμέγηρεν ἀείδων.*
*ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν*
*αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,*
*τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.*
*τῷ Τιμοξείνη παρελέξατο, δῖα γυναικῶν,*
*ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,*
*Πρωτομάχην δ' ἐπὶ τοῖσιν. ἔμελψε δὲ κῦδος ἀγώνων*
*τῶν πισύρων, μακάρων παιήονας ἐν δέ τε θρήνους,*
*καὶ μέλος ὀρχηθμοῖο, θεῶν τ' ἐρικυδέας ὕμνους,*
*ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.*
*τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας*
*κάτθανεν, ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.*

*οὕτω δὲ καὶ τούτων ᾐσμένων εἰς τὸ τοῦ ποιητοῦ γένος οὐκ ἀγλαφύρως, οἱ παλαιοὶ ἔξω τῶν ἐν τῇ Πινδαρικῇ βίβλῳ κειμένων γνωμικῶν ἀποφθεγμάτων προσιστοροῦσι καὶ τάδε. Πίνδαρος ἐρωτηθείς, τί πρίονος ὀξύτερον, εἶπε· διαβολή. Δελφόσε δ' ἐρωτηθείς, τί πάρεστι θύσων, παιᾶνα εἶπε· μονονουχὶ λέγων, ἐκ τῶν ἐλλογίμων ἀνδρῶν θυσίαν εἶναι λόγους τῷ κρείττονι. πρὸς ὃ συλλαλεῖ καὶ ὁ γράψας, ὡς ἄκαπνα θύουσιν ἀοιδοί. πρὸς δὲ τὸν ἐρωτήσαντα, διὰ τί*

οὐ τῷ εὖ πράττοντι τὴν θυγατέρα δίδωσιν; οὐ μόνον εὖ πράττοντος ἔφη δεῖσθαι, ἀλλὰ καὶ πράξαντος. τῷ δὲ πυθομένῳ, διὰ τί μέλη γράφων ᾄδειν οὐκ ἐπίσταται; καὶ γὰρ οἱ ναυπηγοὶ ἔφη πηδάλια ποιοῦντες κυβερνᾶν οὐκ οἴδασι. τοῦτο δέ πως παρέοικε πρὸς τὸ ἐρωτηθῆναι μέν τινα σοφιστήν, διὰ τί δημηγορεῖν ἄλλους πρὸς ὄχλον διδάσκων αὐτὸς οὐ δύναται οὕτω ποιεῖν; ἐκεῖνον δὲ εὐστόχως εἰπεῖν, ὡς καὶ ἡ ἀκόνη ὀξύνουσα εἰς τομὴν τὰ σιδήρια ὅμως αὐτὴ τέμνειν οὐ δύναται.

ὅτι δὲ οὐ δεξιὸς ἦν αὐτὸς ᾄδειν ὁ Πίνδαρος, ἀλλ' ὑποβολέα οἷον εἶχεν ἕτερον τοῦ τοιούτου ἔργου, δηλώσει ἐν οἷς μνήσεταί τις Αἰνείου χοροστάτου· ὃν καὶ δοκεῖ φιλεῖν οἷα ἐπικοσμοῦντα οἰκείᾳ τέχνῃ τὰς Πινδαρικὰς ᾠδὰς ὡς κορυφαῖον χοροῦ ἄριστον.

εἰ δὲ κατὰ τοὺς παλαιοὺς Πίνδαρος ἔφη, τοὺς φιλοσοφοῦντας ἀτελῆ σοφίας δρέπειν καρπόν, ἀλλὰ τοῦτό γε εἰς ψόγον ἂν ἐμπίπτοι, ὁποῖος καὶ τῷ κωμικῷ προστέτριπται, ὅς που τοὺς φιλοσόφους διὰ τὸ ἀπράγμονας εἶναι σκώπτει ὡς ἀργούς.

ποιήματα δὲ πολλὰ γράψαι Πίνδαρος λέγεται, ὧν καὶ φέρονται οὐκ ὀλίγα, οὐ μὴν τὰ πάντα ὑπεμνηματισμένα. εἰσὶ δὲ παιᾶνες, διθύραμβοι, προσόδια, παρθένια, τὰ καὶ αὐτὰ μνημονευθέντα πρὸ βραχέων, ὑπορχήματα, ἐγκώμια, θρῆνοι καὶ ἐπινίκιοι, κατὰ τὴν ἱστορίαν ὡσεὶ τετρακισχίλιοι, οὓς καὶ ἐπινίκους τετρασυλλάβως φασίν, οἳ καὶ περιάγονται μάλιστα διὰ τὸ ἀνθρωπικότεροι εἶναι καὶ ὀλιγόμυθοι καὶ μηδὲ πάνυ ἔχειν ἀσαφῶς κατά γε τὰ ἄλλα. εἰ δὲ καὶ ὕμνοι λέγονται οἱ αὐτοί, ἄλλο αὐτὸ παραχρήσεως εἶδός ἐστι, καθ' ἣν καὶ τὸ ὑμνεῖσθαι ἀντιφραστικῶς που ἐπὶ ψόγου ἐτέθη, ὡς δηλοῖ καὶ τό· Ὑμνεῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις. δῆλον δέ, ὡς αἱ ἐπινίκιοι ᾠδαὶ τοῦ Πινδάρου καὶ εἴδη, τουτέστιν ἰδέαι, χάριν σεμνότητος ὀνομάζονται, ὅπερ ὑποκορισθὲν εἰς εἰδύλλια ἐπιγραφὴ γέγονε τοῖς Θεοκρίτου ποιήμασι. μελοποιὸς δὲ ὢν ἐς τὸ καθόλου ὁ Πίνδαρος παρωνυμεῖται πρὸς μέρος μουσικοῦ ὀργάνου λυρικὸς καλούμενος, καθά τις ἕτερος κιθαρῳδὸς καὶ ἄλλος ἀπὸ ψάλτρου ψαλτῳδός. οὐκ ἐξ ἀνάγκης δέ γε πρὸς λύραν μόνην ἐμελῴδει, ἀλλ' αὐτὸ μὲν ἐπελέγη πρός τι ἐξαίρετον εἰς κλῆσιν τῷ ποιητῇ. σεμνύνεται γὰρ πολλοῖς καὶ

δὲ προὐκαλέσαντο θάνατον, ὃς αὐτίκα ἐκείνων ἐλάβετο. ἀλλὰ ταῦτα μὲν οὕτω παρερρίφθω οὐδ' αὐτὰ εἰς κενόν.

τοῦ δὲ κατὰ Πίνδαρον γένους οὕτω πεζολογικῶς προενηνεγμένου φέρεται εἰς αὐτὸν καὶ δι' ἐπῶν παλαιῶν ταῦτα, οἷς ἐμφέρονται καί τινα ἐπέκεινα τῶν προειρημένων·

Πίνδαρον ὑψαγόρην Καδμηίδος οὖδεϊ Θήβης
Κλειδίκη εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ
γείνατο, ναιετάουσα Κυνὸς κεφαλῆς παρὰ χώρῳ,
οὐκ οἷον· ἅμα τῷ καὶ Ἐρίτιμον εἰδότα θήρης,
εἰδότα πυγμαχίης τε παλαισμοσύνης τ' ἀλεγεινῆς.
τὸν μέν, ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ
εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ
χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων
ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων
τοπρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,
ὅς ῥά τε οἱ κατέδειξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.
εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῇ
Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,
Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
ἀλλὰ τὸ μὲν μετόπισθεν. ἔτι ζώοντι δ' ἀοιδῷ
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς
ἦια καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠύκερος Πὰν
Πινδάρου αἰὲν ἄειδε καὶ οὐκ ἐμέγηρεν ἀείδων.
ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.
τῷ Τιμοξείνη παρελέξατο, δῖα γυναικῶν,
ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν. ἔμελψε δὲ κῦδος ἀγώνων
τῶν πισύρων, μακάρων παιήονας ἐν δέ τε θρήνους,
καὶ μέλος ὀρχηθμοῖο, θεῶν τ' ἐρικυδέας ὕμνους,
ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας
κάτθανεν, ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

οὕτω δὲ καὶ τούτων ᾐσμένων εἰς τὸ τοῦ ποιητοῦ γένος οὐκ ἀγλαφύρως, οἱ παλαιοὶ ἔξω τῶν ἐν τῇ Πινδαρικῇ βίβλῳ κειμένων γνωμικῶν ἀποφθεγμάτων προσιστοροῦσι καὶ τάδε. Πίνδαρος ἐρωτηθείς, τί πρίονος ὀξύτερον, εἶπε· διαβολή. Δελφόσε δ' ἐρωτηθείς, τί πάρεστι θύσων, παιᾶνα εἶπε· μονονουχὶ λέγων, ἐκ τῶν ἐλλογίμων ἀνδρῶν θυσίαν εἶναι λόγους τῷ κρείττονι. πρὸς ὃ συλλαλεῖ καὶ ὁ γράψας, ὡς ἄκαπνα θύουσιν ἀοιδοί. πρὸς δὲ τὸν ἐρωτήσαντα, διὰ τί

οὐ τῷ εὖ πράττοντι τὴν θυγατέρα δίδωσιν; οὐ μόνον εὖ πράττοντος ἔφη δεῖσθαι, ἀλλὰ καὶ πράξαντος. τῷ δὲ πυθομένῳ, διὰ τί μέλη γράφων ᾄδειν οὐκ ἐπίσταται; καὶ γὰρ οἱ ναυπηγοὶ ἔφη πηδάλια ποιοῦντες κυβερνᾶν οὐκ οἴδασι. τοῦτο δέ πως παρέοικε πρὸς τὸ ἐρωτηθῆναι μέν τινα σοφιστήν, διὰ τί δημηγορεῖν ἄλλους πρὸς ὄχλον διδάσκων αὐτὸς οὐ δύναται οὕτω ποιεῖν; ἐκεῖνον δὲ εὐστόχως εἰπεῖν, ὡς καὶ ἡ ἀκόνη ὀξύνουσα εἰς τομὴν τὰ σιδήρια ὅμως αὐτὴ τέμνειν οὐ δύναται.

ὅτι δὲ οὐ δεξιὸς ἦν αὐτὸς ᾄδειν ὁ Πίνδαρος, ἀλλ' ὑποβολέα οἷον εἶχεν ἕτερον τοῦ τοιούτου ἔργου, δηλώσει ἐν οἷς μνήσεταί τις Αἰνείου χοροστάτου· ὃν καὶ δοκεῖ φιλεῖν οἷα ἐπικοσμοῦντα οἰκείᾳ τέχνῃ τὰς Πινδαρικὰς ᾠδὰς ὡς κορυφαῖον χοροῦ ἄριστον.

εἰ δὲ κατὰ τοὺς παλαιοὺς Πίνδαρος ἔφη, τοὺς φιλοσοφοῦντας ἀτελῆ σοφίας δρέπειν καρπόν, ἀλλὰ τοῦτό γε εἰς ψόγον ἂν ἐμπίπτοι, ὁποῖος καὶ τῷ κωμικῷ προστέτριπται, ὅς που τοὺς φιλοσόφους διὰ τὸ ἀπράγμονας εἶναι σκώπτει ὡς ἀργούς.

ποιήματα δὲ πολλὰ γράψαι Πίνδαρος λέγεται, ὧν καὶ φέρονται οὐκ ὀλίγα, οὐ μὴν τὰ πάντα ὑπεμνηματισμένα. εἰσὶ δὲ παιᾶνες, διθύραμβοι, προσόδια, παρθένια, τὰ καὶ αὐτὰ μνημονευθέντα πρὸ βραχέων, ὑπορχήματα, ἐγκώμια, θρῆνοι καὶ ἐπινίκιοι, κατὰ τὴν ἱστορίαν ὡσεὶ τετρακισχίλιοι, οὓς καὶ ἐπινίκους τετρασυλλάβως φασίν, οἳ καὶ περιάγονται μάλιστα διὰ τὸ ἀνθρωπικότεροι εἶναι καὶ ὀλιγόμυθοι καὶ μηδὲ πάνυ ἔχειν ἀσαφῶς κατά γε τὰ ἄλλα. εἰ δὲ καὶ ὕμνοι λέγονται οἱ αὐτοί, ἄλλο αὐτὸ παραχρήσεως εἶδος ἐστί, καθ' ἣν καὶ τὸ ὑμνεῖσθαι ἀντιφραστικῶς που ἐπὶ ψόγου ἐτέθη, ὡς δηλοῖ καὶ τό· Ὑμνεῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις. δῆλον δέ, ὡς αἱ ἐπινίκιοι ᾠδαὶ τοῦ Πινδάρου καὶ εἴδη, τουτέστιν ἰδέαι, χάριν σεμνότητος ὀνομάζονται, ὅπερ ὑποκορισθὲν εἰς εἰδύλλια ἐπιγραφὴ γέγονε τοῖς Θεοκρίτου ποιήμασι. μελοποιὸς δὲ ὢν ἐς τὸ καθόλου ὁ Πίνδαρος παρωνυμεῖται πρὸς μέρος μουσικοῦ ὀργάνου λυρικὸς καλούμενος, καθά τις ἕτερος κιθαρῳδὸς καὶ ἄλλος ἀπὸ ψάλτρου ψαλτῳδός. οὐκ ἐξ ἀνάγκης δέ γε πρὸς λύραν μόνην ἐμελῴδει, ἀλλ' αὐτὸ μὲν ἐπελέγη πρός τι ἐξαίρετον εἰς κλῆσιν τῷ ποιητῇ. σεμνύνεται γὰρ πολλοῖς καὶ

πολλαχῶς ἡ λύρα. ὁ δὲ καὶ ἑτέροις ὀργάνοις ᾄδων ἐχρᾶτο, καθὰ δηλοῖ καὶ τὸ ἀναξιφόρμιγγες ὕμνοι καὶ ἑξῆς. εἰ δ' ἴσως ταὐτόν τι φόρμιγξ καὶ λύρα, οὐδ' οὕτως αὐτῷ μόνον τὸ τῆς λύρας χρῆμα πρὸς ἴδιόν τι ἀποκεκλήρωται. ὡς δὲ λύρα εἴρηται ἢ παρὰ τὸ λύειν ἀράς, οἷς πρὸς ἡδονὴν γλυκέως ἁρμόττεται, ἢ παρὰ τὸ μυθικῶς εἰς λύτρον καταλλακτήριον εὑρεθῆναι ὑπὸ Ἑρμοῦ, ὃς χέλυν, ὅ ἐστι λύραν, ἐξ ὀστράκου συντεθεῖσαν χελώνης, δοὺς τῷ Φοίβῳ ἀντὶ βοῶν κλοπῆς, οὕτως ἐλύσατο ἑαυτῷ τὸν ὑπὲρ τοῦ κλέμματος χόλον, λέγουσι καὶ αὐτὰ παλαιοί.

# ΟΛΥΜΠΙΟΝΙΚΑΙ.

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Α'.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

### ΚΕΛΗΤΙ.

written 472 B.C.

Strophae.



Epodi.



Epodi versus sextum et septimum unam in periodum coniunxit Boeckh. vide v. 58 et 89.

*Στρ. α'.*

*Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ*
*ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου·*
*εἰ δ' ἄεθλα γαρύεν*
*ἔλδεαι, φίλον ἦτορ,*
*μηκέτ' ἀελίου σκόπει*
*ἄλλο θαλπνότερον ἐν ἀμέ-*
*ρα φαεννὸν ἄστρον ἐρή- μας δι' αἰθέρος*
*μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐ- δάσομεν·*
*ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται*
*σοφῶν μητίεσσι, κελαδεῖν*
*Κρόνου παῖδ', ἐς ἀφνεὰν ἱκομένους*
*μάκαιραν Ἱέρωνος ἑστίαν,*

*Ἀντ. α'.*

*θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον ἐν πολυμήλῳ*
*Σικελίᾳ, δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν*
*ἀγλαΐζεται δὲ καὶ*
*μουσικᾶς ἐν ἀώτῳ,*
*οἷα παίζομεν φίλαν*
*ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν.*
*ἀλλὰ Δωρίαν ἀπὸ φόρ- μιγγα πασσάλου*
*λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενί- κου χάρις*
*νόον ὕπο γλυκυτάταις ἔθηκε φροντίσιν,*
*ὅτε παρ' Ἀλφεῷ σύτο δέμας*
*ἀκέντητον ἐν δρόμοι- σι παρέχων,*
*κράτει δὲ προσέμιξε δεσπόταν,*

---

*6. γρ. φαεινόν* — 10. *γρ.* ἱκόμενοι, unde Triclinius *ἱκομένοις* interpolavit — 12. πολυμάλῳ codd. vett. — 19. ὑπό *vulgo.*

*Ἐπ. α'.*

Συρακόσιον ἱπποχάρ- μαν βασιλῆα. λάμ- πει δέ  
ϝοι κλέος  
ἐν εὐάνορι Λυ- δοῦ Πέλοπος ἀποικίᾳ·  
τοῦ μεγασθενὴς ἐράσσατο γαι- άοχος  
Ποσειδᾶν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ  
ἐλέφαντι φαίδιμον ὦ- μον κεκαδμένον.  
ἦ θαυματὰ πολλά, καί πού τι καὶ βροτῶν  
φάτιν ὑπὲρ τὸν ἀλα- θῆ λόγον  
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι  
μῦθοι.

*Στρ. β'.*

Χάρις δ', ἅπερ ἅπαντα τεύ- χει τὰ μείλιχα θνατοῖς,  
ἐπιφέροισα τι- μὰν καὶ ἄπιστον ἐμήσατο πιστὸν  
ἔμμεναι τὸ πολλάκις·  
ἁμέραι δ' ἐπίλοιποι  
μάρτυρες σοφώτατοι.  
ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς  
ἀμφὶ δαιμόνων καλά· μεί- ων γὰρ αἰτία.  
υἱὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων φθέγξομαι,  
ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον  
ἐς ἔρανον φίλαν τε Σίπυλον,  
ἀμοιβαῖα θεοῖσι δεῖ- πνα παρέχων,  
τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι

*Ἀντ. β'*

δαμέντα φρένας ἱμέρῳ χρυσέαισιν ἀν' ἵπποις

---

24. γρ. ἐποικίᾳ — 29. φάτιν var. lectio in scholiis commemorata: φάτις lectio codd. vett. et ipsa in schol. commemorata, φρένας codd. interpoll. φρόνιν ipse tentavi — 42. γρ. χρυσέαισι κἀν', unde Schmidius, ne numeros laederet, scripsit χρυσέαισι τ' ἀν'.

ὕπατον εὐρυτί- μου ποτὶ δῶμα Διὸς μεταβᾶσαι,
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὔτ' ἐπὶ χρέος.
ὡς δ' ἄφαντος ἔπελες, οὐδὲ
μα̣τρὶ πολλὰ μαιόμενοι φῶτες ἄγαγον·
ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων,
ὕδατος ὅτι σε πυρὶ ζέοισαν εἰς ἀκμὰν
μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέζαισί τ' ἀμφὶ δεύ- τατα κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.

'Επ. β'.

ἐμοὶ δ' ἄπορα γαστρίμαρ- γον μακάρων τιν' εἰ-
πεῖν. ἀφίσταμαι.
ἀκέρδεια λέλογ- χεν θαμινὰ κακαγόρους.
εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμ- που σκοποὶ
ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ κατα-
πέψαι
μέγαν ὄλβον οὐκ ἐδυνάσ- θη, κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον, ἄν ϝοι πατὴρ ὕπερ
κρέμασε καρτερὸν αὐ- τῷ λίθον,
τὸν αἰεὶ μενοι- νῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας
ἀλᾶται.

Στρ. γ'.

ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρ- τον πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον

49. σε Bergk: τε codd. — εἰς e schol. Mommsen: ἐπ' codd. vett. ἀμφ' interpoll. — 51. δεύματα e codd. deterioribus Boeckh — 58. ἄν Hermann: τάν codd.

*θέσσαν. εἰ δὲ θεὸν ἀνήρ τις*
*ἔλπεταί τι λαθέμεν ἔρ- δων, ἁμαρτάνει.*
*τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί ϝοι πάλιν*
*μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.*
*πρὸς εὐάνθεμον δ' ὅτε φυὰν*
*λάχναι νιν μέλαν γένει- ον ἔρεφον,*
*ἑτοῖμον ἀνεφρόντισεν γάμον*

*Ἀντ. γʹ.*

*Πισάτᾳ παρὰ πατρὸς εὔ- δοξον Ἱπποδάμειαν*
*σχεθέμεν. ἐγγὺς ἐλ- θὼν πολιᾶς ἁλὸς οἶος ἐν*
*ὄρφνᾳ*
*ἄπυεν βαρύκτυπον*
*Εὐτρίαιναν· ὁ δ' αὐτῷ*
*πὰρ ποδὶ σχεδὸν φάνη.*
*τῷ μὲν εἶπε· Φίλια δῶρα*
*Κυπρίας ἄγ' εἴ τι, Ποσεί- δαον, ἐς χάριν*
*τέλλεται, πέδασον ἔγχος Οἰνομάου χάλκεον,*
*ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων*
*ἐς Ἆλιν, κράτει δὲ πέλασον.*
*ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄν- δρας ὀλέσαις*
*μναστῆρας ἀναβάλλεται γάμον*

*Ἐπ. γʹ.*

*θυγατρός. ὁ μέγας δὲ κίν- δυνος ἄναλκιν οὐ*
*φῶτα λαμβάνει.*
*θανεῖν δ' οἷσιν ἀνάγ- κα, τά κέ τις ἀνώνυμον*
*γῆρας ἐν σκότῳ καθήμενος ἕ- ψοι μάταν,*
*ἁπάντων καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος*
*ἄεθλος*

---

66. *θέσσαν* schol. et codd. interpoll.: *θέσαν αὐτόν* codd. vett. unde *θέν νιν* Mommsen — *τι* om. codd. vett. — 73. ἐγγὺς Bergk: *ἐγγὺς δ'* codd. vett. ἄγχι δ' interpoll. — 82. ἐρῶντας *codd. interpoll.* — 84. *γρ. τί κε.*

ὑποκείσεται· τὺ δὲ πρᾶ- ξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ᾽ ἀκράν- τοις ἐφάψατο
ἔπεσι. τὸν μὲν ἀγάλ- λων θεὸς
ἔδωκεν δίφρον τε χρύσεον πτεροῖ- σίν τ᾽ ἀκά-
μαντας ἵππους.

Στρ. δ᾽.

ἕλεν δ᾽ Οἰνομάου βίαν παρθένον τε σύνευνον·
ἃ τέκε λαγέτας ἓξ ἀρεταῖσι μεμαότας υἱούς.
νῦν δ᾽ ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,
τύμβον ἀμφίπολον ἔχων πο-
λυξενωτάτῳ παρὰ βω- μῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
ἀκμαί τ᾽ ἰσχύος θρασύπονοι·
ὁ νικῶν δὲ λοιπὸν ἀμ- φὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν

Ἀντ. δ᾽.

ἀέθλων γ᾽ ἕνεκεν. τὸ δ᾽ αἰ- εὶ παράμερον ἐσλὸν
ὕπατον ἔρχεται παντὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
κεῖνον ἱππείῳ νόμῳ
Αἰοληΐδι μολπᾷ
χρή· πέποιθα δὲ ξένον
μή τιν᾽ ἀμφότερα καλῶν τε
ϝίδριν ἄμμε καὶ δύναμιν κυριώτερον
τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμ- νων πτυ-
χαῖς.

---

88. ἐφάψατ᾽ ὤν codd. interpoll. — 92. ἃ τέκε codd. vett. et schol.: τέκε τε vel τέκε δέ codd. interpoll. — 102. γρ. ἀέθλων ἕνεκεν — 107. ἄμμε καί Mommsen: ἅμα καί codd. vett. ἄλλον ἤ vel ἀλλὰ καί interpoll.

θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
ἔχων τοῦτο κᾶδος, Ἱέρων,
μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι 'Επ. δ'.

σὺν ἅρματι θοῷ κλεΐ- ξειν, ἐπίκουρον εὑ- ρὼν
ὁδὸν λόγων,
παρ' εὐδείελον ἐλ- θὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
Μοῖσα καρτερώτατον βέλος ἀλ- κᾷ τρέφει·
ἐπ' ἄλλοισι δ' ἄλ- λοι μεγάλοι. τὸ δ' ἔσχατον
κορυφοῦται
βασιλεῦσι. μηκέτι πάπ- ταινε πόρσιον.
εἴη σέ τε τοῦτον ὑ- ψοῦ χρόνον πατεῖν,
ἐμέ τε τοσσάδε νι- καφόροις
ὁμιλεῖν, πρόφαν- τον σοφίᾳ καθ' Ἕλ- λανας
ἐόντα παντᾷ.

---

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Β'

# ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

## ΑΡΜΑΤΙ.

476 B.C.

Strophae.



---

110. γρ. κῦδος — 116. ἐπ' om. codd. vett.
Strophae versus sextum et septimum a Boeckhio coniunctos ego Bergkium secutus divisi.

Epodi.

– –́ ⏑ – –́ ⏑ ⏑⏑ –́ ⏑ ⏒
–́ ⏑ – ⏑ – ⏑⏑́ ⏑ – ⏑ – –́ ⏑ – ⏒
⏑⏑́ ⏑ – –́ ⏑ – ⏑ – ⏑⏑́ ⏑ – –́ ⏑ ⏒
– –́ ⏑ – –́ ⏑ ⏑⏑ –́ ⏑ ⏑⏑ –́ ⏓
⏓ –́ ⏑ ⏑⏑ –́ ⏑ – –́ ⏑ – ⏒
⏑ –́ ⏑ – ⏑ – ⏒

Ἀναξιφόρμιγγες ὕμνοι, Στρ. α'.
τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ' ἔσ-
τασεν Ἡρακλέης
ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
γεγωνητέον, ὄπιν δίκαιον ξένων,
ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·

καμόντες οἳ πολλὰ θυμῷ Ἀντ. α'.
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός, αἰὼν δ' ἔφεπε μόρσιμος, πλοῦ-
τόν τε καὶ χάριν ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων Ἐπ. α'.
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν ἀποί- ητον οὐδ' ἂν
χρόνος ὁ πάντων πατὴρ δύναι- το θέμεν ἔργων τέλος·

---

6. ὄπιν δίκαιον ξένων Hermann: ὀπὶ δίκαιον ξένον codd. — 11. γρ. τ' ἔφεπε.

λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
παλίγκοτον δαμασθέν,

ὅταν θεοῦ Μοῖρα πέμπῃ — Στρ. β'.
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα, πέν-
θος δ' ἔπιτνεν βαρὺ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ
δέ νιν Παλλὰς αἰεὶ
καὶ Ζεὺς πατὴρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ — Ἀντ. β'.
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον. ἤ-
τοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ' ἡσύχιμον ἁμέραν ὁπότε, παῖδ' ἀελίου,
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν·
ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν.

οὕτω δὲ Μοῖρ', ἅ τε πατρώιον — Ἐπ. β'.
τῶνδ' ἔχει τὸν εὔ- φρονα πότμον, θεόρ- τῳ σὺν ὄλβῳ
ἐπί τι καὶ πῆμ' ἄγει παλιν- τράπελον ἄλλῳ χρόνῳ·

---

23. γρ. πέμψῃ — 24. δ' ὁ λόγος Hartung — 25. δ' ἔπιτνεν Hermann: δὲ πιτνεῖ codd. δ' ἐπίτνει Beck — 29. φιλέοντι δὲ Μοῖσαι post αἰεὶ in codd. addita iam Aristophanes deleri iussit. — 34. πέρας codd. vett. unde πέρας οὐ κέκριται Mommsen — καμάτου M. Schmidt.

*ἐξ οὗπερ ἔκτεινε Λᾷον μόριμος υἱὸς*
*συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθὲν*
*παλαίφατον τέλεσσεν.*

*ἰδοῖσα δ' ὀξεῖ' Ἐρινὺς* Στρ. γ'.
*ἔπεφνέ ϝοι σὺν ἀλλαλοφονίᾳ γένος ἀρήιον·*
*λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνεί-*
*κει, νέοις ἐν ἀέθλοις*
*ἐν μάχαις τε πολέμου*
*τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·*
*ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει*
*τὸν Αἰνησιδάμου*
*ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.*

*Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς* Ἀντ. γ'.
*γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεὸν*
*Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίπ-*
*πων δυωδεκαδρόμων*
*ἄγαγον. τὸ δὲ τυχεῖν*
*πειρώμενον ἀγωνίας παραλύει δυσφρονᾶν.*
*ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος*
*φέρει τῶν τε καὶ τῶν*
*καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,*

*ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον* Ἐπ. γ'.
*ἀνδρὶ φέγγος· εἶ γέ νιν ἔχων τις οἶ- δεν τὸ μέλλον,*
*ὅτι θανόντων μὲν ἐνθάδ' αὖ- τις ἀπάλαμνοι φρέ-*
*νες*

---

50. *ἔχοντα* Aristarchus: *ἔχοντι* codd. cum Didymo — 57. *παραλύει δυσφρονᾶν* G. Dindorf: *δυσφροσύναν παραλύει* codd. *ἀφροσύνας παραλύει* scholiasta testatur — 60. fort.: *ἀγλαϊᾶν.* — 62. *εἶ γε* Boeckh. εἰ δὲ codd. — 63. αὖτις *Rauchenstein*: *αὐτίκ'* codd.

ποινὰς ἔτισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.

ἴσον δὲ νύκτεσσιν αἰεί, Στρ. δ'.
ἴσα δ' ἐν ἁμέραις ἅλιον ἔχοντες ἀπονέστερον
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα ταράσ-
σοντες ἐν χερὸς ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ
κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρὰ μὲν τιμίοις
θεῶν, οἵτινες ἔχαιρον εὐορκίαις,
ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον.

ὅσοι δ' ἐτόλμασαν ἐςτρὶς Ἀντ. δ'.
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου
τύρσιν· ἔνθα μακάρων
νᾶσος ὠκεανίδες
αὖραι περιπνέοισιν, ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ κεφαλὰς

βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος, Ἐπ. δ'.
ὃν τε Γᾶς ἔχει παῖς ἑτοῖμον αὐ- τῷ πάρεδρον,

---

67. ἴσαις codd. vett. — 68. ἴσαις δ' ἐν codd. vett. — 69. γρ. δέρκονται unde δεδόρκαντι βίον Hermann. — fort. ταράσσοντες ἀκμᾷ χερός — 71. κενεάν codd. vett. — 77. ἔστειλαν codd. vett. — 78. γρ. νᾶσον — 82. κεφαλάς Pauw: στεφάνους codd. vett. στεφάνοις interpoll. — 84. ὃν τε Γᾶς ἔχει παῖς Christ: ὃν πατὴρ ἔχει γᾶς codd. vett. ὃν πατὴρ ἔχει Κρόνος interpoll.

*πόσις ὁ πάντων Ῥέας ὑπέρ- τατον ἐχοίσας θρόνον.*
*Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·*
*Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ*
*λιταῖς ἔπεισε, μάτηρ·*

*ὃς Ἕκτορ' ἔσφαλε, Τρῴας* Στρ. ε΄.
*ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,*
*Ἀοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ' ἀγ-*
*κῶνος ὠκέα βέλη*
*ἔνδον ἐντὶ φαρέτρας*
*φωνάεντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμηνέων*
*χατίζει. σοφὸς ὁ πολλὰ ϝειδὼς φυᾷ·*
*μαθόντες δὲ λάβροι*
*παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρύετον*

*Διὸς πρὸς ὄρνιχα θεῖον.* Ἀντ. ε΄.
*ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ, τίνα βάλ-*
*λομεν*
*ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀισ-*
*τοὺς ἱέντες; ἐπί τοι*
*Ἀκράγαντι τανύσαις·*
*αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ,*
*τεκεῖν μή τιν' ἑκατόν γε ϝετέων πόλιν*
*φίλοις ἄνδρα μᾶλλον*
*εὐεργέταν πραπίσιν ἀφθονέστερον τε χέρα*

*Θήρωνος. ἀλλ' αἶνον ἐπέβα κόρος* Ἐπ. ε΄.
*οὐ δίκᾳ συναν- τόμενος, ἀλλὰ μάρ- γων ὑπ'*
*ἀνδρῶν,*
*τὸ λαλαγῆσαι θέλων κρύφον τιθέμεν ἐσλῶν καλοῖς*

---

85. *πόσις ἁπάντων* Bergk — ὕπατον codd. vett. — παῖς *θρόνον* codd. — 89. γρ. Ἕκτορα σφάλε. — 101. γρ. αὐδάσομεν.

*ἔργοις· ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν,*
*καὶ κεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν,*
*τίς ἂν φράσαι δύναιτο;*

---

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Γ'.

# ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

## ΕΙΣ ΘΕΟΞΕΝΙΑ.

476 B.C.

Strophae.

–́ ⏑⏑ – ⏑⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑⏑ – ⏑⏑ –
– –́ ⏑⏑ – ⏑⏑ – – ⏑́ ⏑ ⏓
– –́ ⏑⏑ – ⏑⏑ – – | ⏑́ ⏑ – – ⏑́ ⏑⏑ – ⏑⏑ ⏓
– –́ ⏑ – – | ⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑⏑ – ⏑⏑ – – ⏑́ ⏑ ⏓
–́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑ – ⏓

Epodi.

–́ ⏑ – ⏓ – ⏑ – – ⏑́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑ – – ⏑́ ⏑⏑ – ⏑⏑ – – ⏑́ ⏑ – – – ⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ – ¦ – ⏑́ ⏑⏑ – ⏑⏑ – – ⏑́ ⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ – | – ⏑́ ⏑ – ⏓ ⏑́ ⏑⏑ – ⏑⏑ ⏓
–́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑ – ⏓

*Στρ. α'.*

*Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ*
*κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,*

---

107. *κρύφον* Aristarchus: *κρύφιον* codd. vett. — *τιθέμεν* Hermann: *τε θέμεν* codd. et schol. — *ἐσλῶν καλοῖς* schol.: *ἐσλὸν κακοῖς* codd. vett. — 109. *κἀκεῖνος* codd. vett. *ἐκεῖνος* codd. interpoll.

Θήρωνος Ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις, ἀκα-
μαντοπόδων
ἵππων ἄωτον. Μοῖσα δ' οὕτω μοι παρεστάκοι νεο-
σίγαλον εὑρόντι τρόπον
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

Ἀντ. α'.

ἀγλαόκωμον. ἐπεὶ χαίταισι μὲν ζευχθέντες ἔπι
στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων
τε θέσιν
Αἰνησιδάμου παιδὶ συμμῖξαι πρεπόντως, ἅ τε Πίσα
με γέγωνεν, τᾶς ἄπο
θεόμοροι νίσσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί,

Ἐπ. α'.

ᾧ τινι, κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας,
ἀτρεκὴς Ἑλλανοδίκας γλεφάρων Αἰτωλὸς ἀνὴρ
ὑψόθεν
ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας· τάν
ποτε
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν Ἀμφιτρυω-
νιάδας,
μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἀέθλων,

Στρ. β'.

δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα
λόγῳ·
πιστὰ φρονέων Διὸς αἴτει πανδόκῳ

---

4. μοι παρεστάκοι Mommsen in ed. mai.: τοι (vel ποι) παρέστα μοι codd. — 9. γέγωνεν Christ: γεγωνεῖν codd. — 17. αἴτει al. Ἄλτει Koene.

ἄλσει σκιαρόν τε φύτευμα ξυνὸν ἀνθρώποις στέφανόν τ' ἀρετᾶν.
ἤδη γὰρ αὐτῷ πατρὶ μὲν βωμῶν ἁγισθέντων διχόμηνις ὅλον χρυσάρματος
ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα,

Ἀντ. β'.

καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾶ
θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.
τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπακουέμεν αὐγαῖς ἀελίου.
δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμα

Ἐπ. β'.

Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ
δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμπτων μυχῶν,
εὖτέ μιν ἀγγελίαις Εὐρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν
χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ', ἅν ποτε Ταϋγέτα
ἀντιθεῖσ' Ὀρθωσίᾳ ἔγραψεν ἱεράν.

Στρ. γ'.

τὰν μεθέπων ἴδε καὶ κείναν χθόνα πνοιᾶς ὄπιθεν Βορέα

---

19. γρ. αὐτᾷ — 25. παρελθεῖν Bossler — γρ. ὥρμαιν' — 26. γρ. Ἰστρία νιν — 30. Ὀρθωσίας Ahrens — 31. πνοιᾶς ed. Romana: πνοιαῖς vel πνοαῖς codd. et schol.

ψυχροῦ. τόθι δένδρεα θάμβαινε σταθείς.
τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον περὶ
τέρμα δρόμου
ἵππων φυτεῦσαι. καί νυν ἐς ταύταν ἑορτὰν ἵλαος
ἀντιθέοισιν νίσσεται
σὺν βαθυζώνου διδύμνοις παισὶ Λήδας.

Ἀντ. γʹ.

τοῖς γὰρ ἐπέτραπεν Οὔλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα
νέμειν
ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὦν πὰρ θυμὸς ὀτρύνει φάμεν
Ἐμμενίδαις
Θήρωνί τ' ἐλθεῖν κῦδος, εὐίππων διδόντων Τυνδα-
ριδᾶν, ὅτι πλείσταισι βροτῶν
ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

Ἐπ. γʹ.

εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς
αἰδοιέστατον,
νῦν γε πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων
ἅπτεται
οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω δ' ἔστι σο-
φοῖς ἄβατον
κἀσόφοις. οὔ νιν διώξω· κεινὸς εἴην.

---

32. γρ. θαύμαινε — 36. γρ. ἐπέτρεπεν — 38. ὦν πα codd. vett. — 42. γρ. αἰδοιέστατος — 43. γρ. νῦν δέ — 45. γρ. μήν, unde μάν Thiersch.

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Δ'.

# ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

## ΑΠΗΝΗι.

452 B.C.

Strophae.



Epodus.



Στρ.

Ἐλατὴρ ὑπέρτατε βρον- τᾶς ἀκαμαντόποδος
    Ζεῦ· τεαὶ γὰρ ὧραι
ὑπὸ ποικιλοφόρ- μιγγος ἀοιδᾶς
    ἑλισσόμεναί μ' ἔπεμψαν
ὑψηλοτάτων μάρτυρ' ἀέθλων.

---

Strophae periodi quartae et epodi extremae clausulas propriis versibus inclusit Boeckh.

ξείνων δ' εὖ πρασσόντων, ἔσαναν αὐτίκ' ἀγγελίαν
ποτὶ γλυκεῖαν ἐσλοί.
ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτ- ναν ἔχεις,
ἶπον ἀνεμόεσ- σαν ἑκατογκεφάλα
Τυφῶνος ὀμβρίμου,
Οὐλυμπιονί- καν δέκευ
Χαρίτων ἕκατι τόνδε κῶμον,

Ἀντ.

χρονιώτατον φάος εὐ- ρυσθενέων ἀρετᾶν.
Ψαύμιος γὰρ ἵκει
ὀχέων, ὃς ἐλαί- ᾳ στεφανωθ εἰς
Πισάτιδι κῦδος ὄρσαι
σπεύδει Καμαρί- νᾳ. θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς· ἐπεί νιν αἰνέω μάλα μὲν
τροφαῖς ἑτοῖμον ἵππων,
χαίροντά τε ξενίαις πανδόκοις
καὶ πρὸς ἡσυχίαν φιλόπολιν καθαρᾷ
γνώμᾳ τετραμμένον.
οὐ ψεύδεϊ τέγ- ξω λόγον·
διάπειρά τοι βροτῶν ἔλεγχος·

Ἐπ.

ἅπερ Κλυμένοιο παῖδα
Λαμνιάδων γυναικῶν
ἔλυσεν ἐξ ἀτιμίας.
χαλκέοισι δ' ἐν ἔντεσι νι- κῶν δρόμον
ἔειπεν Ὑψιπυλεί- ᾳ μετὰ στέφανον ἰών·
Οὗτος ἐγὼ ταχυτᾶτι·

---

5. γρ. ἀλλὰ Κρόνου. — 7. δέξαι codd. vett. — 8. γ' ἕκατι aut θ' ἕκατι codd. vett. unde Ϝέκατι conicias — 9. γρ. ἥκει — 20. γρ. ἔντεσσι.

χεῖρες δὲ καὶ ἦτορ ἴσον.
φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν
πολιαὶ θαμὰ καὶ παρὰ τὸν ἁλικίας ἐοικότα χρόνον.

---

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ε'.

# ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙῼ.

## ΑΠΗΝΗι.

452 B.C.

Strophae.

– – ⏑⏑ – – ⏑⏑ – ⏑ – – ⏑ –
– – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – – ⏑ – ⏑ – ⏑
⏑⏑ – ⏑⏑ – ⏑ – – ⏑ – – ⏑ – ⏑ – ⏑

Epodi.

– – – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑ | – ⏑ – ⏑ – ⏑
– – – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – – ⏑ – – ⏑ – – ⏑ – ⏑ – ⏑

Στρ. α'.

Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄω- τον γλυκὺν
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ,
καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ' ἀπή- νας δέκευ
Ψαύμιός τε δῶρα·

Ἀντ. α'.

ὃς τὰν σὰν πόλιν αὔ- ξων, Καμάρινα, λα- οτρόφον
βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορ-
ταῖς θεῶν μεγίσταις
ὑπὸ βουθυσίαις ἀέθ- λων τε πεμ-
παμέροις ἁμίλλαις,

---

25. γρ. θαμάκι παρά — γρ. ἁλικίαις. — 4. Καμάρινα Hermann: Καμάριναν codd. vett. — 5. γρ. ἐγέραιρεν.

'Επ. α'.

ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε.
τὶν δὲ κῦδος ἁβρὸν
νικάσαις ἀνέθηκε, καὶ ὃν πατέρ' Ἄ-
κρων' ἐκά-ρυξε καὶ τὰν νέοικον ἕδραν.

Στρ. β'.

ἵκων δ' Οἰνομάου καὶ Πέλοπος παρ' εὐ- ηράτων
σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀεί-
δει μὲν ἄλσος ἁγνὸν
τὸ τεόν, ποταμόν τε Ὤ- ανιν, ἐγ-
χωρίαν τε λίμναν,

'Αντ. β'.

καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἶσιν ἄρ- δει στρατόν,
κολλᾷ τε σταδίων θαλάμων ταχέως
ὑψίγυιον ἄλσος,
ἀπ' ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν

'Επ. β'.

αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπάνα τε
μάρναται πρὸς ἔργον
κινδύνῳ κεκαλυμμένον· ηὖ δ' ἔχον-
τες σοφοὶ καὶ πολί- ταις ἔδοξαν ἔμμεν.

Στρ. γ'.

Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναί- ων λόφον
τιμῶν τ' Ἀλφεὸν εὐρὺ ῥέοντα Ϝιδαῖ-
όν τε σεμνὸν ἄντρον,
ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,

---

9. γρ. ἥκων — γρ. εὐηλάτων. — 13. δὲ Bergk — 16. ηὖ δ' Hermann: εὖ δ' codd.

'Αντ. γ'.

αἰτήσων πόλιν εὐ- ανορίαισι τάν- δε κλυταῖς
δαιδάλλειν, σέ τ', Ὀλυμπιόνικε, Ποσει-
δανίαισιν ἵπποις
ἐπιτερπόμενον φέρειν γῆρας εὔ- θυμον ἐς τελευτάν,

'Επ. γ'.

υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα
δ' εἴ τις ὄλβον ἄρδει,
ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν
προστιθείς, μὴ ματεύ- σῃ θεὸς γενέσθαι.

---

ΟΛΥΜΠΙΟΝΙΚΑΙ ϛ'.

## ΑΓΗΣΙᾼ ΣΥΡΑΚΟΣΙῼ

### ΑΠΗΝῌ.

468 B.C.

Strophae.

– –″ ⏑ – – – ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–″ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ ⏓
–″ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓
–″ ⏑ – – – ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓
– –″ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏑ ⏓
⏑ –″ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓
–″ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓

Epodi.

–″ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–″ ⏑ – – – ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ ⏓
–″ ⏑⏑ – – –́ ⏑⏑ – – –́ ⏑ – – – ⏑ ⏓
–″ ⏑ – – – ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ ⏓
–″ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–″ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–″ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓

---

21. γρ. Ποσειδανίοισιν.

*Στρ. α'.*

*Χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου*
*κίονας, ὡς ὅτε θαητὸν μέγαρον,*
*πάξομεν· ἀρχομένου δ' ἔργου πρόσωπον*
*χρὴ θέμεν τηλαυγές. εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας,*
*βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ,*
*συνοικιστήρ τε τᾶν κλεινᾶν Συρακοσσᾶν, τίνα κεν φύγοι ὕμνον*
*κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;*

*Ἀντ. α'.*

*ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων*
*Σωστράτου υἱός. ἀκίνδυνοι δ' ἀρεταὶ*
*οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις*
*τίμιαι· πολλοὶ δὲ μέμνανται, καλὸν εἴ τι ποναθῇ.*
*Ἁγησία, τὶν δ' αἶνος ἑτοῖμος, ὃν ἐν δίκᾳ*
*ἀπὸ γλώσσας Ἄδραστος μάντιν Οἰκλείδαν ποτ' ἐς Ἀμφιάρηον*
*φθέγξατ', ἐπεὶ κατὰ γαῖ' αὐτόν τέ νιν καὶ φαιδίμας ἵππους ἔμαρψεν.*

*Ἐπ. α'.*

*ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν ἑτασθέντων Ταλαϊονίδας*
*εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος· Ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς,*

---

*3. ἀρχομένους* var. lect. apud Lucianum alios — 14. *γρ. φαιδίμους* — 15. ἑτασθέντων Christ: τελεσθέντων codd. *ἁμαθέντων* Rauchenstein.

ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι.
τὸ καὶ
ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ.
οὔτε δύσηρις ἐὼν οὔτ' ὦν φιλόνεικος ἄγαν,
καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ ϝοι σαφέως
μαρτυρή- σω· μελίφθογγοι δ' ἐπιτρέψοντι Μοῖσαι.

Στρ. β'.

Ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤδη μοι σθένος ἡμιόνων,
ᾇ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσομεν ὄκχον, ἵκωμαί τε πρὸς ἀνδρῶν
καὶ γένος· κεῖναι γὰρ ἐξ ἀλλᾶν ὁδὸν ἁγεμονεῦσαι
ταύταν ἐπίστανται, στεφάνους ἐν Ὀλυμπίᾳ
ἐπεὶ δέξαντο· χρὴ τοίνυν πύλας ὕμνων ἀναπιτνά-
μεν αὐταῖς·
πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμερον
ἐλθεῖν ἐν ὥρᾳ·

Ἀντ. β'.

ἃ τοι Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται
παῖδα ϝιόπλοκον Εὐάδναν τεκέμεν.
κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις·
κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους ἐκέλευσεν
ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος,
ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ λάχε τ' Ἀλ-
φεὸν οἰκεῖν·
ἔνθα τραφεῖσ' ὑπ' Ἀπόλλωνι γλυκείας πρῶτον
ἔψαυσ' Ἀφροδίτας.

---

27. γρ. ἀναπεπτάμεν — 28. σάμερόν μ' Boeckh — 30. ἰόπλοκον Bergk: ἰοπλόκαμον codd. vett. ἰοβόστρυχον codd. *interpoll.*

*Ἐπ. β'.*

*οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ κλέπτοισα*
*θεοῖο γόνον·*
*ἀλλ' ὁ μὲν Πυθῶνάδ', ἐν θυμῷ πιέσαις χόλον οὐ*
*φατὸν ὀξείᾳ μελέτᾳ,*
*ᾤχετ' ἰὼν μαντευσόμενος ταύτας περ' ἀτλάτου*
*πάθας.*
*ἁ δὲ φοινικόκροκον ζώναν καταθηκαμένα*
*κάλπιδά τ' ἀργυρέαν, λόχμας ὑπὸ κυανέας*
*τίκτε θεόφρονα κοῦρον. τᾷ μὲν ὁ Χρυσοκόμας*
*πραΰμη- τίν τ' Ἐλείθυιαν παρέστασέν τε Μοίρας·*

*Στρ. γ'.*

*ἦλθεν δ' ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνός τ' ἐρατᾶς*
*Ἴαμος*
*ἐς φάος αὐτίκα. τὸν μὲν κνιζομένα*
*λεῖπε χαμαί· δύο δὲ γλαυκῶπες αὐτὸν*
*δαιμόνων βουλαῖσιν ἐθρέψαντο δράκοντες ἀμεμφεῖ*
*ἰῷ μελισσᾶν καδόμενοι. βασιλεὺς δ' ἐπεὶ*
*πετραέσσας ἐλαύνων ἵκετ' ἐκ Πυθῶνος, ἅπαντας*
*ἐν οἴκῳ*
*εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι· Φοίβου γὰρ αὐ-*
*τὸν φᾶ γεγάκειν*

*Ἀντ. γ'.*

*πατρός, περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθο-*
*νίοις*
*ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν.*
*ὣς ἄρα μάνυε. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι*
*οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον γεγενημένον. ἀλλ' ἐν*

---

*38. γρ. πάθους* — *40. γρ. λόχμαις ὑπὸ κυανέαις* — 53. *ἐν κέκρυπτο* **Boeckh:** **ἀλλ' ἐγκέκρυπτο** codd. ἀλλὰ κέκρυπτο *Hermann.*

κέκρυπτο γὰρ σχοίνῳ βατείᾳ τ' ἐν ἀπειράτῳ,
ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀκτῖσι βεβρεγμένος
ἁβρὸν
σῶμα· τὸ καὶ κατεφάμιξεν καλεῖσθαί νιν χρόνῳ
σύμπαντι μάτηρ

Ἐπ. γ'.

τοῦτ' ὄνυμ' ἀθάνατον. τερπνᾶς δ' ἐπεὶ χρυσοστε-
φάνοιο λάβεν
καρπὸν Ἥβας, Ἀλφεῷ μέσσῳ καταβὰς ἐκάλεσσε
Ποσειδᾶν' εὐρυβίαν,
ὃν πρόγονον, καὶ τοξοφόρον Δάλου θεοδμάτας
σκοπόν,
αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ,
νυκτὸς ὑπαίθριος. ἀντεφθέγξατο δ' ἀρτιεπὴς
πατρία ὄσσα, μετάλλασέν τέ νιν· Ὄρσο, τέκνον,
δεῦρο πάγ- κοινον ἐς χώραν ἴμεν φάμας ὄπισθεν.

Στρ. δ'.

ἵκοντο δ' ὑψηλοῖο πέτραν ἀλίβατον Κρονίου.
ἔνθα ϝοι ὤπασε θησαυρὸν δίδυμον
μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν
ψευδέων ἄγνωστον, εὖτ' ἂν δὲ θρασυμάχανος
ἐλθὼν
Ἡρακλέης, σεμνὸν θάλος Ἀλκαΐδᾶν, πατρὶ
ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε μέγιστον
ἀέθλων,
Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ τότ' αὖ χρηστήριον θέσθαι
κέλευσεν.

---

54. γρ. ἀπειράντῳ — 55. γρ. ξανθαῖς τε — 59. γρ. θεοδμάτου — 62. μεταλλάσαντι Hermann — γρ. τέκος — 67. γρ. ἄγνωτον — 68. πατρί Hermann: πατρὶ δ' aut πατρί θ' codd.

*Ἀντ. δ'.*

*ἐξ οὗ πολύκλειτον καθ' Ἕλλανας γένος Ἰαμιδᾶν.*
*ὄλβος ἅμ' ἕσπετο· τιμῶντες δ' ἀρετὰς*
*ἐς φανερὰν ὁδὸν ἔρχονται. τεκμαίρει*
*χρῆμ' ἕκαστον· μῶμος ἐξ ἄλλων κρέμαται φθονεόν-*
*των*
*τοῖς, οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον*
*ἐλαυνόντεσσιν αἰδοία ποτιστάξῃ Χάρις εὐκλέα*
*μορφάν.*
*εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρους, Ἀγησία, μά-*
*τρωες ἄνδρες*

*Ἐπ. δ'.*

*ναιετάοντες ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις*
*πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως, ὃς ἀγῶνας*
*ἔχει μοῖράν τ' ἀέθλων*
*Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ· κεῖνος, ὦ παῖ Σω-*
*στράτου,*
*σὺν βαρυγδούπῳ πατρὶ κραίνει σέθεν εὐτυχίαν.*
*δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ ἀκόνας λιγυρᾶς,*
*ἅ μ' ἐθέλοντα προσέλκει καλλιρόοισι πνοαῖς·*
*ματρομά- τωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα,*

*Στρ. ε'.*

*πλάξιππον ἃ Θήβαν ἔτικτεν, τᾶς ἐρατεινὸν ὕδωρ*
*πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων*
*ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους,*

---

74. *μῶμος ἐξ* Boeckh: *μῶμος δ' ἐξ* codd. *μῶμος ἐκ δ'* Schmid — 75. *γρ. πρῶτον* — 76. *ποτιστάξῃ* Bergk: *ποτιστάξει* aut *ποτιστάζει* codd. — 77. *ὄρους* Christ scholiorum *lectionem ΟΡΟΣ* secutus: *ὄροις* codd. — 82. *λιγυρᾶς ἀκόνας* *Hartung* — 83. *προσέλκει* schol. ut videtur: *προσέρπει* codd. *vett.* — *ῥοαῖς* schol. — 86. *πίνομαι* Meineke.

Αἰνέα, πρῶτον μὲν Ἥραν Παρθενίαν κελαδῆσαι,
γνῶναί τ' ἔπειτ', ἀρχαῖον ὄνειδος ἀλαθέσιν
λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν. ἐσσὶ γὰρ ἄγγελος ὀρθός,
ἠυκόμων σκυτάλα Μοισᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν·

Ἀντ. ε'.

εἰπὸν δὲ μεμνᾶσθαι Συρακοσσᾶν τε καὶ Ὀρτυγίας·
τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,
ἄρτια μηδόμενος, φοινικόπεζαν
ἀμφέπει Δάματρα, λευκίππου τε θυγατρὸς ἑορτάν,
καὶ Ζηνὸς Αἰτναίου κράτος. ἁδύλογοι δέ νιν
λύραι μολπαί τε γινώσκοντι. μὴ θράσσοι χρόνος ὄλβον ἐφέρπων.
σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἁγησία δέξαιτο κῶμον

Ἐπ. ε'.

οἴκοθεν οἴκαδ' ἀπὸ Στυμφαλίων τειχέων ποτινισσόμενον,
ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας. ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ
νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι. θεὸς
τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων.
δέσποτα ποντόμεδον, εὐθὺν δὲ πλόον καμάτων
ἐκτὸς ἐόντα δίδοι, χρυσαλακάτοιο πόσις
Ἀμφιτρί- τας, ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος.

---

95. γρ. ἑορτάς — 97. θράσσοι Boeckh et unus e scholiastis: θραύσοι codd. θραύσαι Hermann — 102. γρ. παρέχει — 103. ποντομέδων Boeckh.

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ζ΄.

# ΔΙΑΓΟΡᾼ ΡΟΔΙῼ

## ΠΥΚΤῌ.

464 B.C.

464 B.C.

Strophae.



Epodi.



Στρ. α΄.

Φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλὼν
ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ
δωρήσεται
νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε πάγχρυσον
κορυφὰν κτεάνων
συμποσίου τε χάριν κᾶδός τε τιμάσαις ἑόν, ἐν δὲ
φίλων
παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς·

---

*Epodi* versus secundi duas extremas syllabas nescio an *rectius tertio* ita praefigas, ut a dipodia anapaestica ille *initium capiat.*

Ἀντ. α΄.

καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός,
ἱλάσκομαι
Οὐλυμπίᾳ Πυθοῖ τε νικώντεσσιν. (ὁ δ' ὄλβιος, ὃν φᾶμαι κατέχοντ' ἀγαθαί.)
ἄλλοτε δ' ἄλλον ἐποπτεύει Χάρις ζωθάλμιος ἁδυμελεῖ
ἅμα μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν.

Ἐπ. α΄.

καί νυν ὑπ' ἀμφοτέρων σὺν Διαγόρᾳ κατέβαν τὰν πουτίαν
ὑμνέων, παῖδ' Ἀφροδίτας Ἀελίοιό τε νύμφαν, Ῥόδον,
εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα παρ' Ἀλφειῷ στεφανωσάμενον
αἰνέσω πυγμᾶς ἄποινα
καὶ παρὰ Κασταλίᾳ, πατέρα τε Δαμάγητον ἀδόντα Δίκᾳ,
Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας
ἐμβόλῳ ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ.

Στρ. β΄.

ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου
ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον,
Ἡρακλέος
εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς εὔχονται· τὸ δ' Ἀμυντορίδαι

---

12. ἅμα lemma cod. Ambrosiani: θαμὰ aut θ' ἅμα codd. rell. — 13. ποντίας et 14. Ἀμφιτρίτας variae lectiones in scholiis commemoratae — 19. γρ. ἐμβόλω — 20. γρ. τοίνυν ἐξ

*ματρόθεν Ἀστυδαμείας· (ἀμφὶ δ' ἀνθρώπων φρασὶν*
*ἀμπλακίαι*
*ἀναρίθμητοι κρέμανται) τοῦτο δ' ἀμάχανον εὑρεῖν,*

Ἀντ. β'.

*ὅ τι νυν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν.*
*καὶ γὰρ Ἀλκμήνας κασίγνητον νόθον*
*σκάπτῳ θενὼν*
*σκληρᾶς ἐλαίας ἔκτανεν Τίρυνθι Λικύμνιον ἐλθόντ'*
*ἐκ θαλάμων Μιδέας*
*τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς. αἱ δὲ φρενῶν*
*ταραχαὶ*
*παρέπλαγξαν καὶ σοφόν. μαντεύσατο δ' ἐς θεὸν*
*ἐλθών.*

Ἐπ. β'.

*τῷ μὲν ὁ Χρυσοκόμας εὐώδεος ἐξ ἀδύτου ναῶν πλόον*
*εἶπε Λερναίας ἀπ' ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασ-*
*σον νομόν,*
*ἔνθα ποτὲ βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσέαις*
*νιφάδεσσι πόλιν,*
*ἁνίχ' Ἁφαίστου τέχναισιν*
*χαλκελάτῳ πελέκει πατέρος Ἀθαναία κορυφὰν κατ'*
*ἄκραν*
*ἀνορούσαισ' ἀλάλαξεν ὑπερμάκει βοᾷ·*
*Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.*

Στρ. γ'.

*τότε καὶ φαυσίμβροτος δαίμων Ὑπεριονίδας*
*μέλλον ἔντειλεν φυλάξασθαι χρέος*

---

*26. νῦν εἰ κὰν* Hermann — 33. *ἔντὺ' ἐς* Schnitzer.

παισὶν φίλοις,
ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα, καὶ
σεμνὰν θυσίαν θέμενοι
πατρί τε θυμὸν ἰάναιεν κόρᾳ τ' ἐγχειβρόμῳ. ἐν δ' ἀρετὰν
ἔβαλεν καὶ χάρματ' ἀνθρώποισι Προμαθέος αἰδώς·

'Αντ. γ'.

ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος,
καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν
ἔξω φρενῶν.
καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες σπέρμ' ἀνέβαν φλογὸς
οὔ· τεῦξαν δ' ἀπύροις ἱεροῖς
ἄλσος ἐν ἀκροπόλει. κείνοις ὁ μὲν ξανθὰν ἀγαγὼν
νεφέλαν
πολὺν ὗσε χρυσόν· αὐτὰ δέ σφισιν ὤπασε τέχναν

'Επ. γ'.

πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ
κρατεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα κέλευθοι
φέρον.
ἦν δὲ κλέος βαθύ. δαέντι δὲ καὶ σοφία μείζων ἀδό-
λως τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, οὔπω ὅτε χθόνα δατέοντο Ζεύς τε καὶ
ἀθάνατοι,
φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ,
ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι

---

42. γρ. πρῶτον — 45. ἀτέκμαρτα Schmid: ἀτέκμαρτον codd. — 46. ὀρθᾶν ὁδῶν ἔξω φρένας mavult Bergk. — 49. κείνοις ὁ μέν Mingarelli: κείνοισι μέν addito post νεφ. Ζεύς codd. — 53. ἀδόλως Christ scholiastam alterum et veteris scripturae vestigia secutus: ἄδολος codd.

*Στρ. δ'.*

*ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος Ἀελίου·*
*καί ῥά νιν χώρας ἀκλάρωτον λίπον,*
*ἁγνὸν θεόν.*
*μνασθέντι δὲ Ζεὺς ἄμ πάλον μέλλεν θέμεν. ἀλλά νιν*
*οὐκ εἴασεν, ἐπεὶ πολιᾶς*
*εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν*
*πεδόθεν*
*πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις.*

*Ἀντ. δ'.*

*ἐκέλευσεν δ' αὐτίκα χρυσάμπυκα μὲν Λάχεσιν*
*χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρκον μέγαν*
*μὴ παρφάμεν,*
*ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι, φαεννὸν ἐς αἰθέρα*
*νιν πεμφθεῖσαν ἑᾷ κεφαλᾷ*
*ἐξοπίσω γέρας ἔσσεσθαι. τελεύταθεν δὲ λόγων κο-*
*ρυφαὶ*
*ἐν ἀλαθείᾳ πετοῖσαι. βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς*

*Ἐπ. δ'.*

*νᾶσος, ἔχει τέ νιν ὀξειᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ,*
*πῦρ πνεόντων ἀρχὸς ἵππων· ἔνθα Ῥόδῳ ποτὲ μι-*
*χθεὶς τέκεν*
*ἑπτὰ σοφώ- τατα νοήματ' ἐπὶ προτέρων ἀνδρῶν*
*παραδεξαμένους*
*παῖδας, ὧν εἷς μὲν Κάμειρον*
*πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίνδον τ'. ἀπάτερθε*
*δ' ἔχον,*

---

61. *ἄμ πάλον* Boeckh: *ἄμπαλον* codd. — 65. *θεούς* *Aristarchus* — 68. *γέρας*: *γρ. μέρος* — 68. *γρ. τελεύτασαν.* — 74. *πρεσβύτατος* fuerunt qui interpolarent — *Ἰάλυσον* nescio an *digamma* praefixum habuerit — *γρ.* ἔχοντι et ἔχοντα.

διὰ γαῖαν τρίχα δασσάμενοι πατρωΐαν,
ἀστέων μοῖραν, κέκληνται δέ σφιν ἕδραι.

Στρ. ε΄.

τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ
ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ,
ὥσπερ θεῷ,
μήλων τε κνισάεσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις.
τῶν ἄνθεσι Διαγόρας
ἐστεφανώσατο δίς, κλεινᾷ τ' ἐν Ἰσθμῷ τετράκις εὐτυχέων,
Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ, καὶ κρανααῖς ἐν Ἀθάναις.

Ἀντ. ε΄.

ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω νιν, τά τ' ἐν Ἀρκαδίᾳ
ἔργα καὶ Θήβαις, ἀγῶνές τ' ἔννομοι
Βοιωτίων,
Πέλλανά τ', Αἴγινά τε νικῶνθ' ἑξάκις· ἐν Μεγάροισίν τ' οὐχ ἕτερον λιθίνα
ψᾶφος ἔχει λόγον. ἀλλ' ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου
μεδέων, τίμα μὲν ὕμνου τεθμὸν Ὀλυμπιονίκαν,

Ἐπ. ε΄.

ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα, δίδοι τέ ϝοι αἰδοίαν χάριν
καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξείνων· ἐπεὶ ὕβριος ἐχθρὰν ὁδὸν

---

79. γρ. θεοῖς — 85. γρ. Βοιωτίας et Βοιωτῶν, Βοιώτιοι codd. interpoll. — 86. Αἰγίνᾳ cum parte codd. Boeckh, Οἰνώνα Bergk — 86. γρ. ἑτέρου — 89. γρ. δίδου.

εὐθυπορεῖ, σάφα δαεὶς ἅ τε ϝοι πατέρων ὀρθαὶ
φρένες ἐξ ἀγαθῶν
ἔχραον. μὴ κρύπτε κοινὸν
σπέρμ' ἀπὸ Καλλιάνακτος· Ἐρατιδᾶν τοι σὺν χα-
ρίτεσσιν ἔχει
θαλίας καὶ πόλις· ἐν δὲ μιᾷ μοίρᾳ χρόνου
ἄλλοτ' ἀλλοῖαι διαιθύσσοισιν αὖραι.

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Η'.

# ΑΛΚΙΜΕΔΟΝΤΙ ΑΙΓΙΝΗΤῌ

### ΠΑΙΔΙ ΠΑΛΑΙΣΤῌ.

Strophae.

″– ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓
– ″– ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓
″– ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓
″– ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓
″– ⏑⏑ – ⏑⏑ ⏓
⏑⏑ –́ – –́ ⏑ ⏓
″– ⏑ – – –́ ⏑ ⏓

Epodi.

– ″– ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓
″– ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ ⏓
″– ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑ ⏓
″– ⏑⏑ – ⏑⏑ – ⏓
″– ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓
″– ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑ ⏓
″– ⏑ – –́ ⏑⏑ – ⏑⏑ ⏓ ·
⏓ –́ ⏑ – – –́ ⏑ ⏓

---

92. γρ. ἔχρεον.

Στρ. α'.

*Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων Οὐλυμπία,*
*δέσποιν' ἀλαθείας· ἵνα μάντιες ἄνδρες*
*ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου,*
*εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι*
*μαιομένων μεγάλαν*
*ἀρετὰν θυμῷ λαβεῖν,*
*τῶν δὲ μόχθων ἀμπνοάν·*

Ἀντ. α'.

*ἄνεται δὲ πρὸς χάριν εὐσεβείας ἀνδρῶν λιταῖς.*
*ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος,*
*τόνδε κῶμον καὶ στεφαναφορίαν δέξαι. μέγα τοι κλέος αἰεί,*
*ᾧτινι σὸν γέρας ἕσπητ' ἀγλαόν.*
*ἄλλα δ' ἐπ' ἄλλον ἔβαν*
*ἀγαθῶν, πολλαὶ δ' ὁδοὶ*
*σὺν θεοῖς εὐπραγίας·*

Ἐπ. α'.

*Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν πότμος*
*Ζηνὶ γενεθλίῳ· ὃς σὲ μὲν Νεμέᾳ πρόφατον,*
*Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ*
*θῆκεν Ὀλυμπιονίκαν.*
*ἦν δ' ἐσορᾶν καλός, ἔργῳ τ' οὐ κατὰ ϝεῖδος ἐλέγχων*
*ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν·*
*ἔνθα Σώ- τειρα Διὸς ξενίου*
*πάρεδρος ἀσκεῖται Θέμις*

---

8. *λιταί* Asclepiades — 11. γρ. ἕσπετ' — 16. σὲ μὲν Dissen: *σὲ μὲν ἐν* codd. vett. — 16. πρόφαντον codd. vett.

Στρ. β'.

ἔξοχ' ἀνθρώπων. ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπει,
ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρόν,
δυσπαλές, τεθμὸς δέ τις ἀθανάτων καὶ τάνδ' ἁλιερκέα χώραν
παντοδαποῖσιν ὑπέστασε ξένοις
κίονα δαιμονίαν·
ὁ δ' ἐπαντέλλων χρόνος
τοῦτο πράσσων μὴ κάμοι·

'Αντ. β'.

Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ·
τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν,
'Ιλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι, καλέσαντο συνεργὸν
τείχεος, ἦν ὅτι νιν πεπρωμένον
ὀρνυμένων πολέμων
πτολιπόρθοις ἐν μάχαις
λάβρον ἀμπνεῦσαι καπνόν.

'Επ. β'.

γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη νέον,
πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον,
αὖθι δ' ἀτυζομένω ψυχὰς βάλον·
εἷς δ' ἐσόρουσε βοάσαις.
ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς 'Απόλλων·
Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·
ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα
πεμφθὲν βαρυγδούπου Διός·

---

23. ῥέποι codd. vett. fere omnes, ῥέπῃ Bergk. — 24. γρ. διακρῖναι — 37. γρ. κτίσθη, νέον — 39. γρ. ἀτυζόμενοι — 40. γρ. ἀνόρουσε — 41. ἀντίον εἰσορῶν Hartung — 44. γρ. βαρυκτύπου.

Στρ. γʹ.
οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις ῥήξεται
καὶ τετράτοις. ὣς ἄρα θεὸς σάφα ϝείπαις
Ξάνθον ἤπειγ' ἢ καὶ Ἀμαζόνας εὐίππους καὶ ἐς
Ἴστρον ἐλαύνων.
Ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμῷ ποντίᾳ
ἅρμα θοὸν τανύεν,
ἀποπέμπων Αἰακὸν
δεῦρ' ἀν' ἵπποις χρυσέαις,

Ἀντ. γʹ.
καὶ Κορίνθου δειράδ' ἐποψόμενος δαιτικλυτάν.
τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.
εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ,
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·
καὶ Νεμέᾳ γὰρ ὁμῶς
ἐρέω ταύταν χάριν,
τὰν δ' ἔπειτ' ἀνδρῶν μαχᾶν

ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι Ἐπ. γʹ.
εἰδότι ῥᾷτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν·
κουφότεραι γὰρ ἀπειράτων φρένες.
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει
ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν
φέρειν.
νῦν μὲν αὐ- τῷ γέρας Ἀλκιμέδων
νίκαν τριακοστὰν ἑλών·

---

45. ῥήξεται Bergk: ἄρξεται codd. — 47. ἤπειγ' ἢ Bergk: ἤπειγε vel ἤπειγεν codd. — 48. γρ. Ἰσθμὸν ποντίαν — 52. δαιτικλυτάν Bergk ex scholiis eruit: δαῖτα κλυτάν codd. — 54. γρ. Μελησίᾳ — γρ. ὕμνων vel ὑμνῶν — 58. μαχᾶν ἐκ Christ: μάχαν ἐκ codd. λαχεῖν ἐκ Schneidewin — 59. γρ. ἐν παγκρατίῳ.

Στρ. β'.

ἔξοχ' ἀνθρώπων. ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπει,
ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρόν,
δυσπαλές, τεθμὸς δέ τις ἀθανάτων καὶ τάνδ' ἁλιερκέα χώραν
παντοδαποῖσιν ὑπέστασε ξένοις
κίονα δαιμονίαν·
ὁ δ' ἐπαντέλλων χρόνος
τοῦτο πράσσων μὴ κάμοι·

'Αντ. β'.

Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ·
τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν,
Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι, καλέσαντο συνεργὸν
τείχεος, ἦν ὅτι νιν πεπρωμένον
ὀρνυμένων πολέμων
πτολιπόρθοις ἐν μάχαις
λάβρον ἀμπνεῦσαι καπνόν.

'Επ. β'.

γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη νέον,
πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον,
αὖθι δ' ἀτυζομένω ψυχὰς βάλον·
εἷς δ' ἐσόρουσε βοάσαις.
ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς 'Απόλλων·
Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·
ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα
πεμφθὲν βαρυγδούπου Διός·

---

23. ῥέποι codd. vett. fere omnes, ῥέπῃ Bergk. — 24. γρ. διακρῖναι — 37. γρ. κτίσθη, νέον — 39. γρ. ἀτυζόμενοι — 40. γρ. ἀνόρουσε — 41. ἀντίον εἰσορῶν Hartung — 44. γρ. βαρυκτύπου.

Στρ. γ΄.

οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις ῥήξεται
καὶ τετράτοις. ὣς ἄρα θεὸς σάφα ϝείπαις
Ξάνθον ἤπειγ' ᾗ καὶ Ἀμαζόνας εὐίππους καὶ ἐς
Ἴστρον ἐλαύνων.
Ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμῷ ποντίᾳ
ἅρμα θοὸν τανύεν,
ἀποπέμπων Αἰακὸν
δεῦρ' ἀν' ἵπποις χρυσέαις,

Ἀντ. γ΄.

καὶ Κορίνθου δειράδ' ἐποψόμενος δαιτικλυτάν.
τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.
εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ,
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·
καὶ Νεμέᾳ γὰρ ὁμῶς
ἐρέω ταύταν χάριν,
τὰν δ' ἔπειτ' ἀνδρῶν μαχᾶν

Ἐπ. γ΄.

ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι
εἰδότι ῥᾴτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν·
κουφότεραι γὰρ ἀπειράτων φρένες.
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει
ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν
φέρειν.
νῦν μὲν αὐ- τῷ γέρας Ἀλκιμέδων
νίκαν τριακοστὰν ἑλών·

---

45. ῥήξεται Bergk: ἄρξεται codd. — 47. ἤπειγ' ᾗ Bergk: ἤπειγε vel ἤπειγεν codd. — 48. γρ. Ἰσθμὸν ποντίαν — 52. δαιτικλυτάν Bergk ex scholiis eruit: δαῖτα κλυτάν codd. — 54. γρ. Μελησίᾳ — γρ. ὕμνων vel ὑμνῶν — 58. μαχᾶν ἐκ Christ: μάχαν ἐκ codd. λαχεῖν ἐκ Schneidewin — 59. γρ. ἐν παγκρατίῳ.

Στρ. δ'.

ὃς τύχᾳ μὲν δαίμονος, ἀνορέας δ' οὐκ ἀμπλακὼν
ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις
νόστον ἔχθιστον καὶ ἀτιμοτέραν γλῶσσαν καὶ ἐπί-
κρυφον οἶμον,
πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος
γήραος ἀντίπαλον.
Ἀίδα τοι λάθεται
ἄρμενα πράξαις ἀνήρ.

Ἀντ. δ'.

ἀλλ' ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι
χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,
ἕκτος οἷς ἤδη στέφανος περίκειται φυλλοφόρων ἀπ'
ἀγώνων.
ἔστι δὲ καί τι θανόντεσσιν μέρος
κὰν νόμον ἐρδομένων·
κατακρύπτει δ' οὐ κόνις
συγγόνων κεδνὰν χάριν.

Ἐπ. δ'.

Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις Ἰφίων
Ἀγγελίας, ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν
κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει
ὤπασεν. ἐσλὰ δ' ἐπ' ἐσλοῖς
ἔργ' ἐθέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι.
εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ Νέμεσιν διχόβουλον μὴ
θέμεν·
ἀλλ' ἀπή- μαντον ἄγων βίοτον
αὐτούς τ' ἀέξοι καὶ πόλιν.

---

78. ἐρδομένων Schmid: ἐρδόμενον codd. — 85. ἔργ' ἐθέλοι Boeckh: ἔργα θέλοι codd.

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Θ΄.

# ΕΦΑΡΜΟΣΤῼ ΟΠΟΥΝΤΙῼ ΠΑΛΑΙΣΤῌ.

Strophae.



Epodi.



*Τὸ μὲν Ἀρχιλόχου μέλος* Στρ. α΄.
*φωνᾶεν Ὀλυμπίᾳ, καλλίνικος ὁ τριπλόος κεχλαδώς,*
*ἄρκεσε Κρόνιον παρ᾽ ὄχθον ἁγεμονεῦσαι*
*κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις·*
*ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων*
*Δία τε φοινικοστερόπαν σεμνόν τ᾽ ἐπίνειμαι*
*ἀκρωτήριον Ἄλιδος*
*τοιοῖσδε βέλεσσιν,*

---

8. γρ. μέλεσσιν.

*τὸ δή ποτε Λυδὸς ἥ- ρως Πέλοψ*
*ἐξάρατο κάλ- λιστον ἕδνον Ἱπποδαμείας·*

*πτερόεντα δ' ἵει γλυκὺν* 'Αντ. α'.
*Πυθῶνάδ' ὀιστόν· οὔ-τοι χαμαιπετέων λόγων ἐφάψεαι*
*ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ' ἐλελίζων*
*κλεινᾶς ἐξ Ὀπόεντος, αἰνήσαις Ϝὲ καὶ υἱόν·*
*ἂν Θέμις θυγάτηρ τέ Ϝοι Σώτειρα λέλογχεν*
*μεγαλόδοξος Εὐνομία, θάλλει δ' ἀρεταῖσιν*
*σόν τε, Κασταλία, πάρα*
*Ἀλφεοῦ τε ῥέεθρον·*
*ὅθεν στεφάνων ἄω- τοι κλυτὰν*
*Λοκρῶν ἐπαεί- ροντι ματέρ' ἀγλαόδενδρον.*

*ἐγὼ δέ τοι φίλαν πόλιν* 'Επ. α'.
*μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,*
*καὶ ἀγάνορος ἵππου*
*θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾷ*
*ἀγγελίαν πέμψω ταύταν,*
*εἰ σύν τινι μοιριδίῳ παλάμᾳ*
*ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον·*
*κεῖναι γὰρ ὤπασαν τὰ τέρπν'· ἀγαθοὶ*
*δὲ καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες*

*ἐγένοντ'. ἐπεὶ ἀντίον* Στρ. β'.
*πῶς ἂν τριόδοντος Ἡ- ρακλέης σκύταλον τίναξε*
*χερσίν,*

---

16. *ἀρεταῖσι σόν τε Κασταλία* Bergk cum parte schol.: *ἀρεταῖς ἶσον τε Κασταλία* codd. plerique, *ἀρεταῖσιν ἔν τε Κασταλίᾳ* cod. Ambros.; *ἶσον Κασταλίας τε πάρ* Ahrens, *κράναν Κασταλίας πάρα* Kayser.

ἁνίκ' ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδᾶν,
ἤρειδεν δέ νιν ἀργυρέῳ τόξῳ πολεμίζων
Φοῖβος, οὐδ' Ἀίδας ἀκινήταν ἔχε ῥάβδον,
βρότεα σώμαθ' ᾇ κατάγει κοίλαν ἐς ἀγυιὰν
θνασκόντων; ἀπό μοι λόγον
τοῦτον στόμα ῥῖψον·
ἐπεὶ τό γε λοιδορῆ- σαι θεοὺς
ἐχθρὰ σοφία καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν

μανίαισιν ὑποκρέκει 'Αντ. β'.
μὴ νῦν λαλάγει τὰ τοι- αῦτ'· ἔα πόλεμον μάχαν τε πᾶσαν
χωρὶς ἀθανάτων· φέροις δὲ Πρωτογενείας
ἄστει γλῶσσαν, ἵν' αἰολοβρόντα Διὸς αἴσᾳ
Πύρρα Δευκαλίων τε Παρνασοῦ καταβάντε
δόμον ἔθεντο πρῶτον, ἄτερ δ' εὐνᾶς ὁμόδαμον
κτισσάσθαν λίθινον γόνον·
Λαοὶ δ' ὀνύμασθεν.
ἔγειρ' ἐπέων σφιν οἶ- μον λιγύν,
αἴνει δὲ παλαι- ὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων

νεωτέρων. λέγοντι μὰν 'Επ. β'.
χθόνα μὲν κατακλύσαι μέλαιναν
ὕδατος σθένος, ἀλλὰ
Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας
ἄντλον ἑλεῖν. κείνων δ' ἔσσαν
χαλκάσπιδες ὑμέτεροι πρόγονοι,
ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας,

---

31. γρ. Πύλου — 31. et 32. γρ. ἤρεισε — 32. δέ Hermann: τε codd. — πελεμίζων Thiersch — 34. γρ. πρός — 43. γρ. καταβάντες — 45. κτισάσθαν aut κτησάσθαν codd. — 47. οἶμον codd.: οὖρον Gedike — 52. ἄμπωτιν codd. vett.

*κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν,*
*ἐγχώριοι βασιλῆες αἰεί,*
*πρὶν Ὀλύμπιος ἁγεμὼν* Στρ. γ'.
*θύγατρ' ἀπὸ γᾶς Ἐπει-ῶν Ὀπόεντος ἀναρπάσαις ἕκαλος*
*μίχθη Μαιναλίαισιν ἐν δειραῖς καὶ ἔνεικεν*
*Λοκρῷ, μὴ καθέλοι νιν αἰὼν πότμον ἐφάψαις*
*ὀρφανὸν γενεᾶς. ἔχεν δὲ σπέρμα μέγιστον*
*ἄλοχος, εὐφράνθη τε ϝιδὼν ἥρως θετὸν υἱόν,*
*μάτρωος δ' ἐκάλεσσέ νιν*
*ἰσώνυμον ἔμμεν,*
*ὑπέρφατον ἄνδρα μορ- φᾷ τε καὶ*
*ἔργοισι. πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν.*

*ἀφίκοντο δέ ϝοι ξένοι* Ἀντ. γ'.
*ἔκ τ' Ἄργεος ἔκ τε Θη- βᾶν, οἱ δ' Ἀρκάδες, οἱ δὲ*
*καὶ Πισᾶται·*
*υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων*
*Αἰγίνας τε Μενοίτιον· τοῦ παῖς ἅμ' Ἀτρείδαις*
*Τεύθραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ*
*μόνος, ὅτ' ἀλκάεντας Δαναοὺς τρέψαις ἁλίαισιν*
*πρύμναις Τήλεφος ἔμβαλεν·*
*ὥστ' ἔμφρονι δεῖξαι*
*μαθεῖν Πατρόκλου βια- τὰν νόον.*
*ἐξ οὗ Θέτιος γόνος οὐλίῳ νιν ἐν Ἄρει*

*παραγορεῖτο μή ποτε* Ἐπ. γ'.
*σφετέρας ἄτερθε ταξιοῦσθαι*
*δαμασιμβρότου αἰχμᾶς.*

---

56. *κοῦροι κόραι τε φερτάτων Λελέγων* Hermann — 65. *γρ. ὑπέρφυτον* — 76. *γόνος* codd.: *κοῦρος* Kayser — 78. *ταξιοῖσθαι* codd. vett.

εἴην εὑρησιεπὴς ἀναγεῖσθαι
πρόσφορος ἐν Μοισᾶν δίφρῳ·
τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἕσποιτο. προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον
τιμάορος Ἰσθμίαισι Λαμπρομάχου
μίτραις, ὅτ' ἀμφότεροι κράτησαν
μίαν ἔργον ἀν' ἁμέραν. Στρ. δ'.
ἄλλαι δὲ δύ' ἐν Κορίν- θου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι,
ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον·
Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ' ἐν Ἀθάναις.
οἷον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων
μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν·
φῶτας δ' ὀξυρεπεῖ δόλῳ
ἀπτῶτι δαμάσσαις
διήρχετο κύκλον ὅσ- σα βοᾷ,
ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις.

τὰ δὲ Παρρασίῳ στρατῷ Ἀντ. δ'.
θαυμαστὸς ἐὼν φάνη Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου,
καὶ ψυχρᾶν ὁπότ' εὔδιανὸν φάρμακον αὔρᾶν
Πελλάνᾳ φέρε· σύνδικος δ' αὐτῷ Ἰολάου
τύμβος εἰναλία τ' Ἐλευσὶς ἀγλαΐαισιν
τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς
ἀνθρώπων ἀρεταῖς κλέος
ὤρουσαν ἀρέσθαι.
ἄνευ δὲ θεοῦ σεσι- γαμένον
οὐ σκαιότερον χρῆμ' ἕκαστον. ἐντὶ γὰρ ἄλλαι

---

83. ἕσποιτ' αἰεί cod. Ambros. quo recepto ex lemmate eiusdem cod. ξενίᾳ scripsit Mommsen — 85. γρ. ἔργον — 89. γρ. οἷον ἐν — 98. γρ. αὐτοῦ — 102. γρ. ἑλέσθαι — 103. γρ. ἄνευθε δέ, unde ἄνευθε Boeckh.

ὁδῶν ὁδοὶ περαίτεραι, 'Επ. δ'.
μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει
μελέτᾳ· σοφίαι μὲν
αἰπειναί· τοῦτο δὲ προσφέρων ἄεθλον,
ὄρθιον ὤρυσαι θαρσέων,
τόνδ' ἀνέρα δαιμονίᾳ γεγάμεν
εὔχειρα, δεξιόγυιον, ὁρῶντ' ἀλκάν,
Αἰαντέω 'ν ὃς δαιτὶ Ἰλιάδα
νικῶν ἐπεστεφάνωσε βωμόν.

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ι' (ΙΑ')
# ΑΓΗΣΙΔΑΜῼ ΛΟΚΡῼ ΕΠΙΖΕΦΥΡΙῼ
## ΠΑΙΔΙ ΠΥΚΤῌ.

Strophae.



Epodi.



---

109. ἄρυσαι Ahrens — 112. *Αἰαντέω 'ν ὃς δαιτὶ Ϝιλ.* Christ: *Αἰάντειον τ' ἐν δαιτὶ Οἰλ.* codd. sed ὃς et *Ἰλιάδα* scholia testantur, *Αἰαντέων ἐν δαίθ' ὃς Ἰλ.* Rauchenstein.

Carmen hoc decimum post undecimum collocandum fuisse Boeckhius monuit — Epodi versus primum et ultimum nescio *an rectius duos in versiculos dirimas.*

Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι Στρ. α'.
Ἀρχεστράτου παῖδα πόθι φρενὸς
ἐμᾶς γέγραπται. γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων ἐπι-
λέλαθ'. ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ
Ἀλάθεια Διός, ὀρθᾷ χερὶ
ἐρύκετον ψευδέων
ἐνιπὰν ἀλιτοξένων.

ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος Ἀντ. α'.
ἐμὸν καταίσχυνε βαθὺ χρέος.
ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖαν ἐπιμομφὰν τόκος·
ὁρᾶτ' ὦν νῦν ψᾶφον ἑλισσομέναν
ὅπᾳ κῦμα κατακλύσσει ῥέον
ὅπᾳ τε κοινὸν λόγον
φίλαν τίσομεν ἐς χάριν.

νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν Ζεφυρίων, Ἐπ. α'.
μέλει τέ σφισι Καλλιόπα
καὶ χάλκεος Ἄρης. τράπε δὲ Κύκ-
νεια μάχα καὶ ὑπέρβιον
Ἡρακλέα· πύκτας δ' ἐν Ὀλυμπιάδι νικῶν
Ἴλᾳ φερέτω χάριν
Ἁγησίδαμος, ὡς
Ἀχιλεῖ Πάτροκλος.
θήξαις δέ κε φύντ' ἀρετᾷ ποτὶ
πελώριον ὁρμάσαι κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ.

ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες, Στρ. β'.
ἔργων πρὸ πάντων βιότῳ φάος.

---

6. ἀλιτοξένων Mingarelli: ἀλιτόξενον codd. — 8. καταίσχυνε Boeckh: καταισχύνει codd. vett. — 9. γρ. γε τόκος — ὁρᾶτ' ὦν Schneidewin: θνατῶν codd. vett. ὀνάτωρ Hermann, γε τόκος ἀνδρῶν Friederichs — 11. nescio an lateat: κοῖον λόγον — 13. γρ. πόλις.

*ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι θέμιτες ὦρσαν Διός, ὃν*
*ἀρ- χαίῳ σάματι πὰρ Πέλοπος*
*βωμῶν ἑξάριθμον ἐκτίσσατο,*
*ἐπεὶ Ποσειδάνιον*
*πέφνε Κτέατον ἀμύμονα,*

*πέφνε δ' Εὔρυτον, ὡς Αὐγέαν λάτριον* 'Αντ. β'.
*ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον*
*πράσσοιτο· λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν δά-*
*μασε καὶ κείνους Ἡρακλέης ἐφ' ὁδῷ,*
*ὅτι πρόσθε ποτὲ Τιρύνθιον*
*ἔπερσαν αὐτῷ στρατὸν*
*μυχοῖς ἥμενοι Ἄλιδος*

*Μολίονες ὑπερφίαλοι. καὶ μὰν ξεναπάτας* 'Επ. β'.
*Ἐπειῶν βασιλεὺς ὄπιθεν*
*οὐ πολλὸν ἴδε πατρίδα πολυ-*
*κτέανον ὑπὸ στερεῷ πυρὶ*
*πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας*
*ἵζοισαν ἑὰν πόλιν.*
*νεῖκος δὲ κρεσσόνων*
*ἀποθέσθ' ἄπορον.*
*καὶ κεῖνος ἀβουλίᾳ ὕστατος*
*ἁλώσιος ἀντάσαις θάνατον αἰπὺν οὐκ ἐξέφυγεν.*

*ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν* Στρ. γ'.
*λαίαν τε πᾶσαν Διὸς ἄλκιμος*
*υἱὸς σταθμᾶτο ζάθεον ἄλσος πατρὶ μεγίστῳ. περὶ δὲ*
*πά- ξαις Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ*
*διέκρινε, τὸ δὲ κύκλῳ πέδον*

---

25. Ἡρακλέης plerique codd. alii post ἑξ. alii post ἐκτ. addunt — 33. ἥμενοι Heyne: ἥμενον codd. — 41. ἀβουλίαις codd. vett. — 42. ἀντιάσαις codd. vett. — 45. γρ. Ἄλιν — 46. δάπεδον θῆκε codd. vett.

ἔθηκε δόρπου λύσιν,
τιμάσαις πόρον Ἀλφεοῦ

μετὰ δώδεκ' ἀνάκτων θεῶν. καὶ πάγον    Ἀντ. γ'.
Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ
νώνυμνος, ἇς Οἰνόμαος ἆρχε, βρέχετο πολλᾷ νι-
φάδι. ταύ- τᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν
ὅ τ' ἐξελέγχων μόνος
ἀλάθειαν ἐτήτυμον    Ἐπ. γ'.
Χρόνος. τὸ δὲ σαφανὲς ἰὼν πόρσω κατέφρασεν,
ὅπᾳ τὰν πολέμοιο δόσιν
ἀκρόθινα διελὼν ἔθυε καὶ πενταετηρίδ' ὅπως ἄρα
ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ
νικαφορίαισί τε·
τίς δὴ ποταίνιον
ἔλαχε στέφανον
χείρεσσι, ποσίν τε καὶ ἅρματι,
ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος, ἔρ- γῳ καθελών;

στάδιον μὲν ἀρίστευσεν, εὐθὺν τόνον    Στρ. δ'.
ποσσὶ τρέχων παῖς ὁ Λικυμνίου
Οἰωνός· ἷκεν δὲ Μιδέαθεν στρατὸν ἐλαύνων· ὁ δὲ
πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν·
Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος
Τίρυνθα ναίων πόλιν·
ἀν' ἵπποισι δὲ τέτρασιν

ἀπὸ Μαντινέας Σᾶμος ὡλιροθίου·    Ἀντ. δ'.

---

51. νώνυμος codd. vett. — 53. ὁ δ' ἐξελέγχων ..... χρόνος τόδε Hartung — 64. σταδίον Hermann — εὐθὺν τόνον Thiersch: εὐθύτονον codd. — 70. Σᾶμος ὡλιροθίου Boeckh: Σᾶμος ὁ Ἁλιῤῥοθίου varia lectio in scholiis commemorata, σᾶμ' Ἁλιῤῥοθίου codd.

ἄκοντι Φράστωρ δ' ἔλασε σκοπόν·
μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις ὑπὲρ
ἁπάν- των, καὶ συμμαχία θόρυβον
παραίθυξε μέγαν. ἐν δ' ἕσπερον
ἔφλεξεν εὐώπιδος
σελάνας ἐρατὸν φάος.

ἀείδετο δὲ πᾶν τέμενος τερπναῖσι θαλίαις 'Επ. δ'.
τὸν ἐγκώμιον ἀμφὶ τρόπον.
ἀρχαῖς δὲ προτέραις ἑπόμενοι καί νυν ἐπωνυμίαν
χάριν
νίκας ἀγερώχου, κελαδησόμεθα βροντὰν
καὶ πυρπάλαμον βέλος.
ὀρσικτύπου Διός,
ἐν ἅπαντι κράτει
αἴθωνα κεραυνὸν ἀραρότα.
χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιά- ξει μελέων,

τὰ παρ' εὐκλέι Δίρκᾳ χρόνῳ μὲν φάνεν· Στρ. ε΄.
ἀλλ' ὥτε παῖς ἐξ ἀλόχου πατρὶ
ποθεινὸς ἵκοντι νεότατος τὸ πάλιν ἤδη, μάλα δέ
ϝοι θερμαίνει φιλότατι νόον·
ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα
ἐπακτὸν ἀλλότριον,
θνάσκοντι στυγερώτατος·

καὶ ὅταν καλὰ ϝέρξαις ἀοιδᾶς ἄτερ, 'Αντ. ε΄.
'Αγησίδαμ', εἰς 'Αίδα σταθμὸν
ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις ἔπορε μόχθῳ βραχύ τι
τερπ- νόν. τὶν δ' ἁδυεπής τε λύρα

72. γρ. δ' 'Ενικεύς — γρ. συμμαχία — 86. ὥτε Boeckh: ὥστε codd. — 87. γρ. νεότατι — τοὔμπαλιν codd. vett. — οἱ Boeckh: τοί codd.

γλυκύς τ' αὐλὸς ἀναπάσσει χάριν.
τρέφοντι δ' εὐρὺ κλέος
κόραι Πιερίδες Διός.

Ἐπ. ε'.

ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ, κλυτὸν ἔθνος
Λοκρῶν ἀμφέπεσον μέλιτι
εὐάνορα πόλιν καταβρέχων·
παῖδ' ἐρατὸν δ' Ἀρχεστράτου
αἴνησα, τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ
βωμὸν παρ' Ὀλύμπιον
κεῖνον κατὰ χρόνον,
ἰδέᾳ τε καλὸν
ὥρᾳ τε κεκραμένον, ἅ ποτε
ἀναιδέα Γανυμήδει μόρον ἄλαλκε σὺν Κυπρο-
γενεῖ

---

ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΑ' (Ι.)

# ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι

## ΠΑΙΔΙ ΠΥΚΤΗι.

Strophae.

–″ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
–″ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–″ ⏑ – – –́ ⏑⏑ –
–″ ⏑ – ⏑ – ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏒
–″ ⏑ – – –́ ⏑ –
–″ ⏑ – – – ⏑ – ⏑ –́ ⏑⏑ – ⏑⏑ ⏒

---

94. ἀναπλάσσει codd. dett. — 97. γρ. τε — 98. ἀμφίεπον Bergk — 99. δ' om. codd. vett. — 101. post Ὀλύμπιον interpungunt alii — 105. μόρον Mommsen: θάνατον codd. πότμον Hermann.

Epodus.

–⏑⏑ – ⏑⏑ – – ⏑ – –
–⏑⏑ – ⏑⏑ – –
– ⏑ – ⏑⏑ ⏑ – – – ⏑⏑ – ⏑⏑ ..
– ⏑ – – – ⏑ – ⏑ – ⏑ –
– ⏑ – – – ⏑ – – – ⏑ –
– ⏑ – – – ⏑ –
–⏑⏑ – ⏑⏑ – – – ⏑ – – – ⏑ ⏓
–⏑⏑ – – – ⏑ – –
– ⏑ – ⏑ – ⏑ – – ⏑ – – – ⏑ – ⏓

*Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα* *Στρ.*
*χρῆσις, ἔστιν δ' οὐρανίων ὑδάτων*
*ὀμβρίων, παίδων νεφέλας.*
*εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσει, μελιγάρυες ὕμνοι*
*ὑστέρων ἀρχὰ λόγων*
*τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.*

*ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις* *Ἀντ.*
*οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα*
*γλῶσσα ποιμαίνειν ἐθέλει·*
*ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως·*
*ἴσθι νῦν, Ἀρχεστράτου*
*παῖ, τεᾶς, Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν*

*κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας* *Ἐπ.*
*ἁδυμελῆ κελαδήσω,*
*τῶν Ἐπι- ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.*
*ἔνθα συγκωμάξατ'· ἐγγυάσομαι*
*ὔμμιν, ὦ Μοῖσαι, φυγόξεινον στρατὸν*

---

4. *πράσσοι* vel *πράσσων* codd. — 5. *γρ. ἀρχαί* — 8. *ἔγκειται* codd. vett. — 9. *πορσαίνειν* Hecker — 10. *ὁμοίως* ex scholiorum vestigiis Leutsch: omittunt aut *ὅμως ὤν* exhibent codd. vett. *ἐσαεί* codd. interpoll. — 13. *γρ. ἀμφί* — 17. *ὔμμιν* Bergk et De Jongh scholiastas secuti: *μή μιν* codd.

μηδ' ἀπείρατον καλῶν,
ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. τὸ γὰρ
ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
οὔτ' ἐρίβρομοι λέον- τες διαλλάξαιντο ϝῆθος.

---

ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΒ'

## ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙῼ

ΔΟΛΙΧΕΙ.

Strophae.

″– ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
″– ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ –
″– ⏑ – – –́ ⏑ – – –́ ⏑ –
″– ⏑ – – –̣ ⏑ – – –́ ⏑⏑ ⏓
″– ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –
″– ⏑ – ⏓ –̣ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –̣ ⏑ ⏓

Epodus.

″– ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏑
″– ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏑ –̣ ⏑ ⏓
″– ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏑⏑ –
– ″– ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –̣ ⏑ – –
″– ⏑ – ⏑ –́ ⏑⏑ – ⏑⏑ –
″– ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ –
″– ⏑ – – –́ ⏑ – – –́ ⏑ – ″– ⏑ – – –́ ⏑ – –

Λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου, Στρ.
Ἱμέραν εὐρυσθενέ' ἀμφιπόλει, Σώτειρα Τύχα.
τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ
νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι
κἀγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν

---

19. τε codd. mell. — 20. γρ. εὐφυές — 21. διαλλάξαιντ' ἂν Hartung.

πόλλ᾽ ἄνω, τὰ δ᾽ αὖ κάτω ψεύδη μεταμώνια τάμ-
νοισαι κυλίνδοντ᾽ ἐλπίδες·

᾽Αντ.

σύμβολον δ᾽ οὔ πώ τις ἐπιχθονίων
πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν,
τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.
πολλὰ δ᾽ ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,
ἔμπαλιν μὲν τέρψιος, οἱ δ᾽ ἀνιαραῖς
ἀντικύρσαντες ζάλαις ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ
πεδάμειψαν χρόνῳ.

᾽Επ.

υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν,
ἐνδομάχας ἅτ᾽ ἀλέκτωρ, συγγόνῳ παρ᾽ ἑστίᾳ
ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν,
εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ᾽ ἄμερσε
πάτρας.
νῦν δ᾽ Ὀλυμπίᾳ στεφανωσάμενος
καὶ δὶς ἐκ Πυθῶνος Ἰσθμοῖ τ᾽, Ἐργότελες,
θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις, ὁμι-
λέων παρ᾽ οἰκείαις ἀρούραις.

---

6. ψευδῆ codd. — 12. πήματος ἐκ Bossler — γρ. ποτάμειψαν — 15. κατεφυλλοχόησε apud Phrynichum — 16. γρ. Κνωσίας ἄμερσε — 18. γρ. δι᾽ ἐκ.

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΓ'

# ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩι

### ΣΤΑΔΙΟΔΡΟΜΩι ΚΑΙ ΠΕΝΤΑΘΛΩι.

Strophae.



Epodi.



*Τρισολυμπιονίκαν* — *Στρ. α'.*
*ἐπαινέων οἶκον ἅμερον ἀστοῖς,*
*ξένοισι δὲ θεράποντα, γνώσομαι*
*τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου*
*πρόθυρον Ποτει- δᾶνος, ἀγλαόκουρον.*
*ἐν τᾷ γὰρ Εὐνομία ναίει, κασιγνήτα τε, βάθρον*
*πολίων ἀσφαλές,*

---

Epodi versus quintum et sextum ita coniunxit Boeckhius in ed. priore, ut post tetrapodiam dactylicam catalecticam epitritos pedes poneret.

3. *γρ. τε* — 6. *γρ. κασίγνηται* — *ἀσφαλές* Schmid: *ἀσφαλής* codd.

*Δίκα καὶ ὁμότροφος Εἰρήνα, ταμίαι ἀνδράσι*
*πλούτου,*
*χρύσεαι παῖδες εὐβούλου Θέμιτος·*

*ἐθέλοντι δ' ἀλέξειν* *'Αντ. α'.*
*ὕβριν, κόρου ματέρα θρασύμυθον.*
*ἔχω καλά τε φράσαι, τόλμα τέ μοι*
*εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.*
*ἄμαχον δὲ κρύ- ψαι τὸ συγγενὲς ἦθος.*
*ὔμμιν δέ, παῖδες 'Αλάτα, πολλὰ μὲν νικαφόρον*
*ἀγλαΐαν ὤπασαν*
*ἄκραις ἀρεταῖς ὑπερελθόντων ἱεροῖς ἐν ἀέθλοις,*
*πολλὰ δ' ἐν καρδίαις ἀνδρῶν ἔβαλον*

*'Επ. α'.*
*῟Ωραι πολυάνθεμοι ἀρ-*
*χαῖα σοφίσμαθ'· ἅπαν δ' εὑρόντος ἔργον.*
*ταὶ Διωνύσου πόθεν ἐξέφανεν*
*σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ;*
*τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα,*
*ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον*
*ἐπέθηκ'; ἐν δὲ Μοῖσ' ἁδύπνοος,*
*ἐν δ' Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.*

*ὕπατ' εὐρὺ ϝανάσσων* *Στρ. β'.*
*'Ολυμπίας, ἀφθόνητος ἔπεσσιν*
*γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,*
*καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων*
*Ξενοφῶντος εὔ- θυνε δαίμονος οὖρον·*
*δέξαι δέ ϝοι στεφάνων ἐγκώμιον τεθμόν, τὸν ἄγει*
*πεδίων ἐκ Πίσας,*

7. γρ. *ὁμότροπος* — 10. γρ. *θρασύθυμον* — 17. γρ. *σοφίσματα· πᾶν* — 19. γρ. βοηλάτῳ — 20. δ' ἄρ Hermann — fort.: *ἱππείοισιν* — 21. δίδυμνον Boeckh — 29. γρ. τε.

πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον· ἀντεβόλησεν
τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον.

δύο δ' αὐτὸν ἔρεψαν 'Αντ. β'.
πλόκοι σελί- νων ἐν Ἰσθμιάδεσσιν
φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ·
πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' Ἀλφεοῦ
ῥεέθροισιν αἴγ- λα ποδῶν ἀνάκειται,
Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου τ' ἀελίῳ ἀμφ' ἑνί,
μη- νός τέ ϝοι
τωὐτοῦ κρανααῖς ἐν Ἀθάναισι τρία ϝέργα ποδαρκὴς
ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις,

Ἑλλώτια δ' ἑπτάκις· ἐν 'Επ. β'.
δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν
Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι
Τερψίᾳ θ' ἕψοντ' Ἐριτί- μῳ τ' ἀοιδαί.
ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε
ἠδὲ χόρτοις ἐν λέοντος· δηρίομαι πολέσιν
περὶ πλήθει καλῶν, ὡς μὰν σαφὲς
οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν.

ἕπεται δ' ἐν ἑκάστῳ Στρ. γ'.
μέτρον· νοῆ- σαι δὲ καιρὸς ἄριστος.
ἐγὼ δὲ ϝίδιος ἐν κοινῷ σταλεὶς
μῆτίν τε γαρύων παλαιγόνων
πόλεμόν τ' ἐν ἡ- ρωίαις ἀρεταῖσιν
οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ, Σίσυφον μὲν πυκνό-
τατον παλάμαις ὡς θεόν,

---

31. γρ. πρότερος — 37. γρ. δ' ἔχει — 42. γρ. τέρψιες θ' ἕψοντ' ἐρίτιμοι — ἕσποντ' Bothe — 44. λέοντος, δηρίομαι vulgo — 44. γρ. πολέεσσι — 47. γρ. δ' ἑκάστῳ, δὲ ϝεκάστῳ Mommsen in ed. mai. — 49. fort: σταθεὶς — 52. ὡς θεόν] αἰνέων vel ὑμνέων Bossler.

*καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ,*
*ναΐ σῴ- τειραν Ἀργοῖ καὶ προπόλοις.*

*τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ* — *Ἀντ. γ'.*
*πρὸ Δαρδάνου τειχέων ἐδόκησαν*
*ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος,*
*τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος*
*Ἑλέναν κομί- ζοντες, οἱ δ' ἀπὸ πάμπαν*
*εἴργοντες· ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα τρόμεον*
*Δαναοί. τοῖσι μὲν*
*ἐξεύχετ' ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν*
*καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον·*

*Ἐπ. γ'.*
*ὃς τᾶς ὀφιώδεος υἱ-*
*όν ποτε Γοργόνος ἦ πόλλ' ἀμφὶ κρουνοῖς*
*Πάγασον ζεῦξαι ποθέων ἔπαθεν,*
*πρίν γέ ϝοι χρυσάμπυκα κού- ρα χαλινὸν*
*Παλλὰς ἤνεγκ'· ἐξ ὀνείρου δ' αὐτίκα*
*ἦν ὕπαρ· φώνασε δ'· Εὕδεις, Αἰολίδα βασιλεῦ;*
*ἄγε φίλτρον τόδ' ἵππειον δέκευ,*
*καὶ Δαμαίῳ νιν θύων ταῦρον ἀργάεντα πατρὶ δεῖξον.*

*κυάναιγις ἐν ὄρφνᾳ* — *Στρ. δ'.*
*κνώσσοντί ϝοι παρθένος τόσα ϝειπεῖν*
*ἔδοξεν· ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.*
*παρκείμενον δὲ συλλαβὼν τέρας,*
*ἐπιχώριον μάντιν ἄσμενος εὗρεν,*
*δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος, ὥς*
*τ' ἀνὰ βω- μῷ θεᾶς*
*κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος, ὥς τέ ϝοι αὐτὰ*
*Ζηνὸς ἐγ- χεικεραύνου παῖς ἔπορεν*

---

68. *ἄγε δέ* Mommsen — 69. *ἀργόν* codd. interpoll. *ἀργᾶν* *Hermann.*

δαμασίφρονα χρυσόν. 'Αντ. δ'.
ἐνυπνίῳ δ' ἁ τάχιστα πιθέσθαι
κελήσατό νιν, ὅταν δ' εὐρυσθενεῖ
καρταίποδ' ἀναρύῃ Γαιαόχῳ,
θέμεν Ἱππείᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.
τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ
ϝελπίδα κού- φαν κτίσιν.
ἤτοι καὶ ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας,
φάρμακον πραῢ τείνων ἀμφὶ γένυι,
'Επ. δ'.
ἵππον πτερόεντ'· ἀναβὰς
δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.
σὺν δὲ κείνῳ καί ποτ' Ἀμαζονίδων
αἰθέρος ψυχρᾶς ἀπὸ κόλ- πων ἐρήμων
τοξόταν βάλλων γυναικεῖον στρατόν,
καὶ Χίμαιραν πῦρ πνέοισαν καὶ Σολύμους ἔπεφνεν.
διασωπάσομαί ϝοι μόρον ἐγώ·
τὸν δ' ἐν Οὐλύμπῳ φάτναι Ζηνὸς ἀρχαῖαι δέκονται.

ἐμὲ δ' εὐθὺν ἀκόντων Στρ. ε'.
ἱέντα ῥόμ- βον παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
Μοίσαις γὰρ ἀγλαοθρόνοις ἑκὼν
Ὀλιγαιθίδαι- σίν τ' ἔβαν ἐπίκουρος
Ἰσθμοῖ τά τ' ἐν Νεμέᾳ. παύρῳ δ' ἔπει θήσω φανέρ'
ἀθρό', ἀλα- θής τέ μοι
ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν
ἁδύγλωσ- σος βοὰ κάρυκος ἐσλοῦ.

---

81. ἀνρύῃ Triclinius — 83. τελεῖ codd. vett.: πληροῖ interpoll. — δέ om. codd. dett. — 86. γρ. ἔπαιξε — 88. ἐρήμων Hermann: ἐρήμου codd. — 89. βάλλεν codd. dett. — 96. εἴκων codd. vett. — 97. ἐπίκουρος. Ἰσθμοῖ τά τ' ἐν Νεμέᾳ παύρῳ ϝέπει Bergk.

*τὰ δ' Ὀλυμπίᾳ αὐτῶν* *Ἀντ. ε'.*
*ἔοικεν ἤ- δη πάροιθε λελέχθαι·* 145
*τὰ τ' ἐσσόμενα τότ' ἂν φαίην σαφές·*
*νῦν δ' ἔλπομαι μέν, ἐν θεῷ γε μὰν*
*τέλος· εἰ δὲ δαί- μων γενέθλιος ἕρποι,*
*Δὶ τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσσειν. τὰ δ' ὑπ'*
*ὀφρύι Παρ- νασίᾳ,* 150
*ἐν Ἄργεΐ θ' ὅσσα καὶ ἐν Θήβαις, ὅσα τ' Ἀρκάσιν ἴστωρ*
*μαρτυρή- σει Λυκαίου βωμὸς ἄναξ,*

*Ἐπ. ε'.*
*Πέλλανά τε καὶ Σικυὼν*
*καὶ Μέγαρ' Αἰακιδᾶν τ' εὐερκὲς ἄλσος,*
*ἅ τ' Ἐλευσὶς καὶ λιπαρὰ Μαραθών,* 157
*ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου καλλίπλουτοι*
*πόλιες, ἅ τ' Εὔβοια. καὶ πᾶσαν κατὰ* 160
*Ἑλλάδ' εὑρήσεις ἐρευνῶν μάσσον' ἢ ὡς ἰδέμεν.*
*ἄνα, κουφοισίν ἐκνεῦσαι ποσίν·*
*Ζεῦ τέλει', αἰδῷ δίδοι καὶ τύχαν τερπνῶν γλυκεῖαν.*

---

99. *ἀνθ' ὅρκου ἐπέσσεται* vel *ἀνθόρκιος ἔσσεται* Hartung — *εὐόρκῳ* Bossler — 103. *γρ. δ'* — 106. *γρ. ἐπ' ὀφρύϊ* — 107. *γρ. Ἄργεϊ δ'* — 107. *ἀνάσσων* codd., quod interpretamentum vocabulo *ἄναξ* superscriptum genuinam vocem expulisse videtur, *ἴστωρ* Christ, alii alia tentaverunt — 113. fort.: *ἢ ὅσσ'* — *ἀριθμεῖν* Hartung — 114. *ἄνα* Bergk: *ἀλλά* codd. — 115. *αἰδῶ* Boeckh: *αἰδῶ τε* codd

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΔ'.

# ΑΣΩΠΙΧΩι ΟΡΧΟΜΕΝΙΩι

## ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ.



*Καφισίων ὑδάτων λαχοῖσαι* — *Στρ. α'.*
*ταίτε ναίετε καλλίπωλον ἕδραν,*
*ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι*
*Χάριτες Ὀρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,*
*κλῦτ', ἐπεὶ εὔχομαι. σὺν γὰρ ὔμ- μιν τά τε τερπνὰ καὶ*
*τὰ γλυκέ' ἄνεται πάντα βροτοῖς,*
*εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ.*
*οὐδὲ γὰρ θεοὶ ἀγ- νᾶν Χαρίτων ἄτερ*
*κοιρανέοντι χοροὺς οὔτε δαῖτας· ἀλλὰ πάν- των ταμίαι*
*ἔργων ἐν οὐρανῷ, χρυσότο- ξον θέμεναι παρὰ*

---

De numerorum descriptione versuum 5 et 6 ambigua conferas lectiones varias.

2. *λαχοῖσαν* Boeckh — *ταίτε* Bergk: *αἵτε* codd. — *γρ. καλλίβωλον* — 5. *σὺν ὔμμιν γάρ* Boeckh — 6. *γλυκέ' ἄνεται* Kayser: *γλυκέα γίνεται* codd. — 7. *κεἰ* Bergk — 8. *ἀγνᾶν* Kayser: *σεμνᾶν* codd.

*Πύθιον Ἀπόλλωνα θρόνους,*
*ἀέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.*

*ὦ πότνι' Ἀγλαΐα φιλησί-* Στρ. β'.
*μολπέ τ' Εὐφροσύνα, θεῶν κρατίστου*
*παῖδες, ἐπακοοῖτε νῦν, Θαλία τε*
*ἐρασίμολπε, ϝιδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ*
*κοῦφα βιβῶντα· Λυ- δῷ γὰρ Ἀ- σώπιχον ἐν τρόπῳ*
*ἐν μελέταις τ' ἀεί- δων ἔμολον,*
*οὕνεκ' Ὀλυμπιόνικος ἁ Μινυεία*
*σεῦ ϝέκατι. μελαν- τειχέα νῦν δόμον*
*Φερσεφόνας ἔλυθ', Ἀ- χοῖ, πατρὶ κλυτὰν φέροισ'*
*ἀγγελίαν,*
*Κλεόδαμον ὄφρ' ἰδοῖσ' υἱὸν εἴ- πῃς, ὅτι ϝοι νέαν*
*κόλποις παρ' εὐδόξου Πίσας*
*ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.*

---

11. *Πυθῷον* Ahrens — 15. *ἐπακοοῖτε νῦν* Bergk: *ἐπάκοοι νῦν* codd. — 17. *Λυδῷ* Bergk: *Λυδίῳ* codd. — 18. *ἔν τε μελέταις* Boeckh — 21. *ἔλυθ'* Ahrens: *ἐλθέ* codd. vett. *ἴθι* codd. interpoll. — 22. γρ. *νέον* — 23. γρ. *κόλποισι* — *εὐδόξου* Boeckh: *εὐδόξοιο* codd.

# ΠΥΘΙΟΝΙΚΑΙ.

## ΠΥΘΙΟΝΙΚΑΙ Α΄.

## ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩι

### ΑΡΜΑΤΙ.

Strophae.



Epodi.



Στρ. α΄.

*Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων*
*σύνδικον Μοισᾶν κτέανον·*
*τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά,*
*πείθονται δ' ἀοιδοὶ σάμασιν,*
*ἀγησιχόρων ὁπόταν προοιμίων*
*ἀμβολὰς τεύχῃς ἐλελιζομένα.*

καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. εὕ- δει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός,
ὠκεῖαν πτέρυγ' ἀμφοτέρω- θεν χαλάξαις,

'Αντ. α'.

ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί ϝοι νεφέλαν
ἀγκύλῳ κρατί, γλεφάρων
ἁδὺ κλαῗστρον, κατέχευας· ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βια-
τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν
κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας, ἀμφί
τε Λατοίδα σοφίᾳ βαθυκόλ- πων τε Μοισᾶν.

'Επ. α'.

ὅσσα δὲ μὴ πεφίληκε Ζεὺς ἀτύζονται βοὰν
Πιερίδων ἀίοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαι-
μάκετον,
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος,
Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα· κίων δ'
οὐρανία συνέχει,
νιφόεσσ' Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα·

Στρ. β'.

τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαί· ποταμοὶ
δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ

---

10. γρ. καταγχόμενος — 13. γρ. ἀτύζεται et ἀτύζηται — 20. fort.: πανέτης.

αἴθων· ἀλλ᾽ ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντου πλάκα σὺν πατάγῳ.
κεῖνο δ᾽ Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν
δεινοτάτους ἀναπέμ- πει· τέρας μὲν θαυμάσιον προσ-
ιδέσθαι, θαῦμα δὲ καὶ παρεόν- των ἀκοῦσαι,

Ἀντ. β΄.

οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσ-
σοισ᾽ ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.
εἴη, Ζεῦ, τὶν εἴη ϝανδάνειν,
ὃς τοῦτ᾽ ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα, Πυθιάδος δ᾽ ἐν δρόμῳ κᾶρυξ ἀνέειπέ νιν
ἀγγέλλων Ἱέρωνος ὑπὲρ καλλινίκου

Ἐπ. β΄.

ἅρμασι. ναυσιφορήτοις δ᾽ ἀνδράσι πρώτα χάρις
ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοι-
κότα γὰρ
καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν. ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει
λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν
καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν.
Λύκιε καὶ Δάλοι᾽ ἀνάσσων Φοῖβε, Παρνασοῦ τε
κράναν Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν.

---

26. γρ. πυθέσθαι — γρ. παριόντων — ἀκοῖσαι var. lect. apud Macrobium — 34. γρ. ἐρχομένοις — 35. γρ. ἐν καὶ τελευτᾷ, unde fuerunt qui κὰν τελευτᾷ interpolarent — γρ. φερτέρᾳ — 37. στεφάνοισί νιν Heyne: στεφάνοισιν codd. vett. — 40. εὐανδροῦν Hermann.

*Στρ. γ'.*

ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
καὶ σοφοὶ καὶ χερσὶ βια-
ταὶ περίγλωσσοί τ' ἔφυν. ἄνδρα δ' ἐγὼ κεῖνον
αἰνῆσαι μενοινῶν ἔλπομαι
μὴ χαλκοπάραον ἄκονθ' ὡσείτ' ἀγῶ-
νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους.
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλ- βον μὲν οὕτω καὶ κτεάνων
δόσιν εὐθύνοι, καμάτων δ' ἐπίλα- σιν παράσχοι.

*'Αντ. γ'.*

ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοισι μάχαις
τλάμονι ψυχᾷ παρέμειν',
ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν,
οἵαν οὔτις Ἑλλάνων δρέπει,
πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν
τὰν Φιλοκτήταο δίκαν ἐφέπων
ἐστρατεύθη. σὺν δ' ἀνάγκᾳ νιν φίλον
καί τις ἐὼν μεγαλά- νωρ ἔσανεν. φαντὶ δὲ Λαμνόθεν
ἕλκει τειρόμενον μεταναάσ- σοντας ἐλθεῖν

*'Επ. γ'.*

ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν·
ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτασέν τε πόνους
Δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοι- ρίδιον ἦν.
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν διδούς.

---

45. γρ. ἀμεύσεσθ' — 51. μιν φίλον codd.: μὴ φίλον Rauchenstein, νιν νόσον Mommsen — 52. μετανάσσοντας Wakefield: μεταλάσσοντας vel μεταλλάσσοντας codd. μεταβάσοντας Kayser — 56. θεὸς σωτὴρ Hartung.

Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πίθεό μοι ποινὰν τεθρίππων. χάρμα δ' οὐκ ἀλλό-
τριον νικαφορία πατέρος,
ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον.

Στρ. δ'.

τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ
Ὑλλίδος στάθμας Ἱέρων
ἐν νόμοις ἔκτισσ'. ἐθέλοντι δὲ Παμ- φύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ
Δωρίοις. ἔσχον δ' Ἀμύκλας ὄλβιοι,
Πινδόθεν ὀρνύμενοι, λευκοπώλων Τυνδαριδᾶν βα-
θύδοξοι γείτονες, ὧν κλέος ἄν- θησεν αἰχμᾶς.

Ἀντ. δ'.

Ζεῦ τέλει', αἰεὶ δὲ δὸς τοίαν Ἀμένα παρ' ὕδωρ
αἶσαν ἀστοῖς καὶ βασιλεῦ-
σιν διακρίνειν ἔτυμον λόγον ἀν- θρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραί-
ρων τράποι σύμφωνον ἐς ἡσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον
ὄφρα κατ' οἶκον ὁ Φοῖ- νιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς
ἔχῃ, ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας·

Ἐπ. δ'.

οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον,

---

61. γρ. κλεινάν — 65. Δωρίοις Hermann: Δωριεῖς vel Δωριῆς codd. — 67. δὸς τοίαν Mommsen: τοιαύταν codd. αἰεὶ πόροις τοίαν Hartung — 70. υἱῷ γ' Bothe — ἐς om. codd. plerique, quo Pindarum ἡσυχίαν non ἀσ. scripsisse probatur.

ὠκυπόρων ἀπὸ ναῶν ὅς σφιν ἐν πόντῳ βάλεθ᾽
ἁλικίαν,
Ἑλλάδ᾽ ἐξέλκων βαρείας δουλείας. ἀρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δὲ κλέων πρὸ Κιθαιρῶνος μά-
χαν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν Ἱμέρα παίδεσσιν ὕμνον
Δεινομένεος τελέσαις,
τὸν ἐδέξαντ᾽ ἀμφ᾽ ἀρετᾷ, πολεμίων ἀνδρῶν κα-
μόντων.

Στρ. ε᾽.

καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται
μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμ- βλύνει
αἰανὴς ταχείας ἐλπίδας·
ἀστῶν δ᾽ ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει μάλιστ᾽ ἐσλοῖσιν ἐπ᾽ ἀλλοτρίοις.
ἀλλ᾽ ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος,
μὴ παρίει καλά. νώ- μα δικαίῳ πηδαλίῳ στρατόν·
ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλ- κευε γλῶσσαν.

Ἀντ. ε᾽.

εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται
πὰρ σέθεν. πολλῶν ταμίας
ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.
εὐανθεῖ δ᾽ ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·

---

75. ἀρέομαι Daves: αἱρέομαι codd. — 77. δὲ κλέων Christ: δ᾽ ἐρέω τάν codd. vett. — 79. γρ. εὔανδρον — 85. γρ. κρεῖσσον.

ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
ἱστίον ἀνεμόεν. μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις
κέρδεσσ'· ὀπιθόμβροτον αὔ- χημα δόξας

οἷον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει 'Επ. ε'.
καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φιλόφρων
ἀρετά·
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νη- λέα νόον
ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,
οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν
μαλθακὰν παίδων ὀάροισι δέκονται.
τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων· εὖ δ' ἀκούειν
δευτέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ, καὶ ἕλῃ, στέφανον ὕψιστον δέ-
δεκται.

---

ΠΥΘΙΟΝΙΚΑΙ Β'.

# ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

ΑΡΜΑΤΙ.

Strophae.



---

92. *πετάσαις* post *ἀνεμόεν* add. codd. — *φίλος* Hermann *φίλε* codd. — *κέρδεσι εὐτραπέλοις* (vel *ἐντρ.*) codd. vett.

Epodi.



Στρ. α'.

*Μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου*
*τέμενος Ἄρεος, ἀν-*
*δρῶν ἵππων τε σιδαροχαρμᾶν δαιμόνιαι τροφοί,*
*ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θη- βᾶν φέρων*
*μέλος ἔρχομαι ἀγγελίαν τετραορίας ἐλελίχθονος,*
*εὐάρματος Ἱέρων ἐν ᾇ κρατέων*
*τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις,*
*ποταμίας ἕδος Ἀρ- τέμιδος, ἇς οὐκ ἄτερ*
*κείνας ἀγαναῖσιν ἐν*
*χερσὶ ποικιλανίους ἐδάμασσε πώλους.*

*ἐπὶ γὰρ ἰοχέαιρα παρθένος χερὶ διδύμᾳ* Ἀντ. α'.
*ὅ τ' ἐναγώνιος Ἑρ-*
*μᾶς αἰγλᾶεντα τίθησι κόσμον, ξεστὸν ὅταν δίφρον*
*ἔν θ' ἅρματα πεισιχάλινα κατα- ζευγνύῃ*
*σθένος ἵππειον, ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν.*
*ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ*
*εὐαχέα βασιλεῦσιν ὕμνον, ἄποιν' ἀρετᾶς.*
*κελαδέοντι μὲν ἀμ- φὶ Κινύραν πολλάκις*
*φᾶμαι Κυπρίων, τὸν ὁ*
*χρυσοχαῖτα προφρόνως ἐφίλησ' Ἀπόλλων,*

---

7. ἇς Hermann: **τᾶς** codd. versibus aliter dispositis — *14.* γρ. εὐαυχέα.

ἱερέα κτίλον Ἀφροδί- Ἐπ. α'.
τας· ἄγει δὲ χάρις φίλων
ποίνιμος ἀντὶ ϝέρ- γων ὀπιζομένα·
σὲ δ', ὦ Δεινομένειε παῖ, Ζεφυρία πρὸ δόμων
Λοκρὶς παρθένος ἀπύει,
πολεμίων καμάτων ἐξ ἀμαχάνων
διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές.
θεῶν δ' ἐφετμαῖς Ἰξίονα φαντὶ ταῦ- τα βροτοῖς
λέγειν ἐν πτερόεν- τι τροχῷ
παντᾷ κυλινδόμενον·
τὸν εὐεργέταν ἀγαναῖς ἀμοι-
βαῖς ἐποιχομένους τίνεσθαι.

Στρ. β'.

ἔμαθε δὲ σαφές. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις
γλυκὺν ἑλὼν βίοτον,
μακρὸν οὐχ ὑπέμεινεν ὄλβον, μαινομέναις φρασὶν
Ἥρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐ- ναὶ λάχον
πολυγαθέες· ἀλλά νιν ὕβρις εἰς αὐάταν ὑπεράφανον
ὦρσεν· τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ
ἐξαίρετον ἕλε μόχθον. αἱ δύο δ' ἀμπλακίαι
φερέπονοι τελέθον- τι· τὸ μὲν ἥρως ὅτι
ἐμφύλιον αἷμα πρώ-
τιστος οὐκ ἄτερ τέχνας ἐπέμιξε θνατοῖς·

Ἀντ. β'.

ὅτι τε μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις
Διὸς ἄκοιτιν ἐπει-
ρᾶτο. χρὴ δὲ καθ' αὐτὸν αἰεὶ παντὸς ὁρᾶν μέτρον.

---

17. ποίνιμος Spiegel: ποίτινος codd. — 30. ἔσχε vel ἔχε codd. vett. — 31. ὅτι τ' codd. τ' del. Hermann.

*εὐναὶ δὲ παράτροποι ἐς κακότατ' ἀθρόαν*
*ἔβαλον ποτὶ κοῖτον ἰόντ', ἐπεὶ νεφέλᾳ παρελέξατο,*
*ψεῦδος γλυκὺ μεθέπων, ἄϊδρις ἀνήρ·*
*εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν Οὐρανιδᾶν*
*θυγατέρι Κρόνου· ἅν- τε δόλον αὐτῷ θέσαν*
*Ζηνὸς παλάμαι, καλὸν*
*πῆμα. τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν,*

'Επ. β'.

*ἑὸν ὄλεθρον ὅγ'· ἐν δ' ἀφύ-*
*κτοισι γυιοπέδαις πεσὼν*
*τὰν πολύκοινον ἀν- δείξατ' ἀγγελίαν.*
*ἄνευ ϝοι Χαρίτων τέκεν γόνον ὑπερφίαλον,*
*μόνα καὶ μόνον, οὔτ' ἐν ἀν-*
*δράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις·*
*τὸν ὀνύμαξε τράφοισα Κέν- ταυρον, ὃς*
*ἵπποισι Μαγνητίδεσσιν ἐμίγνυτ' ἐν Παλίου*
*σφυροῖς, ἐκ δ' ἐγένον- το στρατὸς*
*θαυμαστός, ἀμφοτέροις*
*ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν*
*μὲν κάτω, τὰ δ' ὕπερθε πατρός.*

Στρ. γ'.

*θεὸς ἅπαν ἐπὶ ϝελπίδεσσι τέκμαρ ἀνύεται,*
*θεός, ὃ καὶ πτερόεντ'*
*αἰετὸν κίχε, καὶ θαλασσαῖον παραμείβεται*
*δελφῖνα, καὶ ὑψιφρόνων τιν' ἔκαμ- ψε βροτῶν,*
*ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ'. ἐμὲ δὲ χρεὼν*

---

36. *ποτὶ κοῖτον ἰόντ'* Boeckh: *ποτὶ καὶ τὸν ἱκόντ'* codd. — 38. *Οὐρανίδα* scholiasta legisse videtur, *Οὐρανιδᾶν* Bergk: *Οὐρανιᾶν* codd. — 41. *ἀνδείξατ'* Mitscherlich: *ἀνδέξατ'* vulgo — 42. *γρ. δ' οἱ* — 44. *γρ. ὀνύμαξε.*

*φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.*
*εἶδον γὰρ ἑκὰς ἐὼν ταπόλλ' ἐν ἀμαχανίᾳ*
*ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν*
*πιαινόμενον· τὸ πλου-*
*τεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον.*

*Ἀντ. γ'.*

*τὺ δὲ σάφα νιν ἔχεις, ἐλευθέρᾳ φρενὶ πεπαρεῖν,*
*πρύτανι κύριε πολ-*
*λᾶν μὲν εὐστεφάνων ἀγυιᾶν καὶ στρατοῦ. εἰ δέ τις*
*ἤδη κτεάτεσσί τε καὶ περὶ τι- μᾷ λέγει*
*ἕτερόν τιν' ἀν' Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον,*
*χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά.*
*εὐανθέα δ' ἀναβάσομαι στόλον ἀμφ' ἀρετᾷ*
*κελαδέων. νεότα- τι μὲν ἀρήγει θράσος*
*δεινῶν πολέμων· ὅθεν*
*φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν,*

*Ἐπ. γ'.*

*τὰ μὲν ἐν ἱπποσόαισιν ἄν-*
*δρεσσι μαρνάμενον, τὰ δ' ἐν*
*πεζομάχαισι· βου- λαὶ δὲ πρεσβύτεραι*
*ἀκίνδυνον ἐμοὶ ϝέπος σὲ ποτὶ πάντα λόγον*
*ἐπαινεῖν παρέχοντι. χαῖ-*
*ρε. τόδε μὲν κατὰ Φοί- νισσαν ἐμπολὰν*
*μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται·*
*τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορ- δαῖς θέλων*

---

54. *ἑκὰς ἐόντα* scholiasta legisse videtur — 57. *γρ. πεπορεῖν* — 59. *γρ. κτεάνοισι* — 61. *κενεά* cod. Guelf.: *κενεᾷ* codd. rell. — 65. *ἄνδρεσσι* Hermann: *ἀνδράσι* codd. — *σε* e scholiis add. Boeckh — 69. *ἑκών* Boeckh.

ἄθρησον χάριν ἑπ- τακτύπου
φόρμιγγος ἀντόμενος.
γένοι' οἷος ἐσσὶ μαθών· καλός
τοι πίθων παρὰ παισίν, αἰεὶ

Στρ. δ'.

καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν
ἔλαχε καρπὸν ἀμώ-
μητον, οὐδ' ἀπάταισι θυμὸν τέρπεται ἔνδοθεν,
οἷα ψιθύρων παλάμαις ἕπετ' αἰ- εὶ βροτῶν.
ἄμαχον κακὸν ἀμφοτέροις διαιβολιᾶν ὑποφάτιες,
ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.
κερδοῖ δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει;
ἅτε γὰρ εἰνάλιον πόνον ὀχεοίσας βαθὺ
σκευᾶς ἑτέρας, ἀβά-
πτιστός εἰμι φελλὸς ὣς ὑπὲρ ἕρκος ἅλμας.

Ἀντ. δ'.

ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς
δόλιον ἀστόν· ὅμως
μὰν σαίνων ποτὶ πάντας, ἀγὰν πάγχυ διαπλέκει.
οὔ ϝοι μετέχω θράσεος. φίλον εἴ- η φιλεῖν·
ποτὶ δ' ἐχθρὸν ἅτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑπο-
θεύσομαι,
ἀλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς.
ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει,
παρὰ τυραννίδι, χὠ- πόταν ὁ λάβρος στρατός,

---

74. ἀμωμήτων Jacobs — 75. βροτῷ Heindorf — 76. διαιβολιᾶν Bergk: διαβολιᾶν codd. — ὑποφάτορες Bothe — 78. κερδοῖ Huschke: κέρδει codd. — 79. γρ. ἐχοίσας — 80. εἶμι Bergk — ἕρκος, ἅλμας alii — 81. γρ. ἀδύνατον, unde ἀδύνατον ϝέπος coniecit Bergk — 84. ἰών Huschke.

χῶτᾳν πόλιν οἱ σοφοὶ
τηρέωντι. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν,

'Επ. δ'.

ὃς ἀνέχει ποτὲ μὲν τὰ κεί-
νων, τότ' αὖθ' ἑτέροις ἔδω-
κεν μέγα κῦδος. ἀλλ' οὐδὲ ταῦτα νόον
ἰαίνει φθονερῶν· στάθμας δέ τινος ἑλκόμενοι
περισσᾶς ἐνέπαξαν ἕλ-
κος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ,
πρὶν ὅσα φροντίδι μητίον- ται τυχεῖν.
φέρειν δ' ἐλαφρῶς ἐπαυχένιον λαβόν- τα ζυγὸν
ἀρήγει· ποτὶ κέν- τρον δέ τοι
λακτιζέμεν τελέθει
ὀλισθηρὸς οἶμος. ἁδόντα δ' εἴ-
η με τοῖς ἀγαθοῖς ὁμιλεῖν.

---

ΠΥΘΙΟΝΙΚΑΙ Γ.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

### ΚΕΛΗΤΙ.

Strophae.

–″ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–″ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –́ ⏑ – – –̣ ⏑ ⏓
– –″ ⏑⏑ – ⏑⏑ ⏓
–″ ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – | – –́ ⏑ – – –̣ ⏑ – – –́ ⏑⏑ ⏓
–″ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –́ ⏑ ⏓
–″ ⏑⏑ – ⏑⏑ – –″ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–″ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓

---

90. γρ. ἑλκόμενος . . . . ἐνέπαξεν.

Epodi.

″– ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
″– ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
″– ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓
″– ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ – ⏓
″– ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –̣ ⏑ ⏓
″– ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –̣ ⏑ ⏓
″– ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑ ⏑ ⏓
″– ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓
⏑⏑ ″– ⏑⏑ – – –́ ⏑ – – –̣ ⏑ ⏓

*Ἤθελον Χείρωνά κε Φιλυρίδαν,* *Στρ. α'.*
*εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ϝέπος,*
*ζώειν τὸν ἀποιχόμενον,*
*Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου,*
*βάσσαισί τ' ἄρχειν Παλίου Φῆρ' ἀγρότερον,*
*νοῦν ἔχοντ' ἀνδρῶν φίλον· οἷος ἐὼν θρέψεν ποτὲ*
*τέκτονα νωδυνίας ἅμερον γυιαρκέος Ἀσκλαπιόν,*
*ἥρωα παντοδαπᾶν ἀλκτῆρα νούσων.*

*τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ* *Ἀντ. α'.*
*πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ, δαμεῖσα χρυσέοις*
*τόξοισιν ὕπ' Ἀρτέμιδος*
*ἐν θαλάμῳ, δόμον εἰς Ἀίδα κατέβα*
*τέχναις Ἀπόλλωνος. χόλος δ' οὐκ ἀλίθιος*
*γίνεται παίδων Διός. ἁ δ' ἀποφλαυρίξαισά νιν*
*ἀμπλακίαισι φρενῶν, ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός,*
*πρόσθεν ἀκερσεκόμᾳ μιχθεῖσα Φοίβῳ,*

---

6. *νωδυνιᾶν . . . γυιαρκέων* Hermann — 11. *ἐν θαλάμῳ δόμον εἰς Ἀίδα* Oehlschlaeger: *εἰς Ἀ. δ. ε. θ.* codd.

*καὶ φέροισα σπέρμα θεοῦ καθαρόν.* *'Επ. α'.*
*οὐκ' ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν,*
*οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων, ἅλικες*
*οἷα παρθένοι φιλέοισιν ἑταῖραι*
*ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς· ἀλλά τοι*
*ἤρατο τῶν ἀπεόντων· οἷα καὶ πολλοὶ πάθον.*
*ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,*
*ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω,*
*μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν.*

*ἔσχε τοιαύταν μεγάλαν ἀάταν* *Στρ. β'.*
*καλλιπέπλου λῆμα Κορωνίδος. ἐλθόντος γὰρ εὐνάσθη ξένου*
*λέκτροισιν ἀπ' Ἀρκαδίας.*
*οὐδ' ἔλαθε σκοπόν· ἐν δ' ἄρα μηλοδόκῳ*
*Πυθῶνι τόσσαις ἄιεν ναοῦ βασιλεὺς*
*Λοξίας, κοινᾶνι παρ' εὐθυτάτῳ γνώμαν πιθών,*
*πάντα ϝίσαντι νόῳ· ψευδέων δ' οὐχ ἅπτεται· κλέπτει τέ νιν*
*οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.*

*καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα* *'Αντ. β'.*
*ξεινίαν κοίταν ἄθεμίν τε δόλον, πέμψεν κασιγνήταν μένει*
*θύοισαν ἀμαιμακέτῳ*
*ἐς Λακέρειαν. ἐπεὶ παρὰ Βοιβιάδος*
*κρημνοῖσιν ᾤκει παρθένος. δαίμων δ' ἕτερος*
*ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν· καὶ γειτόνων*
*πολλοὶ ἐπαῦρον, ἀμᾷ δ' ἔφθαρεν, πολλὰν δ' ὄρει πῦρ ἐξ ἑνὸς*
*σπέρματος ἐνθορὸν ἀίστωσεν ὕλαν.*

---

16. *νυμφιδίαν* codd. vett. — 27. *γρ. μηδοδόκῳ* — 28. *γρ. γνώμᾳ* — *πιθὼν* Schmid: *πεπιθών* codd. — 36. *γρ. πολλάν τ'.*

ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ 'Επ. β'.
σύγγονοι κούραν, σέλας δ' ἀμφέδραμεν
λάβρον 'Αφαίστου, τότ' ἔειπεν 'Απόλλων· Οὐκέτι
τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσσαι
οἰκτροτάτῳ θανάτῳ ματρὸς βαρείᾳ σὺν πάθᾳ.
ὣς φάτο· βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' ἐκ νεκροῦ
ἅρπασε· καιομένα δ' αὐτῷ διέφανε πυρά·
καί ῥά νιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι
πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.

τοὺς μὲν ὦν, ὅσσοι μόλον αὐτοφύτων Στρ. γ'.
ἑλκέων ξυνάονες, ἢ πολιῷ χαλκῷ μέλη τετρωμένοι
ἢ χερμάδι τηλεβόλῳ,
ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ
χειμῶνι, λύσαις ἄλλον ἀλλοίων ἀχέων
ἔξαγεν, τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων,
τοὺς δὲ προσανέα πί- νοντας, ἢ γυίοις περάπτων πάντοθεν
φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.

ἀλλὰ κέρδει καὶ σοφία δέδεται, 'Αντ. γ'.
ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶν φανεὶς
ἄνδρ' ἐκ θανάτου κομίσαι
ἤδη ἁλωκότα· χερσὶ δ' ἄρα Κρονίων
ῥίψαις δι' ἀμφοῖν ἀμπνοὰν στέρνων καθέλεν
ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον.

---

43. τριτάτῳ Aristarchus e coniectura, ut videtur, quem secutus Bergkius ut numeris consuleret scripsit τέρτῳ — 44. γρ. διέφαινε.

*χρὴ τὰ ϝεοικότα πὰρ δαιμόνων μαστευέμεν θνα-*
*ταῖς φρασίν,*
*γνόντα τὸ πὰρ ποδός, οἵας εἰμὲν αἴσας.*

*μή, φίλα ψυχά, βίον ἀθάνατον* Ἐπ. γ'.
*σπεῦδε, τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν.*
*εἰ δὲ σώφρων ἄντρον ἔναι' ἔτι Χείρων, καί τί ϝοι*
*φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι*
*ἁμέτεροι τίθεν· ἰατῆρά τοί κέν νιν πίθον*
*καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων*
*ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος.*
*καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τέμνων θάλασσαν*
*Ἀρέθουσαν ἐπὶ κράναν παρ' Αἰτναῖον ξένον,*

*ὃς Συρακόσσαισι νέμει βασιλεὺς* Στρ. δ'.
*πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ*
*θαυμαστὸς πατήρ.*
*τῷ μὲν διδύμας χάριτας*
*εἰ κατέβαν ὑγίειαν ἄγων χρυσέαν*
*κῶμόν τ' ἀέθλων Πυθίων αἴγλαν στεφάνοις,*
*τοὺς ἀριστεύων Φερένικος ἕλ' ἐν Κίρρᾳ ποτέ,*
*ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ*
*φάος*
*ἐξικόμαν κε βαθὺν πόντον περάσαις.*

*ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω* Ἀντ. δ'.
*Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ*
*μέλπονται θαμὰ*
*σεμνὰν θεὸν ἐννύχιαι.*
*εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων,*
*ὀρθὰν ἐπίστα, μανθάνων οἶσθα προτέρων·*

---

70. fort.: *Συρακόσσας διέπει* — 71. γρ. *τε.*

ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς
ἀθάνατοι· τὰ μὲν ὦν οὐ δύνανται νήπιοι κόσμῳ
φέρειν,
ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.

τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται. Ἐπ. δ'.
λαγέταν γάρ τοι τύραννον δέρκεται,
εἴ τιν' ἀνθρώπων, ὁ μέγας πότμος. αἰὼν δ'
ἀσφαλὴς
οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ
οὔτε παρ' ἀντιθέῳ Κάδμῳ· λέγονται μὰν βροτῶν
ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε καὶ χρυσαμπύκων
μελπομενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις
ἄιον Θήβαις, ὁπόθ' Ἁρμονίαν γᾶμεν βοῶπιν,
ὁ δὲ Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν.

καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις, Στρ. ε'.
καὶ Κρόνου παῖδας βασιλῆας ἴδον χρυσέαις ἐν
ἕδραις, ἕδνα τε
δέξαντο· Διὸς δὲ χάριν
ἐκ προτέρων μεταμειψάμενοι καμάτων
ἔστασαν ὀρθὰν καρδίαν. ἐν δ' αὖτε χρόνῳ
τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις
εὐφροσύνας μέρος αἱ τρεῖς· ἀτὰρ λευκωλένῳ γε
Ζεὺς πατὴρ
ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.

τοῦ δὲ παῖς, ὅνπερ μόνον ἀθανάτα Ἀντ. ε'.
τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ τόξοις ἀπὸ ψυχὰν
λιπὼν

---

81. δαίοντι Mommsen — 85. γρ. γὰρ τύραννον — 88. γε μάν codd. vett. — 98. γ' αὖ Hermann.

ὦρσεν πυρὶ καιόμενος
ἐκ Δαναῶν γόον. εἰ δὲ νόῳ τις ἔχει
θνατῶν ἀλαθείας ὁδόν, χρὴ πρὸς μακάρων
τυγχάνοντ' εὖ πασχέμεν. ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ
ὑψιπετᾶν ἀνέμων. ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται,
πάμπολυς εὖτ' ἂν ἐπιβρίσαις ἕπηται.

σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις ’Επ. ε'.
ἔσσομαι· τὸν ἀμφέποντ' αἰεὶ φρασὶν
δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν.
εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι,
ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω.
Νέστορα καὶ Λύκιον Σαρπηδόν', ἀνθρώπων φάτις,
ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ
ἅρμοσαν, γινώσκομεν. ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς
χρονία τελέθει. παύροις δὲ πράξασθ' εὐμαρές.

---

## ΠΥΘΙΟΝΙΚΑΙ Δ'.

# ΑΡΚΕΣΙΛΑι ΚΥΡΗΝΑΙΩι

### ΑΡΜΑΤΙ.

466 B.C.

Strophae.

–̱″ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–̱″ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–̱″ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –̣ ⏑ – ⏓
–̱″ ⏑⏑ – ⏑⏑ – ⏑⏑ – –́ ⏑ – ⏓
–̱″ ⏑⏑ –́ ⏑⏑ – – –́ ⏑ – ⏓ –̣ ⏑ ⏓
–̱″ ⏑ – – –̣ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏑⏑ ⏓
–̱″ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –́ ⏑ ⏓
⏖″ ⏑ – ⏓ –́ ⏑ – ⏓ …

---

106. πάμπολυς Dissen: ὃς πολύς codd. — 110. πότμον Hartung.

Epodi.



Σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ Στρ. α'.
στᾶμεν, εὐίππου βασιλῆι Κυράνας, ὄφρα κωμάζοντι
σὺν Ἀρκεσίλᾳ,
Μοῖσα, Λατοίδαισιν ὀφειλόμενον Πυθῶνί τ' αὔξῃς
οὖρον ὕμνων,
ἔνθα ποτὲ χρυσέων Διὸς αἰητῶν πάρεδρος
οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος ἱέρεια
χρῆσεν οἰκιστῆρα Βάττον καρποφόρου Λιβύας, ἱερὰν
νᾶσον ὡς ἤδη λιπὼν κτίσσειεν εὐ- άρματον
πόλιν ἐν ἀργινόεντι μαστῷ,

καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι Ἀντ. α'.
ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θήραιον, Αἰήτα τό
ποτε ζαμενὴς
παῖς ἀπέπνευσ' ἀθανάτου στόματος, δέσποινα Κόλ-
χων. εἶπε δ' οὕτως
ἡμιθέοισιν Ἰάσονος αἰχματᾶο ναύταις·
Κέκλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν·
φαμὶ γὰρ τᾶσδ' ἐξ ἁλιπλάκτου ποτὲ γᾶς Ἐπάφοιο
κόραν

Aesch. Suppl. 310

4. αἰετῶν codd. vett. ὀρνίχων Heyne — 5. γρ. ἱερέα — 8. ἀργάεντι Hermann — 9. ἀγκομίσαι scholiasta interpretari videtur: ἀγκομίσαι θ' codd. — 11. γρ. ἁλιπλάγκτου.

ἀστέων ῥίζαν φυτεύσεσθαι μελη- σίμβροτον
Διὸς ἐν Ἄμμωνος θεμέθλοις.

Ἐπ. α'.

ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων ἵππους ἀμείψαντες θοάς,
ἀνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν ἀελλόποδας.
κεῖνος ὄρνις ἐκτελευτάσει μεγαλᾶν πολίων
ματρόπολιν Θήραν γενέσθαι, τόν ποτε Τριτωνίδος ἐν προχοαῖς
λίμνας θεῷ ἀνέρι ϝειδομένῳ γαῖαν διδόντι
ξείνια πρῴραθεν Εὔφαμος καταβὰς
δέξατ'· αἴσιον δ' ἐπί ϝοι Κρονίων Ζεὺς πατὴρ ἔκλαγξε βροντάν·

ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν Στρ. β'.
ναῖ κρημνάντων ἐπέτοσσε, θοᾶς Ἀργοῦς χαλινόν.
δώδεκα δὲ πρότερον
ἁμέρας ἐξ Ὠκεανοῦ φέρομεν νώτων ὕπερ γαίας ἐρήμων
εἰνάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἁμοῖς.
τουτάκι δ' οἰοπόλος δαίμων ἐπῆλθεν, φαιδίμαν
ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος· φιλίων δ' ἐπέων
ἄρχετο, ξείνοις ἅτ' ἐλθόντεσσιν εὐ- εργέται
δεῖπν' ἐπαγγέλλοντι πρῶτον.

ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ Ἀντ. β'.
κώλυεν μεῖναι. φάτο δ' Εὐρύπυλος Γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα

15. μελησιμβρότων malo — 19. γρ. μεγάλαν — 26. ἐγήμου scholiasta interpretatur — 27. γρ. ὠμοῖς — 30. γρ. ἄρχεται.

ἔμμεναι· γίνωσκε δ' ἐπειγομένους· ἂν δ' εὐθὺς
ἁρπάξαις ἀρούρας
δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι.
οὐδ' ἀπίθησέ Ϝιν, ἀλλ' ἥρως ἐπ' ἀκταῖσιν θορὼν
χειρί Ϝοι χεῖρ' ἀντερείσαις δέξατο βώλακα δαιμο-
νίαν.
πεύθομαι δ' αὐτὰν κατακλυσθεῖσαν ἐκ δούρατος
ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ

Ἐπ. β΄.

ἑσπέρας, ὑγρῷ πελάγει σπομέναν. ἦ μάν νιν ὤτρυ-
νον θαμὰ
λυσιπόνοις θεραπόντεσσιν φυλάξαι· τῶν δ' ἐλά-
θοντο φρένες·
καί νυν ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας
εὐρυχόρου σπέρμα πρὶν ὥρας. εἰ γὰρ οἴκοι νιν βάλε
πὰρ χθόνιον
Ἅιδα στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών,
υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ,
τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ τίκτε Καφισοῦ
παρ' ὄχθαις·

Στρ. γ΄.

τετράτων παίδων κ' ἐπιγεινομένων
αἷμά Ϝοι κείναν λάβε σὺν Δαναοῖς εὐρεῖαν ἄπειρον.
τότε γὰρ μεγάλας
ἐξανίστανται Λακεδαίμονος Ἀργείου τε κόλπου καὶ
Μυκηνᾶν.
νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν
ἐν λέχεσιν γένος, οἵ κεν τάνδε σὺν τιμᾷ θεῶν
νᾶσον ἐλθόντες τέκωνται φῶτα κελαινεφέων πεδίων

---

36. ἀπίθησέ νιν codd. ἵν restituit Hermann — 39. ἐναλίαν Thiersch: ἐναλίᾳ codd. — 42. γρ. ἀφθίτῳ.

*δεσπόταν· τὸν μὲν πολυχρύσῳ ποτ' ἐν δώματι*
*Φοῖβος ἀμνάσει θέμισσιν*

*Πύθιον ναὸν καταβάντα χρόνῳ* *'Αντ. γ'.*
*ὑστέρῳ νάεσσι πολεῖς ἀγαγεῖν Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα.*
*ἦ ῥα Μηδείας ἐπέων στίχες. ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ*
*ἥρωες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες.*
*ὦ μάκαρ υἱὲ Πολυμνάστου, σὲ δ' ἐν τούτῳ λόγῳ*
*χρησμὸς ὤρθωσεν μελίσσας Δελφίδος αὐτομάτῳ κελάδῳ·*
*ἅ σε χαίρειν ἐστρὶς αὐδάσαισα πε- πρωμένον*
*βασιλέ' ἄμφανεν Κυράνᾳ,*

*'Επ. γ'.*
*δυσθρόου φωνᾶς ἀνακρινόμενον ποινὰ τίς ἔσται πρὸς θεῶν.*
*ἦ μάλα δὴ μετὰ καὶ νῦν, ὥτε φοινικανθέμου ἦρος ἀκμᾷ,*
*παισὶ τούτοις ὄγδοον θάλλει μέρος 'Αρκεσίλας·*
*τῷ μὲν 'Απόλλων ἅ τε Πυθὼ κῦδος ἐξ ἀμφικτιόνων ἔπορεν*
*ἱπποδρομίας. ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω*
*καὶ τὸ πάγχρυσον νάκος κριοῦ· μετὰ γὰρ*
*κεῖνο πλευσάντων Μινυᾶν, θεόπομ- ποί σφισιν τιμαὶ φύτευθεν.*

*τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας;* *Στρ. δ'.*
*τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος δῆσεν ἅλοις; θέσφατον ἦν Πελίαν*

---

55. *χρόνῳ* Schmid: *χρόνῳ δ'* codd. — 57. *αἶ ῥα* Boeckh — 62. *γρ. Κυράνας* — 65. *μέλος* codd. dett.

ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χείρεσσιν ἢ βουλαῖς ἀκάμπτοις.
ἦλθε δέ ϝοι κρυόεν πυκινῷ μάντευμα θυμῷ,
πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος·
τὸν μονοκρήπιδα πάντως ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,
εὖτ' ἂν αἰπεινῶν ἀπὸ σταθμῶν ἐς εὐ- δείελον
χθόνα μόλῃ κλειτᾶς Ἰωλκοῦ,

ξεῖνος αἴτ' ὦν ἀστός. ὁ δ' ἄρα χρόνῳ *Ἀντ. δ'.*
ἵκετ' αἰχμαῖσιν διδύμαισιν ἀνὴρ ἔκπαγλος· ἐσθὰς δ' ἀμφοτέρα νιν ἔχεν,
ἅ τε Μαγνήτων ἐπιχώριος ἁρμόζοισα θαητοῖσι γυίοις,
ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους·
οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ' ἀγλαοί,
ἀλλ' ἅπαν νῶτον καταίθυσσον. τάχα δ' εὐθὺς ἰὼν σφετέρας
ἐστάθη γνώμας ἀταρβάκτοιο πει- ρώμενος
ἐν ἀγορᾷ πλήθοντος ὄχλου.

*Ἐπ. δ'.*

τὸν μὲν οὐ γίνωσκον· ὀπιζομένων δ' ἔμπας τις εἶπεν καὶ τόδε·
Οὔτι που οὗτος Ἀπόλλων, οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
Ἀφροδίτας· ἐν δὲ Νάξῳ φαντὶ θανεῖν λιπαρᾷ
Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σέ, τολμάεις Ἐφιάλτα ϝάναξ.
καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν,

---

79. αμφοτέρα schol.: *ἀμφότερον* codd. mell. — 82. *ᾤχοντ'* *Boeckh:* *οἴχοντ'* codd. — 84. *ἀταρμύκτοιο* Hermann.

ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον,
ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτά- των ἐπιψαύειν
ἔραται.

τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι Στρ. ε'.
γᾶρυν τοιαῦτ'· ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ
προτροπάδαν Πελίας
ἵκετο σπεύδων· τάφε δ' αὐτίκα παπτάναις ἀρί-
γνωτον πέδιλον
δεξιτερῷ μόνον ἀμφὶ ποδί. κλέπτων δὲ θυμῷ
δεῖμα προσέννεπε· Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι
πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώπων σε χαμαιγενέων
πολιᾶς
ἐξανῆκεν γαστρός; ἐχθίστοισι μὴ ψεύδεσιν
καταμιάναις εἰπὲ γένναν.

τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις Ἀντ. ε'.
ὧδ' ἀμείφθη· Φαμὶ διδασκαλίαν Χείρωνος οἴσειν.
ἄντροθε γὰρ νέομαι
πὰρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κενταύρου με
κοῦραι θρέψαν ἁγναί.
εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτοὺς οὔτε ϝέργον
οὔτ' ἔπος ἐκτράπελον κείνοισιν εἰπὼν ἱκόμαν
οἴκαδ', ἀρχαίαν κομίζων πατρὸς ἐμοῦ βασιλευομέναν
οὐ κατ' αἶσαν, τάν ποτε Ζεὺς ὤπασεν λαγέτᾳ
Αἰόλῳ καὶ παισί, τιμάν.

Ἐπ. ε'.
πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν λευκαῖς πιθή-
σαντα φρασὶν

---

94. γρ. ἐπὶ — 99. ἐχθίστοις σε Mingarelli — 105. ἐκτράπελον Heyne schol. secutus: ἐντράπελον codd. vett. εὐτράπελον cod. Perusinus — 106. ἀρχὰν ἀγκομίζων Chaeris.

*ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·*
*τοί μ', ἐπεὶ πάμπρωτον εἶδον φέγγος, ὑπερφιάλου*
*ἁγεμόνος δείσαντες ὕβριν, κᾶδος ὡσείτε φθιμένου*
*δνοφερὸν*
*ἐν δώμασι θηκάμενοι μίγα κωκυτῷ γυναικῶν*
*κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις,*
*νυκτὶ κοινάσαντες ὁδόν, Κρονίδᾳ δὲ τράφειν Χεί-*
*ρωνι δῶκαν.*

*ἀλλὰ τούτων μὲν κεφάλαια λόγων* Στρ. ς'.
*ἴστε. λευκίππων δὲ δόμους πατέρων, κεδνοὶ πολῖται,*
*φράσσατέ μοι σαφέως·*
*Αἴσονος γὰρ παῖς ἐπιχώριος οὐχ ἵκω ξέναν μὰν*
*γαῖαν ἄλλων.*
*Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσηύδα.*
*ὣς φάτο. τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός.*
*ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν δάκρυα γηραλέων*
*γλεφάρων·*
*ἂν περὶ ψυχὰν ἐπεὶ γάθησεν ἐξ-* *αίρετον*
*γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.*

*καὶ κασίγνητοί σφισιν ἀμφότεροι* Ἀντ. ς'.
*ἤλυθον κείνου γε κατὰ κλέος· ἐγγὺς μὲν Φέρης*
*κράναν Ὑπερῇδα λιπών,*
*ἐκ δὲ Μεσσάνας Ἀμυθάν· ταχέως δ' Ἄδματος ἷκεν*
*καὶ Μέλαμπος*
*εὐμενέοντες ἀνεψιόν. ἐν δαιτὸς δὲ μοίρᾳ*
*μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγμενος,*

---

110. *ἁμετέρων . . . ἀρχεδικᾶν* Chaeris: *ἁμετέραν . . . ἀρχεδίκαν* Didymus, ut videtur, defendebat — 113. *γρ. μετά* 118. *οὐχ ἵκω ξέναν μάν* Christ: *οὐ ξείναν ἱκόμαν* codd. *οὐ ξείναν ἱκοίμαν* Hermann — 126. *γρ. ἥκεν.*

ξείνι' ἁρμόζοντα τεύχων, πᾶσαν εὐφροσύναν τάνυεν,
ἀθρόαις πέντε δραπὼν νύκτεσσιν ἔν θ' ἁμέραις
ἱερὸν εὐζωᾶς ἄωτον.

'Επ. ς'.

ἀλλ' ἐν ἕκτᾳ πάντα, λόγον θέμενος σπουδαῖον, ἐξ ἀρχᾶς ἀνὴρ
συγγενέσιν παρεκοινᾶθ'· οἱ δ' ἐπέσποντ'. αἶψα δ' ἀπὸ κλισιᾶν
ὦρτο σὺν κείνοισι. καί ῥ' ἦλθον Πελία μέγαρον,
ἐσσύμενοι δ' εἴσω κατέσταν. τῶν δ' ἀκούσαις αὐτὸς ὑπαντίασεν
Τυροῦς ἐρασιπλοκάμου γενεά· πραῢν δ' Ἰάσων
μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον
βάλλετο κρηπῖδα σοφῶν ἐπέων· Παῖ Ποσειδᾶνος Πετραίου,

ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι Στρ. ζ'.
κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον, τραχεῖαν ἑρπόντων πρὸς ἐπίβδαν ὅμως·
ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους ὀργὰς ὑφαίνειν λοιπὸν ὄλβον.
εἰδότι τοι ϝερέω· μία βοῦς Κρηθεῖ τε μάτηρ
καὶ θρασυμήδεϊ Σαλμωνεῖ· τρίταισιν δ' ἐν γοναῖς
ἄμμες αὖ κείνων φυτευθέντες σθένος ἀελίου χρύσεον
λεύσσομεν. Μοῖραι δ' ἀφίσταντ', εἴ τις ἔχθρα πέλει
ὁμογόνοις, αἰδῶ καλύψαι.

---

129. εὐφροσύναν cod. Vatic.: ἐς εὐφροσύναν codd. rell. — 131. εὐζωίας vel εὐσοίας mavult Bergk — 134. γρ. ἦλθεν — 145. ἀφίσταιντ' Chaeris.

*οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν* *'Αντ. ζ'.*
*οὐδ' ἀκόντεσσιν μεγάλαν προγόνων τιμὰν δάσασθαι.*
*μῆλά τε γάρ τοι ἐγὼ*
*καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίημ' ἀγρούς τε πάντας,*
*τοὺς ἀπούραις*
*ἁμετέρων τοκέων νέμεαι, πλοῦτον πιαίνων·*
*κού με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ' ἄγαν,*
*ἀλλὰ καὶ σκᾶπτον μόναρχον καὶ θρόνος, ᾧ ποτε*
*Κρηθεΐδας*
*ἐγκαθίζων ἱππόταις εὔθυνε λα- οῖς δίκας,*
*τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας*

*'Επ. ζ'.*
*λῦσον ἄμμιν, μή τι νεώτερον ἐξ αὐτῶν ἀναστάσῃς*
*κακόν.*
*ὣς ἄρ' ἔειπεν. ἀκᾷ δ' ἀνταγόρευσεν καὶ Πελίας·*
*Ἔσομαι*
*τοῖος. ἀλλ' ἤδη με γηραιὸν μέρος ἁλικίας*
*ἀμφιπολεῖ· σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει· δύ-*
*νασαι δ' ἀφελεῖν*
*μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι*
*Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους,*
*δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν, τῷ ποτ' ἐκ*
*πόντου σαώθη*

*ἔκ τε ματρυιᾶς ἀθέων βελέων.* *Στρ. η'.*
*ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φωνεῖ. μεμάν-*
*τευμαι δ' ἐπὶ Κασταλίᾳ,*
*εἰ μετάλλατόν τι. καὶ ὡς τάχος ὀτρύνει με τεύχειν*
*ναῒ πομπάν.*

---

155. ante *ἄμμιν* alii interpungunt — *ἀναστάσῃς* Schnitzer: *ἀναστήσῃς* vel *ἀναστήσῃ* codd. *ἀνασταίῃ* Ahrens — 157. *τοιοῦτος* codd. vett. — 163. *φώνει* scholiasta interpretatur.

τοῦτον ἄεθλον ἑκὼν τέλεσον· καί τοι μοναρχεῖν
καὶ βασιλευέμεν ὄμνυμι προήσειν. καρτερὸς
ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμφο-
τέροις.
σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ μὲν κρίθεν·
ἀτὰρ Ἰάσων αὐτὸς ἤδη

Ἀντ. η'.

ὤρνυεν κάρυκας ἐόντα πλόον
φαινέμεν παντᾷ. τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ
τρεῖς ἀκαμαντομάχαι
ἦλθον Ἀλκμήνας θ' ἑλικοβλεφάρου Λήδας τε, δοιοὶ
δ' ὑψιχαῖται
ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν,
ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου. τῶν μὲν κλέος
ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν'
εὐρυβία.
ἐξ Ἀπόλλωνος δὲ φορμικτὰς ἀοι- δᾶν πατὴρ
ἔμολεν, εὐαίνητος Ὀρφεύς.

Ἐπ. η'.

πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ'
ἄτρυτον πόνον,
τὸν μὲν Ἐχίονα, κεχλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυτον.
ταχέες
δ' ἀμφὶ Παγγαίου θεμέθλοις ναιετάοντες ἔβαν·
καὶ γὰρ ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔντυεν βα-
σιλεὺς ἀνέμων
Ζήταν Κάλαΐν τε πατὴρ Βορέας, ἄνδρας πτεροῖσιν

173. fort: γενεά, βλέποντες — 179. ταχέως codd. dett. — 180. δ' eiecit Boeckh — θεμέθλοις Boeckh: θέμεθλα codd. alii, alii omittunt.

νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.
τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα

ναὸς Ἀργοῦς, μή τινα λειπόμενον Στρ. θ'.
τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ', ἀλλ' ἐπὶ καὶ θανάτῳ
φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις.
ἐς δὲ Ἰωλκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος,
λέξατο πάντας ἐπαινήσαις Ἰάσων. καί ῥά ϝοι
μάντις ὀρνίχεσσι καὶ κλάροισι θεοπροπέων ἱεροῖς
Μόψος ἄμβασε στρατὸν πρόφρων. ἐπεὶ δ' ἐμβόλου
κρέμασαν ἀγκύρας ὕπερθεν,

χρυσέαν χείρεσσι λαβὼν φιάλαν Ἀντ. θ'.
ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν ἐγχεικέραυνον Ζῆνα, καὶ ὠκυπόρους
κυμάτων ῥιπὰς ἀνέμων τ' ἐκάλει, νύκτας τε καὶ πόντου κελεύθους
ἄματά τ' εὔφρονα καὶ φιλίαν νόστοιο μοῖραν·
ἐκ νεφέων δέ ϝοι ἀντάυσε βροντᾶς αἴσιον
φθέγμα· λαμπραὶ δ' ἦλθον ἀκτῖνες στεροπᾶς ἀπορηγνύμεναι.
ἀμπνοὰν δ' ἥρωες ἔστασαν θεοῦ σάμασιν
πιθόμενοι· κάρυξε δ' αὐτοῖς

Ἐπ. θ'.
ἐμβαλεῖν κώπαισι τερασκόπος ἁδείας ἐνίπτων ἐλπίδας·

---

184. γρ. παμπληθῆ — πόθον τόνδ' αὖεν Emperius — *188.* γρ. κατέβαν — 195. ἀνέμους codd. mell.

*εἰρεσία δ' ὑπεχώρησεν ταχειᾶν ἐκ παλαμᾶν ἄκο-*
*ρος.*
*σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμ-*
*πόμενοι*
*ἤλυθον· ἔνθ' ἁγνὸν Ποσειδάωνος ἕσσαντ' εἰναλίου*
*τέμενος,*
*φοίνισσα δὲ Θρηικίων ἀγέλα ταύρων ὑπᾶρχεν*
*καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ.*
*ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι δεσπόταν λίσσοντο*
*ναῶν,*

*συνδρόμων κινηθμὸν ἀμαιμάκετον* Στρ. ι'.
*ἐκφυγεῖν πετρᾶν. δίδυμοι γὰρ ἔσαν ζωαί, κυλιν-*
*δέσκοντό τε κραιπνότεραι*
*ἢ βαρυγδούπων ἀνέμων στίχες· ἀλλ' ἤδη τελευτὰν*
*κεῖνος αὐταῖς*
*ἡμιθέων πλόος ἄγαγεν. ἐς Φᾶσιν δ' ἔπειτεν*
*ἤλυθον· ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν*
*μεῖξαν Αἰήτᾳ παρ' αὐτῷ. πότνια δ' ὠκυτάτων βε-*
*λέων*
*ποικίλαν ἴυγγα τετράκναμον Οὐ- λυμπόθεν*
*ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ*

*μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν* Ἀντ. ι'.
*πρῶτον ἀνθρώποισι, λιτάς τ' ἐπαοιδὰς ἐκδιδάσκησεν*
*σοφὸν Αἰσονίδαν·*
*ὄφρα Μηδείας τοκέων ἀφέλοιτ' αἰδῶ, ποθεινὰ δ'*
*Ἑλλὰς αὐτὰν*
*ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς.*

---

203. γρ. *Εὐξείνου.* — 206. *λίθων* codd. interpoll. *λίθινον* codd. vett. unde *θέναρ βωμοῦ λίθινον* Ahlwardt — 208. γρ. *σύνδρομον* — 209. γρ. *δίδυμαι* — 211. γρ. *ἔπειτ' ἀνήλυθον* — 213. γρ. *ὀξυτάτων.*

καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν πατρωίων·
σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα στερεᾶν
ὀδυνᾶν
δῶκε χρίεσθαι. καταίνησάν τε κοι- νὸν γάμον
γλυκὺν ἐν ἀλλάλοισι μῖξαι.

Ἐπ. ι'.

ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον
σμψατο
καὶ βόας, οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον
καιομένοιο πυρός,
χαλκέαις δ' ὁπλαῖς ἀράσσεσκον χθόν' ἀμειβόμενοι·
τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος. ὀρθὰς δ'
αὔλακας ἐντανύσαις
ἤλαυν', ἀνὰ βωλακίας δ' ὀρόγυιαν σχίζε νῶτον
γᾶς. ἔειπεν δ' ὧδε· Τοῦτ' ἔργον βασιλεύς,
ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις ἄφθιτον στρωμνὰν
ἀγέσθω,

κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ. Στρ. ια'.

ὣς ἄρ' αὐδάσαντος ἀπὸ κρόκεον ῥίψαις Ἰάσων εἷμα
θεῷ πίσυνος
εἴχετ' ἔργου· πῦρ δέ νιν οὐκ ἐόλει παμφαρμάκου
ξείνας ἐφετμαῖς.
σπασσάμενος δ' ἄροτρον, βοέους δήσαις ἀνάγκας
ἔντεσιν αὐχένας ἐμβάλλων τ' ἐριπλεύρῳ φυᾷ
κέντρον αἰανὲς βιατὰς ἐξεπόνασ' ἐπιτακτὸν ἀνὴρ
μέτρον. ἴυξεν δ' ἀφωνήτῳ περ ἔμ- πας ἄχει
δύνασιν Αἰήτας ἀγασθείς.

---

223. γρ. μίξειν — 225. γενύων codd.: γνάθων Boeckh — 228. γρ. ἀναβωλακίας — 232. γρ. κροκόεν — 233. ἐόλει Boeckh: αἰόλλει codd. — 234. γρ. βοέοις — γρ. δῆσεν — ἀνάγκαις codd. dett.

*Ἀντ. ια'.*

*πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας*
*ὤρεγον χεῖρας, στεφάνοισί τέ νιν ποίας ἔρεπτον,*
*μειλιχίοις τε λόγοις*
*ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱὸς*
*δέρμα λαμπρὸν*
*ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι·*
*ἤλπετο δ' οὐκέτι ϝοι κεῖνόν γε πράξασθαι πόνον.*
*κεῖτο γὰρ λόχμᾳ, δράκοντος δ' εἴχετο λαβροτατᾶν*
*γενύων,*
*ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει,*
*τέλεσαν ἂν πλαγαὶ σιδάρου.*

*Ἐπ. ια'.*

*μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥρα γὰρ συν-*
*άπτει καί τινα*
*οἶμον ἴσαμι βραχύν· πολλοῖσι δ' ἄγημαι σοφίας*
*ἑτέροις.*
*κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν,*
*ὦ 'ρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐτᾷ, τὰν Πε-*
*λίαο φόνον·*
*ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ*
*Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων·*
*ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί- ξαντο ϝῖν' ἐσθᾶτος*
*ἀμφίς,*
*καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς* *Στρ. ιβ'.*
*σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνος ὄλβου*
*δέξατο μοιρίδιον*

---

243. *πράξεσθαι* Hermann — 244. fort.: *λαβροτάταις γέννσιν* — 250. *γρ. αὐτῷ* — 253. *ϝῖν'* in quod et ipse incideram Kayser nuper commendavit: *κρίσιν* codd. — 255. *σπέρμ'* Hermann: *περ* codd. — *ἀκτῖνος* Hermann: *ἀκτῖνας* codd. *τ' ἀκτῖνας* Kayser — *γρ. ὄλβον* et *ὄλβῳ*.

*καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν πατρῴων·*
*σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα στερεᾶν*
*ὀδυνᾶν*
*δῶκε χρίεσθαι. καταίνησάν τε κοι- νὸν γάμον*
*γλυκὺν ἐν ἀλλάλοισι μῖξαι.*

*Ἐπ. ι'.*

*ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον*
*σκίμψατο*
*καὶ βόας, οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον*
*καιομένοιο πυρός,*
*χαλκέαις δ' ὁπλαῖς ἀράσσεσκον χθόν' ἀμειβόμενοι·*
*τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος. ὀρθὰς δ'*
*αὔλακας ἐντανύσαις*
*ἤλαυν', ἀνὰ βωλακίας δ' ὀρόγυιαν σχίζε νῶτον*
*γᾶς. ἔειπεν δ' ὧδε· Τοῦτ' ἔργον βασιλεύς,*
*ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις ἄφθιτον στρωμνὰν*
*ἀγέσθω,*

*κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ. Στρ. ια'.*
*ὣς ἄρ' αὐδάσαντος ἀπὸ κρόκεον ῥίψαις Ἰάσων εἷμα*
*θεῷ πίσυνος*
*εἴχετ' ἔργου· πῦρ δέ νιν οὐκ ἐόλει παμφαρμάκου*
*ξείνας ἐφετμαῖς.*
*σπασσάμενος δ' ἄροτρον, βοέους δήσαις ἀνάγκας*
*ἔντεσιν αὐχένας ἐμβάλλων τ' ἐριπλεύρῳ φυᾷ*
*κέντρον αἰανὲς βιατὰς ἐξεπόνασ' ἐπιτακτὸν ἀνὴρ*
*μέτρον. ἴυξεν δ' ἀφωνήτῳ περ ἔμ- πας ἄχει*
*δύνασιν Αἰήτας ἀγασθείς.*

---

223. γρ. *μίξειν* — 225. *γενύων* codd.: *γνάθων* Boeckh — 228. γρ. *ἀναβωλακίας* — 232. γρ. *κροκόεν* — 233. *ἐόλει* Boeckh: *αἰόλλει* codd. — 234. γρ. *βοέοις* — γρ. *δῆσεν* — *ἀνάγκαις* codd. dett.

*'Αντ. ια'.*

πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
ὤρεγον χεῖρας, στεφάνοισί τέ νιν ποίας ἔρεπτον,
μειλιχίοις τε λόγοις
ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱὸς
δέρμα λαμπρὸν
ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι·
ἤλπετο δ' οὐκέτι ϝοι κεῖνόν γε πράξασθαι πόνον.
κεῖτο γὰρ λόχμᾳ, δράκοντος δ' εἴχετο λαβροτατᾶν
γενύων,
ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει,
τέλεσαν ἃν πλαγαὶ σιδάρου.

*'Επ. ια'.*

μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥρα γὰρ συν-
άπτει καί τινα
οἶμον ἴσαμι βραχύν· πολλοῖσι δ' ἅγημαι σοφίας
ἑτέροις.
κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν,
ὦ 'ρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐτᾷ, τὰν Πε-
λίαο φόνον·
ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ
Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων·
ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί- ξαντο ϝὶν' ἐσθᾶτος
ἀμφίς,
καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς *Στρ. ιβ'.*
σπέρμ' ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνος ὄλβου
δέξατο μοιρίδιον

---

243. πράξεσθαι Hermann — 244. fort.: λαβροτάταις γέ-νυσιν — 250. γρ. αὐτῷ — 253. ϝὶν' in quod et ipse incideram Kayser nuper commendavit: κρίσιν codd. — 255. σπέρμ' Hermann: περ codd. — ἀκτῖνος Hermann: ἀκτῖνας codd. τ' ἀκτῖνας Kayser — γρ. ὄλβον et ὄλβῳ.

ἆμαρ ἢ νύκτες. τόθι γὰρ γένος Εὐφάμου φυτευθὲν
λοιπὸν αἰεὶ
τέλλετο· καὶ Λακεδαιμονίων μιχθέντες ἀνδρῶν
ἤθεσι τάν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ
νᾶσον· ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν Λιβύας
πεδίον
σὺν θεῶν τιμαῖς ὀφέλλειν κἄστυ χρυ- σοθρόνου
διανέμειν θεῖον Κυράνας

ὀρθόβουλον μῆτιν ἐφευρομένοις· 'Αντ. ιβ'.
γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν. εἰ γάρ τις ὄζους
ὀξυτόμῳ πελέκει
ἐξερείψῃ μὲν μεγάλας δρυός, αἰσχύνῃ δέ ϝοι θαητὸν
εἶδος·
καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς,
εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον·
ἢ σὺν ὀρθαῖς κιόνεσσιν δεσποσύναισιν ἐρειδομένα
μόχθον ἄλλοις ἀμφέπῃ δύστανον ἐν τείχεσιν,
ἑὸν ἐρημώσαισα χῶρον.

'Επ. ιβ'.
ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος, Παιάν τέ σοι τιμᾷ
φάος.
χρὴ μαλακὰν χέρα προσβάλλοντα τρώμαν ἕλκεος
ἀμφιπολεῖν.
(ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·)
(ἀλλ' ἐπὶ χώρας αὖτις ἕσσαι δυσπαλὲς δὴ γίνεται,)
ἐξαπίνας
(εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται.)

---

256. γρ. νυκτός — 258. τάν Boeckh: ἂν codd. ἐν Chaeris — 260. θεῷ schol. — κἄστυ Dawes: ἄστυ codd. — 263. γρ. ὀξυτάτῳ — 264. ἐξερείψῃ Bergk: ἐξερείψαι codd. — μέν *Hermann:* κεν codd. — 268. ἀμφέπῃ Heyne: ἀμφέπει codd.

τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες.
τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυρά- νας θέμεν σπουδὰν ἅπασαν.

+ Il. XV. 207.

τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος Στρ. ιγ'.
ῥῆμα πόρσυν· ἄγγελον ἐσλὸν ἔφα τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν.
αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας ὀρθᾶς. ἐπέγνω μὲν Κυράνα
καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν
Δαμοφίλου πραπίδων. κεῖνος γὰρ ἐν παισὶν νέος,
ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ,
ὀρφανίζει μὲν κακὰν γλῶσσαν φαεν- νᾶς ὀπός,
ἔμαθε δ' ὑβρίζοντα μισεῖν,

οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς, Ἀντ. ιγ'.
οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.
εὖ νιν ἔγνωκεν· θεράπων δέ ϝοι, οὐ δράστας ὀπαδεῖ. φαντὶ δ' ἔμμεν
τοῦτ' ἀνιαρότατον, καλὰ γινώσκοντ' ἀνάγκᾳ
ἐκτὸς ἔχειν πόδα. καὶ μὰν κεῖνος Ἄτλας οὐρανῷ
προσπαλαίει νῦν γε πατρῴας ἀπὸ γᾶς ἀπό τε κτεάνων·
λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας. ἐν δὲ χρόνῳ
μεταβολαὶ λήξαντος οὔρου

Ἐπ. ιγ'.
ἱστίων. ἀλλ' εὔχεται οὐλομέναν νοῦσον διαντλήσαις ποτὲ

---

275. fort.: ἔξοχ' ἄνονται — 278. πόρσυν' ἄγγελον ἐσλόν ὃ φᾶ proposuit Bergk — 280. Βάττου μέγαρον codd. vett. — 291. ἀφθίτους mavult Bergk.

οἶκον ἰδεῖν, ἐπ' Ἀπόλλωνός τε κράνᾳ συμποσίας ἐφέπων
θυμὸν ἐκδόσθαι πρὸς ἥβαν πολλάκις, ἔν τε σοφοῖς δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις ἡσυχίᾳ θιγέμεν,
μήτ' ὦν τινι πῆμα πορών, ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν.
καί κε μυθήσαιθ' ὁποίαν Ἀρκεσίλᾳ
εὗρε παγὰν ἀμβροσίων ἐπέων, πρόσφατον Θήβᾳ ξενωθείς.

---

## ΠΥΘΙΟΝΙΚΑΙ Ε'.

# ΑΡΚΕΣΙΛᾼ ΚΥΡΗΝΑΙῼ

## ΑΡΜΑΤΙ.

### Strophae.

⏑ –″ ⏑ – –́ ⏑ ⏓
⏑ –″ ⏑ ⏕ –́ ⏑ – ⏑ –́ ⏑⏑ ⏓
⏑ –″ ⏑ ⏑⏑ –́ ⏑ – ⏑⏑ –́ ⏑ – ⏑́⏑ – ⏓
⏑ ⏑⏑ ⏑″⏑ ⏑ ⏓
–″ ⏑ ⏑⏑ –́ ⏑⏑ ⏓
⏑ – –″ ⏑ ⏓
– –″ ⏑ – –́ ⏑⏑ – ⏑ ⏓
⏑ – –́ ⏑ – ⏑⏑ – ⏑ ⏓
⏑ –″ ⏑ – –́ ⏑ – –́ ⏑ ⏓
–″ ⏑ – –́ ⏑⏑ – ⏑́⏑ ⏑ – –́ ⏑ –
⏑ –″ – –́ ⏑ – ⏑ – ⏑ –

---

Strophae versum septimum duos in versiculos – – ⏒ et – – ⏑⏑ – ⏑ – iusto breviores Hermannus discerpsit; decimum et undecimum Boeckhius in altera editione coniunxit.

Epodi.



ʽΟ πλοῦτος εὐρυσθενής, *Στρ. α'*
ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ
βροτήσιος ἀ-
νὴρ πότμου παραδόντος αὐ- τὸν ἀνάγῃ
πολύφιλον ἑπέταν.
ὦ θεόμορ' Ἀρκεσίλα,
σύ τοί νιν κλυτᾶς
αἰῶνος ἀκρᾶν βαθμίδων ἄπο
σὺν εὐδοξίᾳ μετανίσσεαι
ἕκατι χρυσαρμάτου Κάστορος,
εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεὰν
κάτ' αἰθύσσει μάκαιραν ἑστίαν.

σοφοὶ δέ τοι κάλλιον *Ἀντ. α'.*
φέροντι καὶ τὰν θεόσδοτον δύναμιν.
σὲ δ' ἐρχόμενον
ἐν δίκᾳ· πολὺς ὄλβος ἀμ- φινέμεται·
τὸ μὲν ὅτι βασιλεὺς
ἐσσὶ μεγαλᾶν πολίων,
ἔχει συγγενὲς

---

2. ὀργᾷ Hermann — 6. γρ. νυν — 10. εὐδιανὸς J. G. Schneider — γρ. ἐάν — 11. καταιθύσσει vulgo — 17. ἐπεί Hermann — συγγενές Rauchenstein: συγγενής codd. et schol.

*ὀφθαλμὸς αἰδοιότατον γέρας,*
*τεᾷ τοῦτο μιγνύμενον φρενί·*
*μάκαρ δὲ καὶ νῦν, κλεεννᾶς ὅτι*
*εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλὼν*
*δέδεξαι τόνδε κῶμον ἀνέρων,*

*'Επ. α'.*

*'Απολλώνιον ἄθυρμα. τῷ σε μὴ λαθέτω*
*Κυράνᾳ γλυκὺν ἀμφὶ κᾶπον*
*'Αφροδίτας ἀειδόμενον*
*παντὶ μὲν θεὸν αἴ- τιον ὑπερτιθέμεν,*
*φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων,*
*ὃς οὐ τὰν 'Επιμαθέος ἄγων*
*ὀψινόου θυγατέρα πρόφασιν Βαττιδᾶν*
*ἀφίκετο δόμους θεμισκρεόντων·*
*ἀλλ' ἀρισθάρματον*
*ὕδατι Κασταλίας ξενω-*
*θεὶς γέρας ἀμφέβαλε τεαῖσιν κόμαις*

*ἀκηράτοις ἁνίαις* *Στρ. β'.*
*ποταρκέων δώδεκ' ἂν δρόμων τέμενος.*
*κατέκλασε γὰρ*
*ἐντέων σθένος οὐδέν· ἀλ- λὰ κρέμαται,*
*ὁπόσα χεριαρᾶν*
*τεκτόνων δαίδαλ' ἄγων*
*Κρισαῖον λόφον*
*ἄμειψεν ἐν κοιλόπεδον νάπος*

18. *αἰδοιότατον* Schmid: *αἰδοιέστατον* codd. — 23. *σε μή* Schmid: *μή σε* codd. vett. — 24. *Κυράνᾳ* Schmid: *Κυράνα* codd. — *ἀειδομένα* schol. — 28. *ὀψίνοον* codd. dett. — 29. *ἀφῖκται* Hermann — 33. *ποταρκέων* Boeckh: *ποδαρκέων* codd. — *δώδεκ' ἂν δρόμων* Thiersch: *δώδεκα δρόμων* vel *δωδεκάδρομον* codd. — 36. *δαίδαλ'* Pauw: *δαιδάλματ'* *codd.*

*θεοῦ· τό σφ' ἔχει κυπαρίσσινον*
*μέλαθρον ἀμφ' ἀνδριάντι σχεδόν,*
*Κρῆτες ὃν τοξοφόροι τέγει Παρνασίῳ*
*καθέσσαντο μονόδροπον φυτόν.*

*ἑκόντι τοίνυν πρέπει* 'Αντ. β'.
*νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι.*
*'Αλεξιβιά-*
*δα, σὲ δ' ἠύκομοι φλέγον- τι Χάριτες.*
*μακάριος, ὃς ἔχεις*
*καὶ πεδὰ μέγαν κάματον*
*λόγων φερτάτων*
*μναμήι'. ἐν τεσσαράκοντα γὰρ*
*πετόντεσσιν ἁνιόχοις ὅλον*
*δίφρον κομίξαις ἀταρβεῖ φρενί*
*ἦλθες ἤδη Λιβύας πεδίον ἐξ ἀγλαῶν*
*ἀέθλων καὶ πατρωίαν πόλιν.*

'Επ. β'.
*πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν οὔτ' ἔσεται·*
*ὁ Βάττου δ' ἕπεται παλαιὸς*
*ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων,*
*πύργος ἄστεος ὄμ- μα τε φαεννότατον*
*ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι*
*λέοντες περὶ δείματι φύγον,*
*γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερ- ποντίαν·*
*ὁ δ' ἀρχαγέτας ἔδωκ' 'Απόλλων*
*θῆρας αἰνῷ φόβῳ,*
*ὄφρα μὴ ταμίᾳ Κυρά-*
*νας ἀτελὴς γένοιτο μαντεύμασιν.*

---

42. *κάθεσσαν τόν* Hermann — 49. γρ. *μναμήιον* — 52. *ἀγλαῶν* codd. interpoll.: *ἀγαθῶν* codd. vett. unde *ἀγαθέων* Mommsen — 55. fort: *δὲ πρέπει* — 58. *φύγον* scholiasta interpretatur: *φεῦγον* codd. vett.

7*

ὃ καὶ βαρειᾶν νόσων — *Στρ. γ'.*
ἀκέσματ' ἄνδρεσσι καὶ γυναιξὶ νέμει,
πόρεν τε κίθα-
ριν, δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ,
ἀπόλεμον ἀγαγὼν
ἐς πραπίδας εὐνομίαν,
μυχόν τ' ἀμφέπει
μαντεῖον· ᾧ καὶ Λακεδαίμονι
ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ
ἔνασσεν ἀλκάεντας Ἡρακλέος
ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ' ἐμόν, γαρύειν
τἀπὸ Σπάρτας ἐπήρατον κλέος,

ὅθεν γεγενναμένοι — *Ἀντ. γ'.*
ἵκοντο Θήρανδε φῶτες Αἰγεΐδαι,
ἐμοὶ πατέρες,
οὐ θεῶν ἄτερ· ἀλλὰ μοῖρά τις ἄγεν,
πολύθυτον ἔρανον
ἔνθεν ἀναδεξαμέναν,
Ἄπολλον, τεᾷ,
Καρνήι', ἐν δαιτὶ σεβίζομεν
Κυράνας ἀγακτιμέναν πόλιν·
ἔχοντι τὰν χαλκοχάρμαι ξένοι
Τρῶες Ἀντανορίδαι. σὺν Ἑλένᾳ γὰρ μόλον,
καπνωθεῖσαν πάτραν ἐπεὶ ϝίδον

*Ἐπ. γ'.*
ἐν Ἄρει. τὸ δ' ἐλάσιππον ἔθνος ἐνδυκέως

---

69. *μαντήιον* codd. — *ᾧ* Christ: *τῷ* codd. *μαντήιον· τῷ καὶ Λακ.* Pauw — 72. *γαρύειν τἀπὸ* Christ: *γαρύεντ' ἀπό* vel *γαρύετ' ἀπό* codd. — 77. *ἐς ἔρανον* codd. mell. — 78. *ἀναδεξαμέναν* Hermann: *ἀναδεξάμενοι* codd. — 80. *Καρνεῖ'* codd.

δέκονται θυσίαισιν ἄνδρας
οἰχνέοντάς σφι δωροφόροι,
τοὺς Ἀριστοτέλης ἄγαγε, ναυσὶ θοαῖς
ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.
κτίσεν δ᾽ ἄλσεα μείζονα θεῶν,
εὐθύτομόν τε κατέθηκεν Ἀπολ- λωνίαις
ἀλεξιμβρότοις πεδιάδα πομπαῖς
ἔμμεν ἱππόκροτον
σκυρωτὰν ὁδόν, ἔνθα πρυμ-
νοῖς ἀγορᾶς ἔπι δίχα κεῖ- ται θανών.
μάκαρ μὲν ἀνδρῶν μέτα — Στρ. δ᾽.
ἔναιεν, ἥρως δ᾽ ἔπειτα λαοσεβής.
ἄτερθε δὲ πρὸ
δωμάτων ἕτεροι λαχόν- τες ἀίδαν
βασιλέες ἱεροὶ
ἐντί, μεγάλαν δ᾽ ἀρετὰν
δρόσῳ μαλθακᾷ
ῥανθεῖσαν ὕμνων ὑπὸ χεύμασιν
ἀκούοντί ποι χθονίᾳ φρενί,
σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν
ἔνδικόν τ᾽ Ἀρκεσίλᾳ. τὸν ἐν ἀοιδᾷ νέων
πρέπει χρυσάορα Φοῖβον ἀπύειν,
ἔχοντα Πυθωνόθεν — Ἀντ. δ᾽.
τὸ καλλίνικον λυτήριον δαπανᾶν
μέλος χαρίεν.
ἄνδρα κεῖνον ἐπαινέον- τι συνετοί.

---

86. ἄνδρας οἰχνέοντάς σφι δωροφόροι Christ unum e scholiastis secutus: ἄνδρας οἰχνέοντάς σφι δωροφόρους Hartung, ἄνδρες οἰχνέοντές σφε δωροφόροι codd. — 90. εὐθύτονον mavult Bergk — 98. γρ. μεγαλᾶν δ᾽ ἀρετᾶν . . . ῥανθεισᾶν — 100. ὕμνων Beck: κώμων θ᾽ codd. — 101. τοι Boeckh — 102. σφίν scholiasta legisse videtur — 103. Ἀρκεσίλᾳ Stephanus: Ἀρκεσίλα codd. — 107. αἰνέοντι codd. vett.

λεγόμενον ἐρέω·
κρέσσονα μὲν ἁλικίας
νόον φέρβεται
γλῶσσάν τε· θάρσος δὲ τανύπτερος
ἐν ὄρνιξιν αἰετὸς ἔπλετο·
ἀγωνίας δ' ἕρκος οἷον σθένος·
ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας,
πέφανταί θ' ἁρματηλάτας σοφός·

Ἐπ. δ'.

ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι,
τετόλμακε. θεός τέ ϝοι τὸ
νῦν τε πρόφρων τελεῖ δύνασιν,
καὶ τὸ λοιπὸν ὁμοῖ- α, Κρονίδαι μάκαρες,
διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς
ἔχειν, μὴ φθινοπω- ρὶς ἀνέμων
χειμερία κατὰ πνοὰ δαμαλί- ζοι χρόνον.
Διός τοι νόος μέγας κυβερνᾷ
δαίμον' ἀνδρῶν φίλων.
εὔχομαί νιν Ὀλυμπίᾳ
τοῦτο δόμεν γέρας ἔπι Βάτ- του γένει.

---

111. δέ Schneidewin: τε codd. — 113. ἀγωνίαις scholiasta legisse videtur — 118. ὁμοῖα Hartung: ὦ codd. vett. ὦ πλεῖστα Moschopulus — 121. καταπνοᾷ vulgo — χθαμαλίζοι Bergk — χρόνον codd. aperte corruptum: θρόνον Hecker — 124. ἔτι Heyne.

## ΠΥΘΙΟΝΙΚΑΙ ϛ'.

# ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

## ΑΡΜΑΤΙ.

494 B.C.



Στρ. α'.

*Ἀκούσατ'· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας*
*ἄρουραν ἢ Χαρίτων*
*ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου*
*χθονὸς ἐς νάιον προσοιχόμενοι·*
*Πυθιόνικος ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις*
*ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει*
*ἑτοῖμος ὕμνων*
*θησαυρὸς ἐν πολυχρύσῳ*
*Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·*

Στρ. β'.

*τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών,*
*ἐριβρόμου νεφέλας*
*στρατὸς ἀμείλιχος, οὔτ' ἄνεμος ἐς μυχοὺς*
*ἁλὸς ἄξοισι παμφόρῳ χεράδι*

---

4. *ἐς νάιον* Hermann: *ἐς ναόν* codd. *ἐς λάινον* Bergk, ipse conieci *εὐήρατον* — 12. *ἄνεμοι* schol. et codd. dett.

*λεγόμενον ἐρέω·*
*κρέσσονα μὲν ἁλικίας*
*νόον φέρβεται*
*γλῶσσάν τε· θάρσος δὲ τανύπτερος*
*ἐν ὄρνιξιν αἰετὸς ἔπλετο·*
*ἀγωνίας δ' ἕρκος οἷον σθένος·*
*ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας,*
*πέφανταί θ' ἁρματηλάτας σοφός·*

'Επ. δ'.

*ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι,*
*τετόλμακε. θεός τέ ϝοι τὸ*
*νῦν τε πρόφρων τελεῖ δύνασιν,*
*καὶ τὸ λοιπὸν ὁμοῖ- α, Κρονίδαι μάκαρες,*
*διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς*
*ἔχειν, μὴ φθινοπω- ρὶς ἀνέμων*
*χειμερία κατὰ πνοᾶ δαμαλί- ζοι χρόνον.*
*Διός τοι νόος μέγας κυβερνᾷ*
*δαίμον' ἀνδρῶν φίλων.*
*εὔχομαί νιν Ὀλυμπίᾳ*
*τοῦτο δόμεν γέρας ἔπι Βάτ- του γένει.*

---

111. *δέ* Schneidewin: *τε* codd. — 113. *ἀγωνίαις* scholiasta legisse videtur — 118. *ὁμοῖα* Hartung: *ὤ* codd. vett. *ὤ πλεῖστα* Moschopulus — 121. *καταπνοά* vulgo — *χθαμαλίζοι* Bergk — *χρόνον* codd. aperte corruptum: *θρόνον* Hecker — 124. *ἔτι* Heyne.

## ΠΥΘΙΟΝΙΚΑΙ ϛ'.

# ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

## ΑΡΜΑΤΙ.

494 B.C.



Στρ. α'.

*Ἀκούσατ'· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας*
*ἄρουραν ἢ Χαρίτων*
*ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου*
*χθονὸς ἐς νάιον προσοιχόμενοι·*
*Πυθιόνικος ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις*
*ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει*
*ἑτοῖμος ὕμνων*
*θησαυρὸς ἐν πολυχρύσῳ*
*Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·*

Στρ. β'.

*τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών,*
*ἐριβρόμου νεφέλας*
*στρατὸς ἀμείλιχος, οὔτ' ἄνεμος ἐς μυχοὺς*
*ἁλὸς ἄξοισι παμφόρῳ χεράδι*

---

4. *ἐς νάιον* Hermann: *ἐς ναόν* codd. *ἐς λάινον* Bergk, ipse conieci *εὐήρατον* — 12. *ἄνεμοι* schol. et codd. dett.

τυπτόμενον. φάει δὲ πρόσωπον ἐν καθαρῷ
πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ
λόγοισι θνατῶν
εὔδοξον ἅρματι νίκαν
Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ.

σύ τοι σχέθων νυν ἐπιδέξια χειρὸς ὀρθὰν Στρ. γʹ.
ἄγεις ἐφημοσύναν,
τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
Φιλύρας υἱὸν ὀρφανιζομένῳ
Πηλεΐδᾳ παραι- νεῖν· μάλιστα μὲν Κρονίδαν,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
θεῶν σέβεσθαι·
ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.

ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς Στρ. δʹ.
νόημα τοῦτο φέρων,
ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον
ἀναμείναις στράταρχον Αἰθιόπων
Μέμνονα. Νεστόρει- ον γὰρ ἵππος ἅρμ' ἐπέδα
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπεν
κραταιὸν ἔγχος·
Μεσσανίου δὲ γέροντος
δονηθεῖσα φρὴν βόασε παῖδα ϝόν·

Στρ. εʹ.

χαμαιπετὲς δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ
μένων δ' ὁ θεῖος ἀνὴρ

---

14. τυπτόμενον Dawes: τυπτόμενοι codd. κρυπτόμενον Bergk — 19. γρ. νιν — 21. τά Schmid: τάν codd. vett. ὄρεσι τάν ποτε Dawes — 25. γρ. θεόν — 38. δ' eiecit Bergk — πάτρῳ γ' .... ἅπασαν Christ praeeunte ex parte Bergkio: πάτρῳ τ' .... ἔδειξεν ἅπασαν codd. πάτρῳ τ' .... ἔδειξεν Schmid, πᾶσαν τ' .... ἔδειξεν Hartung.

πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
ὁπλοτέροισιν, ἔρ- γον πελώριον τελέσαις,
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
τὰ μὲν παρίκει·
τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

πάτρῳ γ' ἐπερχόμενος ἀγλαΐαν ἅπασαν. Στρ. ϛ'.
νόῳ δὲ πλοῦτον ἄγει,
ἄδικον οὔθ' ὑπέροπλον ἥβαν δρέπων,
σοφίαν δ' ἐν μυχοῖσι Πιερίδων·
τίν τ', Ἐλέλιχθον, ὀρ- γᾶς ὃς ἱππειᾶν ἐσόδων
μάλα ϝαδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.
γλυκεῖα δὲ φρὴν
καὶ συμπόταισιν ὁμιλεῖν
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

---

ΠΥΘΙΟΝΙΚΑΙ Ζ'.

## ΜΕΓΑΚΛΕΙ ΑΘΗΝΑΙΩι

ΤΕΤΡΙΠΠΩι.

498 B.C.

Strophae.

– –'' ⏑ – ⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑ – –
⏑ –'' ⏑ ⏑ ⏑– ⏑́ ⏑ – ⏒ ⏑́ ⏑ – ⏑⏑ –
– –'' ⏑ – –
– –'' ⏑⏑ – ⏑̲
⏑ –'' ⏑ ⏑⏑ ⏑́ ⏑⏑ – –
– –'' ⏑⏑ – ⏑ ⏑̲
⏑ ⏑⏑ –'' ⏑ ⏑̲
⏒ ⏑⏑'' ⏑ – ⏑̲

---

44. δὲ νῦν codd. vett. — 50. ὀργᾶς ὃς ἱππειᾶν ἐσόδων Christ: ὀργαῖς πάσαις ὃς ἱππείαν ἔσοδον codd. vett. ὅσθ' εὗρες ἱππείαν ἔσοδον ex scholiis interpolaverunt — 51. προσέρχεται codd. vett.

Epodus.

–̈ ⏑ – ⏑⏑ ⏒ –́ ⏑ – ⏑⏑ –
⏑ –̈ ⏒ –́ ⏑ – – –́ ⏑⏑ – ⏑ –
⏑⏑ ⏑ – ⏑⏑ ⏒ ⏑́⏑ ⏑ – ⏑
–̈ ⏑⏑ – – –́ ⏑ – ⏑ ⏓ ⏑⏑ –
– –̈ ⏑ – –́ ⏑⏑ –
⏑ –́ ⏑⏑ – –

Κάλλιστον αἱ μεγαλοπόλιες Ἀθᾶναι — Στρ.
προοίμιον Ἀλ- κμανιδᾶν εὐρυσθενεῖ γενεᾷ
κρηπῖδ' ἀοιδᾶν
ἵπποισι βαλέσθαι.
ἐπεὶ τίνα πάτραν, τίνα ϝοῖκον
αἰνέων ὀνυμάξομαι
ἐπιφανέστερον
Ἑλλάδι πυθέσθαι;

πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ — Ἀντ.
Ἐρεχθέος ἀσ- τῶν, Ἄπολλον, οἳ τεόν γε δόμον
Πυθῶνι δίᾳ
θαητὸν ἔτευξαν.
ὄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ
νῖκαι, μία δ' ἐκπρεπὴς
Διὸς Ὀλυμπιάς,
δύο δ' ἀπὸ Κίρρας,

ὦ Μεγάκλεες, ὑ- — Επ.
μαί τε καὶ προγόνων.
νέᾳ δ' εὐπραγίᾳ χαίρω τι· τὸ δ' ἄχνυμαι,

---

5. οἶκον Boeckh: τ' οἶκον codd. — 6. αἰνέων Kayser: ναίων codd. — ὀνυμάξομαι schol.: ὀνυμάξαι codd. vett. — 9. πολίεσσι codd. vett. unde in stropha μεγαλοπτόλιες scribendum esse Hermannus proposuit — ὁ λόγος codd. vett. — 10. γε Moschopulus: τε codd. vett.

φθόνον ἀμειβόμενον τὰ καλὰ ϝέργα.
φαντί γε μὰν οὕτω κεν ἀνδρὶ παρμονίμαν
θάλλοισαν εὐδαιμονίαν
τὰ καὶ τὰ φέρεσθαι.

---

## ΠΥΘΙΟΝΙΚΑΙ Η΄.

# ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

## ΠΑΛΑΙΣΤΗι.

**Strophae.**



Epodi.



Φιλόφρον Ἡσυχία, Δίκας — Στρ. α΄.
ὦ μεγιστόπολι θύγατερ,
βουλᾶν τε καὶ πολέμων
ἔχοισα κλαῖδας ὑπερτάτας,

---

Strophae versus quintum et sextum, nec non epodi alterum et tertium aliter, ac nos fecimus, sua in membra solvit Boeckhius

*Πυθιόνικον*
*τιμὰν Ἀριστομένει δέκευ.*
*τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι*
*τε καὶ παθεῖν ὁμῶς*
*ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ·*

*τὺ δ', ὁπόταν τις ἀμείλιχον* — Ἀντ. α'.
*καρδίᾳ κότον ἐνελάσῃ,*
*τραχεῖα δυσμενέων*
*ὑπαντιάξαισα κράτει τιθεῖς*
*ὕβριν ἐν ἄντλῳ.*
*τὰν οὐδὲ Πορφυρίων λάθεν*
*παρ' αἶσαν ἐξερεθίζων.*
*κέρδος δὲ φίλτατον,*
*ἑκόντος εἴ τις ἐκ δόμων φέροι.*

Ἐπ. α'.
*βίᾳ δὲ καὶ μεγάλαυχον ἔσ- φαλεν ἐν χρόνῳ.*
*Τυφὼς Κίλιξ ἑκατόγκρα-*
*νος οὔ νιν ἄλυξεν,*
*οὐδὲ μὰν βασιλεὺς Γιγάντων·*
*δμᾶθεν δὲ κεραυνῷ*
*τόξοισί τ' Ἀπόλ- λωνος· ὃς εὐμενεῖ νόῳ*
*Ξενάρκειον ἔδεκτο Κίρ- ραθεν ἐστεφανωμένον*
*υἱὸν ποίᾳ Παρνασίδι Δωριεῖ τε κώμῳ.*

*ἔπεσε δ' οὐ Χαρίτων ἑκὰς* — Στρ. β'.
*ἁ δικαιόπολις ἀρεταῖς*
*κλειναῖσιν Αἰακιδᾶν*

---

12. *λάθεν* Mathiae: *μάθεν* codd. et schol. — 16. *ἑκατόγκρανος* Schmid: *ἑκατοντοκάρανος* codd. — 20. *Παρνασίδι* Boeckh: *Παρνασίᾳ* codd.

θίγοισα νᾶσος· τελέαν δ' ἔχει
δόξαν ἀπ' ἀρχᾶς.
πολλοῖσι μὲν γὰρ ἀείδεται,
νικαφόροις ἐν ἀέθλοις
θρέψαισα καὶ θοαῖς
ὑπερτάτους ἥρωας ἐν μάχαις·

τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει. 'Αντ. β'.
εἰμὶ δ' ἄσχολος ἀναθέμεν
πᾶσαν μακραγορίαν
λύρᾳ τε καὶ φθέγματι μαλθακῷ,
μὴ κόρος ἐλθὼν
κνίσῃ. τὸ δ' ἐν ποσί μοι τράχον
ἴτω τεὸν χρέος, ὦ παῖ,
νεώτατον καλῶν,
ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.

'Επ. β'.
παλαισμάτεσσι γὰρ ἰχνεύων ματραδελφεοὺς
'Ολυμπίᾳ τε Θεόγνη-
τον οὐ κατελέγχεις,
οὐδὲ Κλειτομάχοιο νίκαν
'Ισθμοῖ θρασύγυιον·
αὔξων δὲ πάτραν Μιδυλιδᾶν λόγον φέρεις,
τὸν ὅνπερ ποτ' 'Οικλέος παῖς ἐν ἑπταπύλοις ἰδὼν
υἱοὺς Θήβαις αἰνίξατο παρμένοντας αἰχμᾷ,

ὁπότ' ἀπ' Ἄργεος ἤλυθον Στρ. γ'.
δευτέραν ὁδὸν 'Επίγονοι.
ὧδ' εἶπε μαρναμένων·
Φυᾷ τὸ γενναῖον ἐπιπρέπει

28. καὶ ἐν codd. vett. — 32. γρ. μου. — 43. ὧδε γ' codd. vett.

ἐκ πατέρων παι-
σὶν λῆμα. θαέομαι σαφὲς
δράκοντα ποικίλον αἰθᾶς
'Αλκμᾶν' ἐπ' ἀσπίδος
νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις.

ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ 'Αντ. γ'.
νῦν ἀρείονος ἐνέχεται
ὄρνιχος ἀγγελίᾳ
"Αδραστος ἥρως· τὸ δὲ ϝοίκοθεν
ἀντία πράξει.
μόνος γὰρ ἐκ Δαναῶν στρατοῦ
θανόντος ὀστέα λέξαις
υἱοῦ, τύχᾳ θεῶν
ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ

'Επ. γ'.

"Αβαντος εὐρυχόρους ἀγυι- ᾶς. τοιαῦτα μὲν
ἐφθέγξατ' 'Αμφιάρηος.
χαίρων δὲ καὶ αὐτὸς
'Αλκμᾶνα στεφάνοισι βάλλω,
ῥαίνω δὲ καὶ ὕμνῳ,
γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν
ὑπάντασεν ἰόντι γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον,
μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις.

τὺ δ', ἑκαταβόλε, πάνδοκον Στρ. δ'.
ναὸν εὐκλέα διανέμων
Πυθῶνος ἐν γυάλοις,
τὸ μὲν μέγιστον τόθι χαρμάτων

---

45. παῖ σοί Hermann — 59. τ' post ὑπάντασεν scholiasta *legisse videtur.*

ἅρπασας· οἴκοι
δὲ πρόσθεν ἁρπαλέαν δόσιν
πενταεθλίου σὺν ἑορταῖς
ὑμαῖς ἐπάγαγες.
ἄναξ, ἑκόντι δ' εὔχομαι νόῳ

κατὰ τὶν ἁρμονίαν βλέπειν, 'Αντ. δ'.
ἀμφ' ἕκαστον ὅσα νέομαι.
κώμῳ μὲν ἀδυμελεῖ
Δίκα παρέστακε· θεῶν δ' ὄπιν
ἄφθιτον αἰτέω
Ξέναρκες, ὑμετέραις τύχαις.
εἰ γάρ τις ἐσλὰ πέπαται
μὴ σὺν μακρῷ πόνῳ,
πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων

'Επ. δ'.
βίον κορυσσέμεν ὀρθοβού- λοισι μαχαναῖς·
τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται·
δαίμων δὲ παρίσχει,
ἄλλοτ' ἄλλον ὕπερθε βάλλων,
ἄλλον δ' ὑπὸ χειρῶν.
μέτρῳ κατάβαιν'· ἐν Μεγάροις δ' ἔχεις γέρας,
μυχῷ τ' ἐν Μαραθῶνος, Ἥ- ρας τ' ἀγῶν' ἐπιχώριον
νίκαις τρισσαῖς, ὦ 'ριστόμενες, δάμασσας ἔργῳ.

τέτρασι δ' ἔμπετες ὑψόθεν Στρ. ε'.
σωμάτεσσι κακὰ φρονέων,
τοῖς οὔτε νόστος ὁμῶς
ἔπαλπνος ἐν Πυθιάδι κρίθη,

68. τίν Pauw: τιν' codd. — 69. νέμομαι Mingarelli — 73. χρόνῳ codd. dett. — 77. ἄλλοτε δ' codd. vett. — 78. κατάβαιν' ἐν Bergk: χειρῶν μέτρῳ (μέτρον alii) καταβαίνει ἐν codd. — 84. ἐπ' ἀλπνός Bergk.

*οὐδὲ μολόντων*
*πὰρ ματέρ’ ἀμφὶ γέλως γλυκὺς*
*ὦρσεν χάριν· κατὰ λαύρας*
*δ’ ἐχθρῶν ἀπάοροι*
*πτώσσοντι, συμφορᾷ δεδαιγμένοι.*

’Αντ. ε′.

*ὁ δὲ καλόν τι νέον λαχὼν*
*ἁβρότατος ἔπι, μεγάλας*
*ἐξ ἐλπίδος πέταται*
*ὑποπτέροις ἀνορέαις, ἔχων*
*κρέσσονα πλούτου*
*μέριμναν. ἐν δ’ ὀλίγῳ βροτῶν*
*τὸ τερπνὸν αὔξεται· οὕτω*
*δὲ καὶ πιτνεῖ χαμαί,*
*ἀποτρόπῳ γνώμᾳ σεσεισμένον.*

’Επ. ε′.

*ἐπάμεροι· τί δέ τις; τί δ’ οὔ τις; σκιᾶς ὄναρ*
*ἄνθρωπος. ἀλλ’ ὅταν αἴγλα*
*διόσδοτος ἔλθῃ,*
*λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν*
*καὶ μείλιχος αἰών.*
*Αἴγινα, φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ*
*πόλιν τάνδε κόμιζε Δὶ καὶ κρέοντι σὺν Αἰακῷ*
*Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ’ ’Αχιλλεῖ*

---

87. *δεδαγμένοι* Bergk — 89. *ἀπό* codd. dett. — 96. *ἄνθρωπος* refert Plutarchus De cons. 6: *ἄνθρωποι* codd. — 97. *φέγγος ἔπεστι* Heyne: *ἔπεστι φέγγος* codd.

## ΠΥΘΙΟΝΙΚΑΙ Θ'.

# ΤΕΛΕΣΙΚΡΑΤΕΙ ΚΥΡΗΝΑΙΩι

## ΟΠΛΙΤΟΔΡΟΜΩι.

Strophae.



Epodi.



Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν — Στρ. α'.
σὺν βαθυζώνοισιν ἀγ- γέλλων
Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν,
ὄλβιον ἄνδρα, διωξίππου στεφάνωμα Κυράνας·
τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων
ποτὲ Λατοΐδας
ἅρπασ', ἔνεικέ τε χρυσέῳ παρθένον ἀγροτέραν δίφρῳ,
τόθι νιν πολυμήλου

---

Strophae versuum secundi et tertii numeros ne cohaerere statuerem, hiatus et syllaba anceps quinquies admissa me deterruerunt.

καὶ πολυκαρποτάτας θῆκε δέσποιναν χθονὸς
ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν.

ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτα — Ἀντ. α'.
Δάλιον ξεῖνον θεοδ- μάτων
ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ·
καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,
ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ' Ὑψέος εὐρυβία·
ὃς Λαπιθᾶν ὑπερόπλων τουτάκις ἦν βασιλεύς, ἐξ Ὠκεανοῦ γένος ἥρως
δεύτερος· ὅν ποτε Πίν- δου κλεενναῖς ἐν πτυχαῖς
Ναῒς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρείοισ' ἔτικτεν,

Γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον — Ἐπ. α'.
θρέψατο παῖδα Κυράναν· ἁ μὲν οὔθ' ἱστῶν παλιμβάμους ἐφίλησεν ὁδούς,
οὔτε δείπνων οἰκοριᾶν μεθ' ἑταιρᾶν τέρψιας,
ἀλλ' ἀκόντεσσίν τε χαλκέοις
φασγάνῳ τε μαρναμένα κεράιζεν ἀγρίους
θῆρας, ἦ πολλάν τε καὶ ἡσύχιον
βουσὶν εἰρήναν παρέχοισα πατρῴαις, τὸν δὲ σύγκοιτον γλυκὺν
παῦρον ἐπὶ γλεφάροις
ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ.

κίχε νιν λέοντί ποτ' εὐρυφαρέτρας — Στρ. β'.
ὀμβρίμῳ μούναν παλαί- οισαν
ἄτερ ἐγχέων ἑκάεργος Ἀπόλλων.
αὐτίκα δ' ἐκ μεγάρων Χείρωνα προσέννεπε φωνᾷ·

---

13. γρ. μιχθέντι — 19. οὔτε δείπνων τέρψιας, ουθ' ἑταρᾶν οἰκούρια Bergk, quam coniecturam vereor ne nihil confirment scholia — 25. ἀνλίσκοισα Triclinius.

σεμνὸν ἄντρον, Φιλυρίδα, προλιπὼν θυμὸν γυναι-
κὸς καὶ μεγάλαν δύνασιν
θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει κραδίᾳ, μόχθου
καθύπερθε νεᾶνις
ἦτορ ἔχοισα· φόβῳ δ' οὐ κεχείμανται φρένες.
τίς νιν ἀνθρώπων τέκεν; ποίας δ' ἀποσπασθεῖσα
φύτλας

ὀρέων κευθμῶνας ἔχει σκιοέντων; Ἀντ. β'.
γεύεται δ' ἀλκᾶς ἀπει- ράντου.
ὁσίᾳ κλυτὰν χέρα ϝοι προσενεγκεῖν,
ἦ ῥα καὶ ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν;
τὸν δὲ Κένταυρος ζαμενής, ἀγανᾷ χλαρὸν γελάσσαις
ὀφρύι, μῆτιν ἑὰν
εὐθὺς ἀμείβετο· Κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πει-
θοῦς ἱερᾶν φιλοτάτων,
Φοῖβε, καὶ ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς
αἰδέοντ', ἀμφανδὸν ἁδείας τυχεῖν τοπρῶτον εὐνᾶς.

Ἐπ. β'.
καὶ γὰρ σέ, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν,
ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον. κού-
ρας δ', ὁπόθεν, γενεὰν
ἐξερωτᾷς, ὦ ϝάνα; κύριον ὃς πάντων τέλος
οἶσθα καὶ πάσας κελεύθους·
ὅσσα τε χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει, χὠπόσαι
ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι
κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται, χὤ τι μέλλει,
χὠπόθεν
ἔσσεται, εὖ καθορᾷς.
εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι,

33. γρ. τίς μέν — 36. γρ. ὅσια — 37. ἦ ῥα Mommsen — 41. ἀμφαδόν codd. — 48. χὠπόθεν Schmid: χὤτι πόθεν codd.

ἐρέῳ. ταῦτα πόσις ἵκεο βᾶσσαν Στρ. γ'.
τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου
Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι·
ἔνθα νιν ἀρχέπολιν θήσεις, ἐπὶ λαὸν ἀγείραις
νασιώταν ὄχθον ἐς ἀμφίπεδον· νῦν δ' εὐρυλείμων
πότνιά σοι Λιβύα
δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρό-
φρων· ἵνα Ϝοι χθονὸς αἶσαν
αὐτίκα συντελέθειν ἔννομον δωρήσεται,
οὔτε παγκάρπων φυτῶν νήποινον, οὔτ' ἀγνῶτα
θηρῶν.

τόθι παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς Ἀντ. γ'.
εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ
ἀνελὼν φίλας ὑπὸ ματέρος οἴσει.
ταὶ δ' ἐπιγουνίδιον κατθηκάμεναι βρέφος αὐταῖς,
νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι, θήσονταί
τέ νιν ἀθάνατον
Ζῆνα καὶ ἁγνὸν Ἀπόλλων', ἀνδράσι χάρμα φίλοις,
ἄγχιστον ὀπάονα μήλων,
Ἀγρέα καὶ Νόμιον, τοῖς δ' Ἀρισταῖον καλεῖν.
ὣς ἄρ' εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τε-
λευτάν.

ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν Ἐπ. γ'.
πρᾶξις ὁδοί τε βραχεῖαι. κεῖνο κεῖν' ἆμαρ διαίτασεν·
θαλάμῳ δὲ μίγεν
ἐν πολυχρύσῳ Λιβύας· ἵνα καλλίσταν πόλιν
ἀμφέπει κλεινάν τ' ἀέθλοις.

---

61. γρ. ἀπό — 62. κατθηκάμεναι Moschopulus: θηκάμεναι aut θησάμεναι codd. θαήσαμεναι e schol. Bergk, qui deinde *αὐτᾶς* vel *αὐτῷ* vel *αὔοις* scribendum esse monuit.

*καί νυν ἐν Πυθῶνί νιν ἀγαθέα Καρνειάδα*
*υἱὸς εὐθαλεῖ συνέμιξε τύχα·*
*ἔνθα νικάσαις ἀνέφανε Κυράναν, ἅ νιν εὔφρων*
*δέξεται,*
*καλλιγύναικι πάτρα*
*δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ Δελφῶν.*

*ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι·* Στρ. δ'.
*βαιὰ δ' ἐν μακροῖσι ποι- κίλλειν,*
*ἀκοὰ σοφοῖς· ὁ δὲ καιρὸς ὁμοίως*
*παντὸς ἔχει κορυφάν. ἔγνον ποτὲ καὶ Ϝιόλαον*
*οὐκ ἀτιμάσαντά νιν ἑπτάπυλοι Θῆβαι· τόν, Εὐ-*
*ρυσθῆος ἐπεὶ κεφαλὰν*
*ἔπραθε φασγάνου ἀκμᾷ, κρύψαν ἔνερθ' ὑπὸ γᾶν*
*διφρηλάτα Ἀμφιτρύωνος*
*σάματι, πατροπάτωρ ἔνθα Ϝοι Σπαρτῶν ξένος*
*κεῖτο, λευκίπποισι Καδμείων μετοικήσαις ἀγυιαῖς.*

*τέκε Ϝοῖ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων* Ἀντ. δ'.
*ἐν μόναις ὠδῖσιν Ἀλκ- μήνα*
*διδύμων κρατησίμαχον σθένος υἱῶν.*
*κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλει,*
*μηδὲ Διρκαίων ὑδάτων ἀὲ μέμναται, τά νιν θρέψαντο*
*καὶ Ἰφικλέα·*
*τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν.*
*Χαρίτων κελαδεννᾶν*
*μή με λίποι καθαρὸν φέγγος. Αἰγίνα τε γὰρ*
*φαμὶ Νίσου τ' ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ' εὐ-*
*κλεΐξαι,*

---

87. γρ. *παραβάλλει* — 88. *ἀέ* Hermann: *ἀεί* vel *αἰεί* codd. *διαμέμναται* Bergk — 91. *φατί* Schneidewin.

σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγόντ'. Ἐπ. δ'.
οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις, τό γ' ἐν
ξυνῷ πεπονημένον εὖ
μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω.
κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
παντὶ θυμῷ σύν γε δίκᾳ καλὰ ῥέζοντ' ἔννεπεν.
πλεῖστα νικάσαντά σε καὶ τελεταῖς
ὡρίαις ἐν Παλλάδος εἶδον ἄφωνοί θ' ὡς ἕκασται
φίλτατον
παρθενικαὶ πόσιν ἢ
υἱὸν εὔχοντ', ὦ Τελεσίκρατες, ἔμμεν,

ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου Στρ. ε'.
Γᾶς ἀέθλοις ἔν τε καὶ πᾶσιν
ἐπιχωρίοις. ἐμὲ δ' ὦν τις ἀοιδᾶν
δίψαν ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι
καὶ τεῶν δόξαν παλαιῶν προγόνων· οἷοι Λιβύσσας
ἀμφὶ γυναικὸς ἔβαν
Ἴρασα πρὸς πόλιν, Ἀνταίου μετὰ καλλίκομον μνα-
στῆρες ἀγακλέα κούραν·
τὰν μάλα πολλοὶ ἀρισ- τῆες ἀνδρῶν αἴτεον
σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων. ἐπεὶ θαητὸν
εἶδος

ἔπλετο· χρυσοστεφάνου δέ ϝοι Ἥβας Ἀντ. ε'.
καρπὸν ἀνθήσαντ' ἀπο- δρέψαι
ἔθελον. πατὴρ δὲ θυγατρὶ φυτεύων

---

92. φυγόντ' Beck: φυγών codd. — 96. γε Boeckh: τε codd. — 98. γρ. ἑκάστα — 99. πόσιν, αἱ δ' υἱόν Hartung — 103. ἀοιδὰν διψάδ' scholiastam legisse Hermannus iudicavit — 105. τεῶν δόξαν παλ. προγ. Bergk: παλ. δόξαν τεῶν προγ. codd. vett. παλ. δόξαν ἑῶν πρ. Moschopulus — γρ. παλαιάν — 106. Ἴρασα Heyne: Ἴρασσαν codd.

*κλεινότερον γάμον, ἄκουσεν Δαναόν ποτ' ἐν*
*Ἄργει*
*οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι, πρὶν*
*μέσον ἆμαρ ἑλεῖν,*
*ὠκύτατον γάμον. ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν*
*τέρμασιν αὐτίκ' ἀγῶνος·*
*σὺν δ' ἀέθλοις ἐκέλευ- σεν διακρῖναι ποδῶν,*
*ἅντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν*
*ἦλθον.*

*οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ* Ἐπ. ε'.
*νυμφίον ἄνδρα· ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε*
*κοσμήσαις τέλος ἔμμεν ἄκρον,*
*εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν*
*ἀμφί ϝοι ψαύσειε πέπλοις.*
*ἔνθ' Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον,*
*παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν*
*ἆγεν ἱππευτᾶν Νομάδων δι' ὅμιλον. πολλὰ μὲν*
*κεῖνοι δίκον*
*φύλλ' ἔπι καὶ στεφάνους·*
*πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο Νίκας.*

---

113. *ἐλθεῖν* codd. mell. — 123. *μέν* Boeckh: *μιν* codd. — 125. *νικᾶν* codd. dett.

# ΠΥΘΙΟΝΙΚΑΙ Ι'.
# ΙΠΠΟΚΛΕΑι ΘΕΣΣΑΛΩι
## ΠΑΙΔΙ ΔΙΑΥΛΟΔΡΟΜΩι.

*Str. 8. C.

Strophae.

″ ⏓ – ⏑⏑ – ⏒
⏑ ″ ⏓ – ⏑⏑ – ⏑ – ⏑ ⏑⏑ – ⏑ ⏑ ⏒
⏑ ″ ⏑⏑ – ⏑⏑ – ⏓ ⏑ ⏑⏑ – ⏒
⏑ – ″ ⏑⏑ – ⏓ ⏑ ⏑⏑ – ⏑ ⏑ – ⏑⏑ – ⏑ ⏑ – ⏑ ⏒
⏑ ″ ⏑ ⏑ – ⏑ ⏑ ⏑⏑ – ⏑ – ⏒
⏑⏑ ″ ⏑⏑ – ⏑ – ⏓ ⏑ ⏑ – ⏑ ⏒

Epodi.

⏒ ″ ⏑⏑ – – ⏓ ⏑ ⏑⏑ – ⏑ ⏒
″ ⏑⏑ – ⏒
– ″ ⏑ – ⏑⏑ – ⏑ ⏑⏑ – ⏑ ⏑ ⏒
⏒ ″ ⏑ – ⏑⏑ – ⏑ ⏑ –
⏒ ″ ⏑ – ⏑⏑ – ⏑ ⏒
⏒ ″ ⏑ – ⏑ ⏑ ⏑⏑ – ⏑ – ⏑ ⏑ ⏒

*Ὀλβία Λακεδαίμων·* *Στρ. α'.*
*μάκαιρα Θεσσαλία· πατρὸς*
*δ' ἀμφοτέραις ἐξ ἑνὸς*
*ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει.*
*τί κομπέω παρὰ καιρόν; ἀλλά με Πυ-*
*θώ τε καὶ τὸ Πελιν- ναῖον ἀπύει*
*Ἀλεύα τε παῖδες, Ἱπποκλέα θέλοντες*
*ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα.*

*γεύεται γὰρ ἀέθλων·* *Ἀντ. α'.*
*στρατῷ τ' ἀμφικτιόνων ὁ Παρ-*
*νάσιος αὐ- τὸν μυχὸς*

---

De prima syllaba versuum tertii et quinti epodi, longa an ancipite, vide notas ad vv. 15, 17, 69.

1. γρ. *Λακεδαῖμον* — 4. *παρά* codd.: *κατά* schol. *κατ' ἄκαιρον* Ahrens — γρ. *ἀπύειν*, unde conicias *ἄπυεν* — 8. *περικτιόνων θ'* Hermann.

* This Ode the earliest of Pindar's extant compositions.

διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.
Ἄπολλον, γλυκὺ δ' ἀνθρώπων τέλος ἀρ-
χά τε δαίμονος ὀρ- νύντος αὔξεται·
ὁ μέν που τεοῖς γε μήδεσι τοῦτ' ἔπραξεν·
τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρὸς

Ὀλυμπιονίκα δὶς ἐν πολεμαδόκοις — Ἐπ. α'.
Ἄρεος ὅπλοις·
θῆκεν δὲ καὶ βαθυλεί-
μων' ὑπὸ Κίρ- ρας ἀγὼν
πέτραν κρατησίποδα Φρικίαν.
ἕποιτο μοῖρα καὶ ὑστέραισιν
ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀν- θεῖν σφίσιν·

τῶν δ' ἐν Ἑλλάδι τερπνῶν — Στρ. β'.
λαχόντες οὐκ ὀλίγαν δόσιν,
μὴ φθονεραῖς ἐκ θεῶν
μετατροπίαις ἐπικύρσαιεν. θεὸς αἰεὶ
ἀπήμων κέαρ· εὐδαίμων δὲ καὶ ὑμ-
νητὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς,
ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις
τὰ μέγιστ' ἀέθλων ἕλῃ τόλμᾳ τε καὶ σθένει,

καὶ ζώων ἔτι νεαρὸν — Ἀντ. β'.
κατ' αἶσαν υἱὸν ἴδῃ τυχόν-
τα στεφάνων Πυθίων.
ὁ χάλκεος οὐρανὸς οὔ ποτ' ἀμβατὸς αὐτῷ·
ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις
ἁπτόμεσθα, περαί- νει πρὸς ἔσχατον

---

11. γε Moschopulus: τε codd. vett. — 15. θῆκεν δέ Boeckh: ἔθηκε codd. — βαθυλείμωνα ἀγὼν ὑπὸ Κίρρας codd. vett. — ἕσποιτο codd. interpoll. — 21. αἰεί Schneidewin: εἴη codd. et schol. οἷος Hermann — 27. οὔ πως Hermann — γρ. αὐτοῖς — 28. βρότεον codd.

πλόον. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν ἂν εὕροις
ἐς Ὑπερβορέων ἀγῶνα θαυματὰν ὁδόν.

παρ' οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας, Ἐπ. β'.
δώματ' ἐσελθών,
κλειτὰς ὄνων ἑκατόμ-
βας ἐπιτόσ- σαις θεῷ
ῥέζοντας· ὧν θαλίαις ἔμπεδον
εὐφαμίαις τε μάλιστ' Ἀπόλλων
χαίρει, γελᾷ θ' ὁρῶν ὕβριν ὀρθίαν κνωδάλων.

Μοῖσα δ' οὐκ ἀποδαμεῖ Στρ. γ'.
τρόποις ἐπὶ σφετέροισι· παν-
τᾷ δὲ χοροὶ παρθένων
λυρᾶν τε βοαὶ καναχαί τ' αὐλῶν δονέονται·
δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδή-
σαντες εἰλαπινά- ζοισιν εὐφρόνως.
νόσοι δ' οὔτε γῆρας οὐλόμενον κέκραται
ἱερᾷ γενεᾷ· πόνων δὲ καὶ μαχᾶν ἄτερ

οἰκέοισι φυγόντες Ἀντ. γ'.
ὑπέρδικον Νέμεσιν. θρασεί-
ᾳ δὲ πνέων καρδίᾳ
μόλεν Δανάας ποτὲ παῖς, ἁγεῖτο δ' Ἀθάνα,
ἐς ἀνδρῶν μακάρων ὅμιλον· ἔπεφ-
νέν τε Γοργόνα, καὶ ποικίλον κάρα
δρακόντων φόβαισιν ἤλυθε νασιώταις
λίθινον θάνατον φέρων. ἐμοὶ δὲ θαυμάσαι

---

29. ἂν om. codd. vett. — 36. γρ. ὀρθιᾶν.

θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται 'Επ. γ'.
ἔμμεν ἄπιστον.
κώπαν σχάσον, ταχὺ δ' ἄγ-
κυραν ἔρει- σον χθονὶ
πρῴραθε, χοιράδος ἄλ- καρ πέτρας.
ἐγκωμίων γὰρ ἄωτος ὕμνων
ἐπ' ἄλλοτ' ἄλλον ὥτε μέλισσα θύ- νει λόγον.

ἔλπομαι δ' Ἐφυραίων Στρ. δ'.
ὄπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖ-
αν προχεόν- των ἐμὰν
τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
ἕκατι στεφάνων θαητὸν ἐν ἅ-
λιξι θησέμεν ἐν καὶ παλαιτέροις,
νέαισίν τε παρθένοισι μέλημα. καὶ γὰρ
ἑτέροις ἑτέρων ἔρως ὑπέκνισε φρένας·

τῶν δ' ἕκαστος ὀρούει, 'Αντ. δ'.
τυχών κεν ἁρπαλέαν σχέθοι
φροντίδα τὰν πὰρ ποδός·
τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι.
πέποιθα ξενίᾳ προσανέι Θώ-
ρακος, ὅσπερ ἐμὰν ποιπνύων χάριν
τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον,
φιλέων φιλέοντ', ἄγων ἄγοντα προφρόνως.

'Επ. δ'.
πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει

52. γρ. ἀλκάν — 58. ἔν τε vel ἔν τε καί codd. vett. — 60. ὑπέκνισε Boeckh scholiorum vestigia secutus: ἔκνιξ codd. ἑτερωνίων ἔκνιξ' ἔρως Bergk.

καὶ νόος ὀρθός.
ἀδελφεοὺς ἐπί τ' αἰ-
νήσομεν ἐσ- λούς, ὅτι
ὑψοῦ φέροντι νόμον Θεσσαλῶν
αὔξοντες· ἐν δ' ἀγαθοῖσι κεῖνται
πατρῷιαι κεδναὶ πολίων κυβερ- νάσιες.

---

ΠΥΘΙΟΝΙΚΑΙ ΙΑ'.

# ΘΡΑΣΥΔΑΙΩι ΘΗΒΑΙΩι

## ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ.

Strophae.

– –'' ⏑ – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑ ⊔ –́ ⏓
– –'' ⏑ – ⏑⏑ ⊔ –́ ⏑ – ⏑⏑ ⏑⏑ ⏑ ⊔ –́ ⏑ ⏓
⏑⏑'' ⏑ – ⏑ ⏑⏑ ⏑ – ⏑⏑ ⏓
–'' ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑⏑ –́ ⏑⏑ ⏓
– –'' ⏑ – ⏑⏑ – ⏑ ⊔ –́ ⏑ – ⏑ ⏓

Epodi.

–'' ⏑ ⏑ – ⏑ – –
⏑⏑ ⏑ – ⏑⏑ – ⏓
– –'' ⏑⏑ – ⏑ ⊔ –́ ⏑ – ⏑ ⏓
⏑⏑ ⏑ –'' ⏑⏑ – ⏑ ⊔ –́ ⏑ ⏓
⏑ –'' ⏑ – ⏑ – – ⏑⏑ ⏑ –
⏓ –'' ⏑ – ⏓ –́ ⏑⏑ – –

Στρ. α'.

Κάδμου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυι- ᾶτ[illegible]
Ἰνῷ δὲ Λευκοθέα
πὀντιᾶν ὁμοθάλαμε Νη- ρηίδων,
ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ

---

69. ἐπί τ' αἰνήσομεν Bergk: τε ἐπαινήσομεν codd. vett. κἀδελφεοὺς μὲν ἐπαιν. Hermann — 71. ἔνθ' e scholiis et cod. Caesareo Mommsen — γρ. κεῖται.
3. ἀριστογόνου schol.

ματρὶ πὰρ Μελίαν
χρυσέων ἐς ἄδυτον τριπόδων
θησαυρόν, ὃν περίαλλ' ἐτί- μασε Λοξίας,

'Αντ. α'.

'Ισμήνειον δ' ὀνύμαξεν, ἀλαθέα μαντείων θῶκον,
ὦ παῖδες 'Αρμονίας,
ἔνθα καί νυν ἐπίνομον ἡ- ρωίδων
στρατὸν ὁμαγυρέα καλεῖ συνίμεν,
ὄφρα Θέμιν ἱερὰν
Πυθῶνά τε καὶ ὀρθοδίκαν
γᾶς ὀμφαλὸν κελαδήσετ' ἄκ- ρᾳ σὺν ἑσπέρᾳ,

ἑπταπύλοισι Θήβαις 'Επ. α'.
χάριν ἀγῶνί τε Κίρρας,
ἐν τῷ Θρασυδαῖος ἔ- μνασεν ἑστίαν
τρίτον ἐπὶ στέφανον πατρῴ- αν βαλών,
ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα
νικῶν ξένου Λάκωνος 'Ορέστα.

Στρ. β'.

τὸν δὴ φονευομένου πατρὸς 'Αρσινόα Κλυται- μνήστρας
χειρῶν ὕπο κρατερᾶν
ἐκ δόλου τροφὸς ἄνελε δυσ- πενθέος,
ὁπότε Δαρδανίδα κόραν Πριάμου
Κασσάνδραν πολιῷ
χαλκῷ σὺν 'Αγαμεμνονίᾳ
ψυχᾷ πόρευσ' 'Αχέροντος ἀκ- τὰν παρ' εὔσκιον

8. γρ. συνέμεν — 10. κελαδήσετ' Heyne: κελαδῆτε codd. κελαδῆτον Bergk — 13. ἄμνασεν . . . . νικᾶν Kayser, ἔμνασέ μ' Hermann, exspectas αὔξησεν vel tale quid.

'Αντ. β'.

νηλὴς γυνά. πότερόν νιν ἄρ' Ἰφιγένει' ἐπ' Εὐ-
ρίπῳ
σφαχθεῖσα τῆλε πάτρας
ἔκνισεν βαρυπάλαμον ὄρ- σαι χόλον;
ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν
ἔννυχοι πάραγον
κοῖται; τὸ δὲ νέαις ἀλόχοις
ἔχθιστον ἀμβλάκιον καλύ- ψαι τ' ἀμάχανον
ἀλλοτρίαισι γλώσσαις· 'Επ. β'.
κακολόγοι δὲ πολῖται.
ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον·
ὁ δὲ χαμηλὰ πνέων ἄφαν- τον βρέμει.
θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας
ἵκων χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις.

Στρ. γ'.

μάντιν τ' ὄλεσσε κόραν, ἐπεὶ ἀμφ' Ἑλένᾳ πυρω-
θέντων
Τρώων ἔλυσε δόμους
ἁβρότατος. ὁ δ' ἄρα γέρον- τα ξένον
Στρόφιον ἐξίκετο νέᾳ κεφαλᾷ,
Παρνασοῦ πόδα ναί-
οντ'· ἀλλὰ χρονίῳ σὺν Ἄρει
πέφνεν τε ματέρα θῆκέ τ' Αἴ- γισθον ἐν φοναῖς.

'Αντ. γ'.

Ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον τρίοδον ἐδι- νήθην,
ὀρθὰν κέλευθον ἰὼν
τοπρίν· ἤ μέ τις ἄνεμος ἔ- ξω πλόου

---

23. *λόχον* codd. dett. — 25. *δή* codd. vett. — 30. *γρ. ἄφαντος* — 34. *ξένον γέροντα* codd. vett. — 35. *νεὰ κεφαλά* Heyne — 36. *χρονίῳ* codd. Tricliniani: *χρόνῳ* codd. vett. — 38. *ἀμευσιπόρους τριόδους* Hermann.

*ἔβαλεν, ὡς ὅτ' ἄκατον εἰναλίαν.*
*Μοῖσα, τὸ δὲ τεόν, εἰ*
*μισθοῖο συνέθευ παρέχειν*
*φωνὰν ὑπάργυρον, ἄλλοτ' ἄλ- λᾳ ταρασσέμεν,*

*ἢ πατρὶ Πυθονίκῳ* 'Επ. γ'.
*τό γέ νυν ἢ Θρασυδαίῳ·*
*τῶν εὐφροσύνα τε καὶ δόξ' ἐπιφλέγει.*
*τὰ μὲν ἐν ἅρμασι καλλίνι- κοι πάλαι*
*'Ολυμπίᾳ ἀγώνων πολυφάτων*
*ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις·*

Στρ. δ'.
*Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες ἤ- λεγξαν*
*'Ελλανίδα στρατιὰν*
*ὠκύτατι. θεόθεν ἐραί- μαν καλῶν,*
*δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.*
*τῶν γὰρ ἄμ πόλιν εὑ-*
*ρίσκων τὰ μέσα μάσσονι σὺν*
*ὄλβῳ τεθαλότα, μέμφομ' αἶ- σαν τυραννίδων·*

'Αντ. δ'.
*ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι· φθονεροὶ δ' ἀμύ-*
*νονται*
*ἆται, εἴ τις ἄκρον ἑλὼν*
*ἡσυχᾷ τε νεμόμενος αἰ- νὰν ὕβριν*

---

41. *δὲ τεόν* Moschopulus: *δ' ἐτεόν* codd. vett. — *μισθοῖο* Christ: *μισθοῦ* schol. *μισθῷ* codd. *μισθῷ γε σ.* Mingarelli, *μισθῷ παρέχεμεν συνέθευ* Hermann — 42. *ἄλλᾳ* Heyne: *ἄλλα χρή* codd. — 46. *ἐν* om. codd. vett. — 47. *'Ολυμπίᾳ* Beck: *'Ολυμπίᾳ τ'* codd. *'Ολυμπίαν* Boeckh — γρ *πολύφατον* — 52. *ἀνά* codd. vett. — *μάσσονι σύν* Bergk: *μακροτέρῳ σύν* vel *μακροτάτῳ σύν* codd. vett. *σύν* om. codd. interpoll. — 55. *ἆται* Hermann, fort.: *ἀμύνοντ' εἰ ἀλκᾷ* — *ἀσυχᾷ* Hermann: *ἀσυχίᾳ* codd. vett.

*ἀπέφυγεν, μέλανα δ' ἀν' ἐσχατιὰν*
*καλλίονα θανάτου * ἐν γλυκυτάτᾳ γενεᾷ*
*εὐώνυμον κτεάνων κρατίσ- ταν χάριν πορών.*

*ἅ τε τὸν Ἰφικλείδαν* *Ἐπ. δʹ.*
*διαφέρει Ϝιόλαον*
*ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,*
*σέ τε, ϝάναξ Πολύδευκες, υἱ- οὶ θεῶν,*
*τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας,*
*τὸ δ' οἰκέοντας ἔνδον Ὀλύμπου.*

---

## ΠΥΘΙΟΝΙΚΑΙ ΙΒʹ.

# ΜΙΔΑι ΑΚΡΑΓΑΝΤΙΝΩι

## ΑΥΛΗΤΗι.

474 or 490 B.C.

– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –̣ ⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –̣ ⏑ ⏓
– –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – – –̣ ⏑ –
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓

*Στρ. αʹ.*

*Αἰτέω σε, φιλάγλαε, καλλίστα βροτεᾶν πολίων,*
*Φερσεφόνας ἕδος, ἅ τ' ὄχθαις ἔπι μηλοβότου*
*ναίεις Ἀκράγαντος ἐύδματον κολώναν, ὦ ϝάνα,*

---

56. *μέλανα δ'* Hermann: *μέλανος δ'* codd. — 57. *θάνατον ἐν* vel *θανάτου ἐν* codd. vett. fere omnes, unde conicias: *καλλιπὼν θανάτου φάμαν . . . . πόρεν; θάνατον ἔσχεν ἐν* suspecta codd. nonnullorum lectio, unde Kayser coniecit: *μόρον ὅ δ' ἀν' ἐσχατιὰν καλλίονα βιοτᾶς ἔσχεν.*

ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενείᾳ
δέξαι στεφάνωμα τόδ᾽ ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ,
αὐτόν τέ νιν Ἑλλάδα νικάσαντα τέχνᾳ, τάν ποτε
Παλλὰς ἐφεῦρε θρασειᾶν Γοργόνων
οὔλιον θρῆνον διαπλέξαισ᾽ Ἀθάνα·

Στρ. β΄.

τὸν παρθενίοις ὑπό τ᾽ ἀπλάτοις ὀφίων κεφαλαῖς
ἄιε λειβόμενον δυσπενθέι σὺν καμάτῳ,
Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος,
εἰναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων.
ἤτοι τό τε θεσπέσιον Φόρκοιο μαύρωσεν γένος,
λυγρόν τ᾽ ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ᾽ ἔμπεδον
δουλοσύναν τό τ᾽ ἀναγκαῖον λέχος,
εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας

Στρ. γ΄.

υἱὸς Δανάας· τὸν ἀπὸ χρυσοῦ φαμὲν αὐτορύτου
ἔμμεναι. ἀλλ᾽ ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων
ἐρρύσατο παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος,
ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων
χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ᾽ ἐρικλάγκταν γόον·
εὗρεν θεός· ἀλλά νιν εὑροῖσ᾽ ἀνδράσι θνατοῖς ἔχειν,
ὠνόμασεν κεφαλᾶν πολλᾶν νόμον,
εὐκλεᾶ λαοσσόων μναστῆρ᾽ ἀγώνων,

Στρ. δ΄.

λεπτοῦ διανισσόμενον χαλκοῦ θ᾽ ἅμα καὶ δονάκων,
τοὶ παρὰ καλλίχορον ναίοισι πόλιν Χαρίτων,

5. εὐδόξου Μίδα codd. dett. — 11. ἄνυσσεν Boeckh: ἄυσεν codd. — 12. εἰναλίᾳ τε πέτρᾳ Hermann — 23. ἐμπέδα Bossler — 25. γρ. θαμά — 26. καλλιχόρῳ vel καλλιχόρω codd. unde interpolaverunt καλλιχόρῳ ναίοισι πόλει.

Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες.
εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου
οὐ φαίνεται· ἐκ δὲ τελευτάσει νιν ἤτοι σάμερον
δαίμων· τό γε μόρσιμον οὐ παρφυκτόν· ἀλλ' ἔσται χρόνος
οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν
ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω.

---

29. *νέωτ' ἢ σάμερον δαίμων τό γε μόρσιμον· οὐ γὰρ* Bergk — 30. *γε* codd. vett.: *δέ* codd. interpoll. — *οὐ πα φυκτόν* codd. dett.

# N E M E O N I K A I.

### NEMEONIKAI A'.

## ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι

### ΙΠΠΟΙΣ.

Strophae.



Epodi.



Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ, Στρ. α'.
κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία,
δέμνιον Ἀρτέμιδος,
Δάλου κασιγνήτα, σέθεν ἁδυεπὴς
ὕμνος ὁρμᾶται θέμεν
αἶνον ἀελλοπόδων μέγαν ἵππων, Ζηνὸς Αἰτναίου χάριν·
ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα θ' ἔργμασιν νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.

ἀρχαὶ δὲ βέβληνται θεῶν — Ἀντ. α΄.
κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
ἔστι δ' ἐν εὐτυχίᾳ
πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων
Μοῖσα μεμνᾶσθαι φιλεῖ.
σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ, τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ, κατένευ- σέν τέ ϝοι χαίταις,
ἀριστεύοισαν εὐκάρπου χθονὸς

Ἐπ. α΄.
Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς·
ὦπασε δὲ Κρονίων πολέμου μναστῆρά ϝοι χαλκεντέος
λαὸν ἵππαιχμον θαμὰ δὴ καὶ Ὀλυμπιάδων φύλλοις ἐλαιᾶν χρυσέοις
μιχθέντα. πολ- λῶν ἐπέβαν
καιρὸν οὐ ψεύδει βαλών.

ἔσταν δ' ἐπ' αὐλείαις θύραις — Στρ. β΄.
ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,
ἔνθα μοι ἁρμόδιον
δεῖπνον κεκόσμηται, θαμὰ δ' ἀλλοδαπῶν
οὐκ ἀπείρατοι δόμοι
ἐντί· λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν
ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι· χρὴ δ' ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ.

---

13. σπεῖρε schol.: ἔγειρε codd. — 17. γρ. θ' ἅμα — 24. ἐσλούς Aristarchus: ἐσλὸς codd.

πράσσει γὰρ ἔργῳ μὲν σθένος, 'Αντ. β'.
βουλαῖσι δὲ φρὴν ἐσσόμενον προϊδεῖν,
συγγενὲς οἷς ἕπεται.
'Αγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ
τῷν τε καὶ τῶν χρήσιες.
οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις
ἔχειν,
ἀλλ' ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦ- σαι φίλοις
ἐξαρκέων. κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες

'Επ. β'.
πολυπόνων ἀνδρῶν. ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι
προφρόνως,
ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις ἀρχαῖον ὀτρύνων λόγον,
ὡς, ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα θαητὰν
ἐς αἴγλαν παῖς Διὸς
ὠδῖνα φεύ- γων διδύμῳ
σὺν κασιγνήτῳ μόλεν,

ὡς οὐ λαθὼν χρυσόθρονον Στρ. γ'.
Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα·
ἀλλὰ θεῶν βασιλέα
σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.
τοὶ μὲν οἰχθεισᾶν πυλᾶν
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέκνοισιν ὠκείας
γνάθους
ἀμφελίξασθαι μεμαῶτες· ὁ δ' ὀρ- θὸν μὲν ἄντεινεν
κάρα, πειρᾶτο δὲ πρῶτον μάχας,

35. ὡς ἄρα Hermann, ὥς ποτε Rauchenstein — 37. ὡς οὐ Boeckh: ὡς τ' οὐ codd. ὤπ' οὐ λαθὼν χρυσοθρόνου Ἥρας Pauw.

δισσαῖσι δοιοὺς αὐχένων 'Αντ. γ'.
μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
ἀγχομένοις δὲ χρόνος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ' ἄρ' ἄτλατον δέος
πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι
λέχει·
καὶ γὰρ αὐτά, ποσσὶν ἄπεπλος ὀρού- σαισ' ἀπὸ
στρωμνᾶς, ὁμῶς ἄμυνεν ὕβριν κνωδάλων.

Ἐπ. γ'.
ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις ἔδραμον σὺν ὅπλοις
ἀθρόοι·
ἐν χερὶ δ' Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων
φάσγανον
ἵκετ', ὀξείαις ἀνίαισι τυπείς. τὸ γὰρ οἰκεῖον πιέζει
πάνθ' ὁμῶς·
εὐθὺς δ' ἀπή- μων κραδία
κᾶδος ἀμφ' ἀλλότριον.

ἔστα δὲ θάμβει δυσφόρῳ Στρ. δ'.
τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκνόμιον
λῆμά τε καὶ δύναμιν
υἱοῦ· παλίγγλωσσον δέ ϝοι ἀθάνατοι
ἀγγέλων ῥῆσιν θέσαν.
γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψίστου προφάταν ἔξο-
χον,
ὀρθόμαντιν Τειρεσίαν· ὁ δὲ ϝοῖ φράζε καὶ παντὶ
στρατῷ, ποίαις ὁμιλήσει τύχαις,

---

46. *ἀγχόμενοι δὲ χρόνῳ ψυχὰς ἀπέπνευσαν* Mingarelli — 48. *βέλος* codd. dett. — 50. *γρ. ὅμως* — 51. *ἔδραμον σὺν ὅπλοις* Bergk: *σὺν ὅπλοις ἔδραμον* codd. — 52. *φάσγανον* *om. codd.* vett. add. Moschopulei — 60. *ἐκκάλεσαν* codd. vett.

ὅσσους μὲν ἐν χέρσῳ κτανών, *Ἀντ. δ'.*
ὅσσους δὲ πόντῳ θῆρας ἀιδροδίκας·
καί τινα σὺν πλαγίῳ
ἀνδρῶν κόρῳ στείχοντα τῷ ἐχθροτάτῳ
φᾶσέ νιν δώσειν μόρῳ.
καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν
μάχαν
ἀντιάζωσιν, βελέων ὑπὸ ῥι- παῖσι κείνου φαιδίμαν
γαίᾳ πεφύρσεσθαι κόμαν

*Ἐπ. δ'.*

ἔνεπεν· αὐτὸν μὰν ἐν εἰρήνᾳ τὸν ἅπαντα χρόνον
ἐν σχερῷ
ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ' ἐξαί-
ρετον
ὀλβίοις ἐν δώμασι, δεξάμενον θαλερὰν Ἥβαν ἄκοι-
τιν καὶ γάμον
δαίσαντα, πὰρ Δὶ Κρονίδᾳ
σεμνὸν αἰνήσειν νόμον.

---

63. *δέ* Schmid: *δ' ἐν* codd. — 64. *τινι . . . στείχοντι* Hermann — 65. *τῷ ἐχθροτάτῳ* (*πανεχθροτάτῳ* Kayser) . . . . *μόρῳ* Beck: *τὸν ἐχθρότατον . . . . μόρον* codd. et schol. — 69. *ἐν σχερῷ* Hermann: *σχερώ* codd. — *καμάτων μεγάλων ἐν σχερῷ ἀσυχίαν τὸν ἅπαντα χρόνον* Boeckh — 72. *νόμον* ex scholiis Mommsen: *δόμον* codd.

## ΝΕΜΕΟΝΙΚΑΙ Β'.

# ΤΙΜΟΔΗΜΩι ΑΘΗΝΑΙΩι

## ΠΑΓΚΡΑΤΙΑΣΤΗι.

Date unknown.

⏑ – ́– ⏖ – ⏑ ⏒
– ́– ⏖ – ⏑ – ⏑ – ⏒
– ⏓ ́– ⏖ – ⏑ – ⏓ ́– ⏖ – –
⏖ ⏑ ́– ⏖ – ⏑ – – – ́– ⏖ – ⏑ – – ⏓ ́– ⏖ – ⏒
́– ⏖ – ⏒ ́– ⏖ – ⏒

*Ὅθενπερ καὶ Ὁμηρίδαι* *Στρ. α'.*
*ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ*
*ἄρχονται, Διὸς ἐκ προοιμίου· καὶ ὅδ' ἀνὴρ*
*καταβολὰν ἱερῶν ἀγώ-*
*νων νικαφορίας δέδεκ-*
*ται πρῶτον Νεμεαίου*
*ἐν πολυυμνήτῳ Διὸς ἄλσει.*

*ὀφείλει δ' ἔτι, πατρίαν* *Στρ. β'.*
*εἴπερ καθ' ὁδόν νιν εὐθυπομπὸς*
*αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις,*
*θαμὰ μὲν Ἰσθμιάδων δρέπεσ-*
*θαι κάλλιστον ἄωτον ἐν*
*Πυθίοισί τε νικᾶν*
*Τιμονόου παῖδ'. ἔστι δ' ἐοικὸς*

*ὀρειᾶν γε Πελειάδων* *Στρ. γ'.*
*μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.*
*καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν*

4. *ἱερῶν* Schmid: *ἱερᾶν* codd. — *πρώταν* Heyne — 9. *ἅμα* Hartung — 10. exspectes *παῖς* — 11. *θερειᾶν* Crates.

δυνατός. ἐν Τροΐᾳ μὲν Ἕκ-
τωρ †Αἴαντος ἄκουσεν· ὦ
Τιμόδημε, σὲ δ' ἀλκὰ
παγκρατίου τλάθυμος ἀέξει.

Ἀχάρναι δὲ παλαίφατον — Στρ. δ'.
εὐάνορες· ὅσσα δ' ἀμφ' ἀέθλοις,
Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.
παρὰ μὲν ὑψιμέδοντι Παρ-
νασσῷ τέσσαρας ἐξ ἀέθ-
λων νίκας ἐκόμιξαν·
ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν

ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς — Στρ. ε'.
ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·
ἑπτὰ δ' ἐν Νεμέᾳ, τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ,
Διὸς ἀγῶνι. τόν, ὦ πολῖ-
ται, κωμάξατε Τιμοδή-
μῳ σὺν εὐκλέϊ νόστῳ·
ἁδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.

---

14. ἄκουσεν codd. et schol. ἐγεύσατ' Matthiae — 21. πύλαις mavult Bergk — 23. ἀριθμοῦ Διός vulgo — γρ. Τιμοδήμω.

## ΝΕΜΕΟΝΙΚΑΙ Γ'.

# ΑΡΙΣΤΟΚΛΕΙΔῌ ΑΙΓΙΝΗΤῌ

## ΠΑΓΚΡΑΤΙΑΣΤῌ.

Strophae.



Epodi.



*Στρ. α'*

*Ὦ πότνια Μοῖσα, μᾶτερ ἁμετέρα, λίσσομαι,*
*τὰν πολυξέναν ἐν ἱερομηνίᾳ Νεμεάδι*
*ἵκεο Δωρίδα νᾶσον Αἴ- γιναν. ὕδατι γὰρ*
*μένοντ' ἐπ' Ἀ- σωπίῳ μελιγαρύων τέκτονες*
*κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι.*
*διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου·*
*ἀεθλονικία δὲ μάλιστ' ἀοι- δὰν φιλεῖ,*
*στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν.*

---

*De* soluta in duas breves syllaba longa versus sexti *strophae vide* ad v. 14.

'Αντ. α'.

*τᾶς ἀφθονίαν ὄπαζε μήτιος ἁ- μᾶς ἄπο·*
*ἄρχε δ', οὐρανοῦ πολυνεφέλα κρέον- τι θύγατερ,*
*δόκιμον ὕμνον· ἐγὼ δὲ κεί- νων τέ νιν ὀάροις*
*λύρᾳ τε κοι- νάσομαι. χαρίεντα δ' ἕ- ξει πόνον*
*χώρας ἄγαλμα, Μυρμιδόνες ἵνα πρότεροι*
*ᾤκησαν, ὧν παλαίφατον ἀλκὰν*
*οὐκ ἐλεγχέεσσιν Ἀριστοκλεί- δας ϝεὰν*
*ἐμίανε κατ' αἶσαν ἐν περισθενεῖ μαλαχθεὶς*

*παγκρατίου στόλῳ· καματωδέων δὲ πλαγᾶν* 'Επ. α'.
*ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ τὸ καλλίνι- κον*
*φέρει.*
*εἰ δ' ἐὼν καλὸς ἔρ- δων τ' ἐοικότα μορφᾷ*
*ἀνορέαις ὑπερτάταις ἐπέβα*
*παῖς Ἀριστοφάνευς· οὐκέτι προτέρω*
*ἀβάταν ἅλα κιόνων ὑπὲρ Ἡρακλέος περᾶν εὐμαρές,*

*ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας* Στρ. β'.
*μάρτυρας κλυτάς· δάμασε δὲ θῆρας ἐν πελάγει*
*ὑπερόχους, διά τ' ἐξερεύ- νασε τεναγέων*
*ῥοάς, ὅπᾳ πόμπιμον κατέβαινε νό- στου τέλος,*
*καὶ γᾶν φράδασσε. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν*
*ἄκραν ἐμὸν πλόον παραμείβεαι;*
*Αἰακῷ σε φαμὶ γένει τε Μοῖ- σαν φέρειν.*
*ἕπεται δὲ λόγῳ δίκας ἄωτος, ἐσλὸς αἰνεῖν·*

---

10. *γρ. οὐρανῷ, Οὐρανοῖ* Bergk — *πολυνεφέλα* codd.: *πολυνεφέλᾳ* Bergk — *κρέοντι, θύγατερ, δοκ.* Hermann — — 12. *κοινάσομαι* Boeckh: *κοινώσομαι* codd. *κοίν' ἄσομαι* ex scholiis Bergk — *ἕξεις* Rauchenstein — 14. *ἀλκάν* Rauchenstein: *ἀγοράν* codd. et schol. — 15. *ἑάν* Pauw: *τεάν* codd. — 18. *ἔν γε βαθυπέδῳ* codd. interpoll. — 20. *προτέρω* Hermann ex schol.: *πόρσω* codd., *πρόσω* vulgo — 23. *γρ. κλυτᾶς* — 24. *διά τ' ἐξερεύνασε* Boeckh: *ἰδίᾳ τ' ἐρ.* vel *διά τ' ἐρ.* codd. et schol. — 29. *γρ. ἐσλόν.*

Ἀντ. β'.

οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες.
οἴκοθεν μάτευε. ποτίφορον δὲ κόσ- μον ἔλαβες
γλυκύ τι γαρυέμεν. παλαι- αῖσι δ' ἐν ἀρεταῖς
γέγαθε Πη- λεὺς ἄναξ, ὑπέραλλον αἰχ- μὰν ταμών·
ὃς καὶ Ϝιωλκὸν εἷλε μόνος ἄνευ στρατιᾶς,
καὶ ποντίαν Θέτιν κατέμαρψεν
ἐγκονητί. Λαομέδοντα δ' εὐ- ρυσθενὴς
Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν·

Ἐπ. β'.

καί ποτε χαλκότοξον Ἀμαζόνων μετ' ἀλκὰν
ἕπετό ϝοι· οὐδέ μίν ποτε φόβος ἀνδροδάμας ἔπαυσεν
ἀκ- μὰν φρενῶν.
συγγενεῖ δέ τις εὐ- δοξίᾳ μέγα βρίθει·
ὃς δὲ διδάκτ' ἔχει, ψεφεννὸς ἀνὴρ
ἄλλοτ' ἄλλα πνέων οὔ ποτ' ἀτρεκέι
κατέβα ποδί, μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται.

Στρ. γ'.

ξανθὸς δ' Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας ἐν δόμοις,
παῖς ἐὼν ἄθυρε μεγάλα ϝέργα, χερ- σὶ θαμινὰ
βραχυσίδαρον ἄκοντα πάλ- λων, ἴσα τ' ἀνέμοις
μάχᾳ λεόν- τεσσιν ἀγροτέροις ἔπρασ- σεν φόνον,
κάπρους τ' ἔναιρε, σώματα δὲ παρὰ Κρονίδαν

31. *ἔλαχες* unus e scholiastis — 39. *μιν* codd.: fort. *ϝιν* — *ἀλκάν* codd. mell. — 45. *ἴσα τ'* Moschopulus: *ἴσον τ'* codd. vett. *ἴσον* Schmid — 46. *μάχᾳ* Triclinius: *ἐν μάχᾳ* codd. vett. *μάχας* scholiasta legisse videtur, unde Rauchenstein proposuit: *μάχας λεόντεσσι τ' ἀγρ. ἔπρασσεν πικράς.* — 47. *σώματι* schol. unde *σώματι . . . ἀσθμαίνοντι* Triclinius.

*Κένταυρον ἀσθμαίνων ἐκόμιζεν,*
*ἑξέτης τοπρῶτον, ὅλον δ' ἔπειτ' ἂν χρόνον·*
*τὸν ἐθάμβεον Ἄρτεμίς τε καὶ θρασεῖ' Ἀθάνα*

Ἀντ. γ'.

*κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων·*
*ποσσὶ γὰρ κράτεσκε. λεγόμενον δὲ τοῦ- το προτέρων*
*ἔπος ἔχω· βαθυμῆτα Χεί- ρων τράφε λιθίνῳ*
*Ἰάσον' ἔν- δον τέγει, καὶ ἔπειτεν Ἀσ- κλαπιόν,*
*τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον·*
*νύμφευσε δ' αὖτις ἀγλαόκαρπον*
*Νηρέος θύγατρα, γόνον τέ Ϝοι φέρτατον*
*ἀτίταλλεν ἐν ἁρμένοισι πάντα θυμὸν αὔξων·*

Ἐπ. γ'.

*ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς*
*ὑπὸ Τροΐαν δορίκτυπον ἀλαλὰν Λυκίων τε προσ-*
*μένοι καὶ Φρυγῶν*
*Δαρδάνων τε, καὶ ἐγ- χεσφόροις ἐπιμίξαις*
*Αἰθιόπεσσι χεῖρας, ἐν φρασὶ πά-*
*ξαιθ', ὅπως σφίσι μὴ κοίρανος ὀπίσω*
*πάλιν οἴκαδ' ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμ- νων*
*μόλοι.*

Στρ. δ'.

*τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν·*
*Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγών, τὸν ὕμ- νος*
*ἔβαλεν*
*ὀπὶ νέων ἐπιχώριον χάρμα κελαδέων.*
*βοὰ δὲ νι- καφόρῳ σὺν Ἀριστοκλεί- δᾳ πρέπει,*

---

48. *ἀσθμαίνων ἐκόμιζεν* schol.: *ἀσθμαίνοντα κομ.* codd. vett. — 52. *γρ. πρότερον* — 53. *γρ. γ' Ἰάσον'*, unde *Ϝιάσον'* conicias — 56. *γρ. ἀγλαόκολπον* — 58. *ἐν* add. Schmid — *πᾶσι* Mingarelli — 67. *γρ. βοᾷ.*

ὃς τάνδε νᾶσον εὐκλέι προσέθηκε λόγῳ
καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
Πυθίου Θεάριον, ἐν δὲ πεί- ρᾳ τέλος
διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται,

'Αντ. δ'

ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀ- νήρ, τρίτος
ἐν παλαιτέροισι, μέρος ἕκαστον οἷ- ον ἔχομεν·
βρότεον ἔθνος. ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς
ὁ θνατὸς αἰ- ών, φρονεῖν δ' ἐνέπει τὸ παρ- κείμενον.
τῶν οὐκ ἄπεσσι. χαῖρε, φίλος. ἐγὼ τόδε τοι
πέμπω μεμιγμένον μέλι λευκῷ
σὺν γάλακτι, κιρναμένα δ' ἕερσ' ἀμφέπει,
πόμ' ἀοίδιμον Αἰολῇσιν ἐν πνοαῖσιν αὐλῶν,

'Επ. δ'.

ὀψέ περ. ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς,
ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος, δαφοινὸν
ἄγ- ραν ποσίν·
κραγέται δὲ κολοι- οὶ ταπεινὰ νέμονται.
τὶν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοί-
σας, ἀεθλοφόρου λήματος ἕνεκεν
Νεμέας Ἐπιδαυρόθεν τ' ἄπο καὶ Μεγάρων δέδορκεν
φάος.

---

72. ἐν ἀνδ. Hermann: ἐν δ' ἀνδ. codd. — τρίτος Bergk: τρίτατος aut τρίτατον aut τρίτον codd. — 73. τρίτον . . . μέρος· ἕκαστον alii — 75. γρ. μακρὸς αἰών — 76. ἄπεσσι Bergk: ἄπεστι codd.

## NEMEONIKAI Δ'.

# ΤΙΜΑΣΑΡΧΩι ΑΙΓΙΝΗΤΗι

### ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗι.

⏒ – ⏒ – ⏖ – ⏑ – – ⏖ ⏓
⏒ – ⏒ – ⏖ ⏓
– – ⏑ – ⏖ – – ⏒ – ⏑ – ⏖ ⏓
– ⏑ – ⏖ – ⏑ – ⏑ – ⏖ – ⏓
– ⏒ – ⏑ – ⏖ – ⏒ – ⏖ – ⏑ ⏓
– ⏑ – ⏒ – ⏖ – ⏑ – ⏖ – ⏓
⏖ ⏑ – ⏖ – ⏑ ⏓
⏒ – ⏖ – ⏑ – ⏑ – ⏓

Ἄριστος εὐφροσύνα πόνων κεκριμένων   Στρ. α'.
ἰατρός· αἱ δὲ σοφαὶ
Μοισᾶν θύγατρες ἀοιδαὶ
θέλξαν συναπτόμεναι.
οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει
γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.
ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει,
ὅ τι κε σὺν Χαρίτων τύχᾳ
γλῶσσα φρενὸς ἐξέλοι βαθείας.

Στρ. β'.
τό μοι θέμεν Κρονίδᾳ τε Δὶ καὶ Νεμέᾳ
Τιμασάρχου τε πάλᾳ
ὕμνου προκώμιον εἴη·
δέξαιτο δ' Αἰακιδᾶν

---

Versum tertium nescio an rectius duos in versiculos ita disseces, ut v. 51 nomen proprium diremptum patiaris.
8. *συναπτόμενοι* Rauchenstein: *νιν ἁπτόμενοι* codd. schol. — 8. *ἐξέλῃ* scholiasta legisse videtur.

*ἠύπυργον ἕδος, δίκᾳ ξεναρκέι κοινὸν*
*φέγγος. εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἀελίῳ*
*σὸς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων*
*ἅμα κε τῷδε μέλει κλιθεὶς*
*ὕμνον κελάδησε καλλίνικον*

*Στρ. γ'.*

*Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρ- μον στεφάνων*
*πέμψαντος καὶ λιπαρᾶν*
*εὐωνύμων ἀπ' Ἀθανᾶν,*
*Θήβαις τ' ἐν ἑπταπύλοις,*
*οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον*
*Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μίγνυον,*
*Αἰγίνας ἕκατι. φίλοισι γὰρ φίλος ἐλθὼν*
*ξένιον ἄστυ κατέδραμεν*
*Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.*

*Στρ. δ'.*

*σὺν ᾧ ποτε Τροΐαν κραται- ὸς Τελαμὼν*
*πόρθησε καὶ Μέροπας*
*καὶ τὸν μέγαν πολεμιστὰν*
*ἔκπαγλον Ἀλκυονῆ,*
*οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ*
*ἥρωάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν*
*δὶς τόσους. ἀπειρομάχας ἐών κε φανείη*
*λόγον ὁ μὴ συνιείς· ἐπεὶ*
*ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.*

*τὰ μακρὰ δ' ἐξενέπειν ἐρύ- κει με τεθμὸς* *Στρ. ε'.*
*ὧραί τ' ἐπειγόμεναι·*

---

15. *ἅμα* Christ: *θαμά* codd. — *υἱὸν .... πέμψαντα* Bergk — 18. *πέμψαντα* codd. mell. — 23. *κατέδρακεν* codd. vett. — 24. *παρ* mavult Kayser — 25. *κραταιός* Schmid: *καρτερός* codd.

ἴγγι δ' ἕλκομαι ἦτορ
    νεομηνίᾳ θιγέμεν.
ἔμπα, καῖπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα
μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ· σφόδρα δόξομεν
δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν·
φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων
γνώμαν κενεὰν σκότῳ κυλίνδει

χαμαιπετοῖσαν. ἐμοὶ δ' ὁποί- αν ἀρετὰν — Στρ. ϛ'.
ἔδωκε πότμος ἄναξ,
εὖ ϝοῖδ' ὅτι χρόνος ἕρπων
    πεπρωμέναν τελέσει.
ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ,
Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον
Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει
ὁ Τελαμωνιάδας· ἀτὰρ
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·

Στρ. ζ'.

ἐν δ' Εὐξείνῳ πελάγει φαεν- νὰν Ἀχιλεὺς
νᾶσον· Θέτις δὲ κρατεῖ
Φθίᾳ· Νεοπτόλεμος δ' Ἀ-
    πείρῳ διαπρυσίᾳ,
βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται
Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.
Παλίου δὲ πὰρ ποδὶ λατρείαν Ἰαωλκὸν
πολεμίᾳ χερὶ προστραπὼν
Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν,

---

36. καί περ codd. καῖπερ Bergk — 46. γρ. ὑπάρχει — 55. πολεμίαν χέρα Rauchenstein.

Στρ. η'.

δάμαρτος Ἱππολύτας Ἀκάσ- του δολίαις
τέχναισι χρησάμενος.
τᾷ Δαιδάλου δὲ μαχαίρᾳ
φύτευέ ϝοι θάνατον
ἐκ λόχου Πελίαο παῖς· ἄλαλκε δὲ Χείρων,
καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν·
πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων
ὄνυχας ὀξυτάτους ἀκμάν
τε δεινοτάτων σχάσαις ὀδόντων

Στρ. θ'.

ἔγαμεν ὑψιθρόνων μίαν Νηρεΐδων,
εἶδεν δ' εὔκυκλον ἕδραν,
τᾶς οὐρανοῦ βασιλῆες
πόντου τ' ἐφεξόμενοι
δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ.
Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν. ἀπότρεπε
αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·
ἄπορα γὰρ λόγον Αἰακοῦ
παίδων τὸν ἅπαντά μοι διελθεῖν.

Θεανδρίδαισι δ' ἀεξιγυί- ων ἀέθλων Στρ. ι'.
κᾶρυξ ἑτοῖμος ἔβαν
Οὐλυμπίᾳ τε καὶ Ἰσθμοῖ
Νεμέᾳ τε συνθέμενος,
ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων
οὐ νέοντ' ἄνευ στεφάνων, πάτραν ἵν' ἀκούομεν,
Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς

---

58. χωσάμενος scholion Triclinianum — 59. δαιδάλῳ Didymus — 62. θρασυμαχάνων Hermann: θρασυμαχᾶν codd. — 68. ἐγγενές schol.: ἐς γενεάς codd. ἐς γένος Ursinus — 77. ἵν' Hermann: νιν codd.

πρόπολον ἔμμεναι. εἰ δέ τοι
μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις

Στρ. ια'.

στάλαν θέμεν Παρίου λίθου λευκοτέραν —
ὁ χρυσὸς ἑψόμενος
αὐγὰς ἔδειξεν ἁπάσας,
ὕμνος δὲ τῶν ἀγαθῶν
ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει
φῶτα — κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμὰν
γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα
ὃς ἐν ἀγῶνι βαρυκτύπου
θάλησε Κορινθίοις σελίνοις·

Στρ. ιβ'.

τὸν Εὐφάνης ἐθέλων γεραι- ὸς προπάτωρ
σὸς ἄεισεν τότε, παῖ.
ἄλλοισι δ' ἅλικες ἄλλοι·
τὰ δ' αὐτὸς ἂν τις ἴδῃ,
ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.
οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι,
ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν,
μαλακὰ μὲν φρονέων ἐσλοῖς,
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

---

82. χρυσὸς δ' ἑψ. Hartung — 87. ὃς ἐν e scholiorum vestigiis Rauchenstein: ἵν' ἐν codd. ἕνεκ' Bergk — 90. σὸς ἄεισεν τότε, παῖ Rauchenstein: ὁ σὸς ἀείσεται παῖ codd. ἀείσεται, παῖ, ὁ σός Mommsen — 91. ἴδῃ e schol. Hermann: τύχῃ codd. — 93. οἷον Aristarchus — γρ. ἔριδας — στρέφοιν Bergk coniecit, sed ipse iam damnare videtur.

## NEMEONIKAI E'.

# ΠΥΘΕΑι ΑΙΓΙΝΗΤΗι

### ΠΑΙΔΙ ΠΑΓΚΡΑΤΙΑΣΤΗι.

Strophae.



Epodi.



*Στρ. α'.*

*Οὐκ ἀνδριαντοποιός εἰμ᾽, ὥστ᾽ ἐλινύσοντα ϝερ-*
*γάζεσθαι ἀγάλματ᾽ ἐπ᾽ αὐτᾶς βαθμίδος*
*ἑσταότ᾽· ἀλλ᾽ ἐπὶ πάσας ὁλκάδος ἔν τ᾽ ἀκάτῳ,*
*γλυκεῖ᾽ ἀοιδά,*
*στεῖχ᾽ ἀπ᾽ Αἰγίνας, διαγγέλλοισ᾽, ὅτι*
*Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς*
*νίκῃ Νεμείοις παγκρατίου στέφανον,*
*οὔπω γένυσι φαίνων τέρειναν ματέρ᾽ οἰνάνθας*
*ὀπώραν,*

---

5. *γρ.* **νικῇ** — 6. **οἰνάνθαν ὀπώρας** Pauw.

*Ἀντ. α΄.*

*ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥ- ρωας αἰχματὰς φυτευ-*
*θέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων*
*Αἰακίδας ἐγέραρεν ματρόπολίν τε, φίλαν ξένων*
*ἄρουραν·*
*τάν ποτ' εὔανδρόν τε καὶ ναυσικλυτὰν*
*θέσσαντο πὰρ βωμὸν πατέρος Ἑλλανίου*
*στάντες, πίτναν τ' εἰς αἰθέρα χεῖρας ἁμᾶ*
*Ἐνδαΐδος ἀρίγνωτες υἱοὶ καὶ βία Φώκου κρέοντος,*

*Ἐπ. α΄.*

*ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια τίκτ' ἐπὶ ῥηγμῖνι πόντου.*
*αἰδέομαι μέγα ϝειπεῖν ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον,*
*πῶς δὴ λίπον εὐκλέα νᾶσον, καὶ τίς ἄνδρας ἀλ-*
*κίμους*
*δαίμων ἀπ' Οἰνώνας ἔλασεν. στάσομαι. οὔ τοι*
*ἅπασα κερδίων*
*φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκές·*
*καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ*
*νοῆσαι.*

*Στρ. β΄.*

*εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆσαι*
*πόλεμον δεδόκηται, μακρά μοι*
*αὐτόθεν ἅλμαθ' ὑποσκάπτοι τις· ἔχω γονάτων ἐλαφρὸν*
*ὁρμάν.*
*καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί.*
*πρόφρων δὲ καὶ κείνοις ἄειδ' ἐν Παλίῳ*
*Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις*
*φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ*
*διώκων*

---

13. *ὃν* Schmid: *τόν* codd. — 14. *τι μή* Hartung — 17. *ἀτρεκές* Bergk: *ἀτρεκής* codd. — 22. *ἄειδ' ἐν* Pauw: *ἀείδει* codd.

*Ἀντ. β΄.*

*ἀγεῖτο παντοίων νόμων. αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν*
*Πηλέα θ᾽, ὥς τέ νιν ἁβρὰ Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι*
*ἤθελε ξυνᾶνα Μαγνήτων σκοπὸν*
*πείσαισ᾽ ἀκοίταν ποικίλοις βουλεύμασιν,*
*ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,*
*ὡς ἄρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου*

*Ἐπ. β΄.*

*εὐνᾶς· τὸ δ᾽ ἐναντίον ἔσκεν· πολλὰ γάρ νιν παντὶ θυμῷ*
*παρφαμένα λιτάνευεν. τοῦ δ᾽ ἄρ᾽ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι·*
*εὐθὺς δ᾽ ἀπανάνατο νύμφαν, ξεινίου πατρὸς χόλον*
*δείσαις· ὁ δ᾽ ἐφράσθη κατένευ- σέν τέ ϝοι ὀρσινεφὴς ἐξ οὐρανοῦ*
*Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ᾽ ἐν τάχει*
*ποντίαν χρυσαλακάτων τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν,*

*Στρ. γ΄.*

*γαμβρὸν Ποσειδάωνα πεί- σαις, ὃς Αἰγᾶθεν ποτὶ κλειτὰν θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν·*
*ἔνθα μιν εὔφρονες ἶλαι σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,*
*καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ.*
*πότμος δὲ κρίνει συγγενὴς ἔργων περὶ*

---

29. *γρ. συνέπλεξε* — 32. *τοῦ δ᾽ ἄρ᾽* Rauchenstein: *τοῦ δέ* codd. unde *ϝοργάν* Mommsen scribere ausus est.

*πάντων. τὺ δ' Αἰγίνᾳ θεοῦ, Εὐθύμενες,*
*Νίκας ἐν ἀγκώνεσσι πιτνὼν ποικίλων ἔψαυσας*
*ὕμνων.*

*'Αντ. γ'.*

*ἤτοι μεταΐξαντα καὶ νῦν τεὸς μάτρως σ' ἀγάλλει καί*
*σου ὁμόσπορον ἔθνος, Πυθέα.*
*ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος, ὃν φίλησ'*
*'Απόλλων·*
*ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτεις*
*Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ', ὅτι*
*ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.*
*ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ μόχθων*
*ἀμοιβὰν*

*'Επ. γ'.*

*ἐπαύρεο. χρὴ δ' ἀπ' 'Αθανᾶν τέκτον' ἀθληταῖσιν*
*ἔμμεν.*
*εἰ δὲ Θεμίστιον ἵκεις, ὥστ' ἀείδειν, μηκέτι ῥίγει·*
*δίδοι*
*φωνάν, ἀνὰ δ' ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου,*
*πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι ἑλεῖν 'Επι-*
*δαύρῳ διπλόαν*
*νικῶντ' ἀρετάν, προθύροισιν δ' Αἰακοῦ*
*ἀνθέων ποιάεντα φέρειν στεφανώματα σὺν ξανθαῖς*
*Χάρισσιν.*

---

41. *θεοῦ* Schmid: *θεᾶς* codd. — 43. *μετάιξας, τὰ καί* Bergk — *σ' ἀγάλλει καί σου* Christ: *ἀγάλλει κείνου* codd. *ἀγάλλει κλεινόν* Heyne — *Πυθέα* antiqua scriptura teste scholiasta: *Πυθέας* codd. *ἔθνος. Πυθέα* Kayser — 45. *ἐκράτεις* Christ: *ἐκράτει* codd. — 52. *γρ. παγκρατίου* — *γρ. τριπλόαν* — 54. *ἀνθέων* Hermann: *ἄνθεα* codd.

# NEMEONIKAI ϛ'.

# ΑΛΚΙΜΙΔῌ ΑΙΓΙΝΗΤῌ

## ΠΑΙΔΙ ΠΑΛΑΙΣΤῌ.

Strophae.



Epodi.



Ἓν ἀνδρῶν, Στρ. α'.
ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν
ματρὸς ἀμφότεροι· διείρ- γει δὲ πᾶσα κεκριμένα
δύναμις, ὡς τὸ μὲν οὐ-
δέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
μένει οὐρανός. ἀλλά τι προσ-
φέρομεν ἔμπαν ἢ μέγαν

---

Strophae primum versiculum cum secundo a Boeckhio Bergkio aliis coniunctum equidem separavi; ultimo quatuor, quas ipse praecedenti versui subiunxi, syllabas Bergkius praefixit; epodi autem cola sextum et septimum Hermannus copulavit; de syllaba denique ancipite versus tertii stro*phae vide notas* criticas ad v. 61.

νόον ἤτοι φύσιν ἀθανάτοις,
καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐ-
δὲ μετὰ νύκτας ἄμμι πότμος
οἵαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.

Ἀντ. α'.

τεκμαίρει
καί νυν Ἀλκιμίδας τὸ συγ- γενὲς ἰδεῖν
ἄγχι καρποφόροις ἀρού- ραισιν. αἵτ' ἀμειβόμεναι
τόκα μὲν ὦν βίον ἀν-
δράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν,
τόκα δ' αὖτ' ἀναπαυσάμεναι
σθένος ἔμαρψαν. ἦλθέ τοι
Νεμέας ἐξ ἐρατῶν ἀέθλων
παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων
Διόθεν αἶσαν νῦν πέφανται
οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,

Ἐπ. α'.

ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων
πατροπάτορος ὁμαιμίου.
κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν Αἰακίδαις
ἔρνεα πρῶτος ἔνεικεν ἀπ' Ἀλφεοῦ,
καὶ πεντάκις Ἰσθ- μοῖ στεφανωσάμενος,
Νεμέᾳ δὲ τρίς,
ἔπαυσε λάθαν
Σωκλείδα, ὃς ὑπέρτατος
Ἀγησιμάχῳ υἱέων γένετο.

---

7. ἄμμι Schneidewin: ἄμμε codd. — οἷαν τιν' Hermann: ἄν τιν' codd. — καί Schmid: δὲ καί codd. vett. — 20. ἔνεικεν om. codd. add. Bergk, ἐδρέψατ' Hartung — 22. τρεῖς Hermann coniunctis membris 20 et 21 — 24. Σωκλείδᾳ Triclinius.

*ἐπεί ϝοι* Στρ. β'.
*τρεῖς ἀεθλοφόροι πρὸς ἄ- κρον ἀρετᾶς*
*ἦλθον, οἵτε πόνων ἐγεύ- σαντο. σὺν θεοῦ δὲ τύχᾳ*
*ἕτερον οὔ τινα ϝοῖ-*
*κον ἀπεφάνατο πυγμαχία πλεόνων*
*ταμίαν στεφάνων μυχῷ Ἑλ-*
*λάδος ἁπάσας. ἔλπομαι*
*μέγα ϝειπὼν σκοποῦ ἄντα τυχεῖν*
*ὥτ' ἀπὸ τόξου ἱείς· εὔθυν' ἐπὶ τοῦ-*
*τον ἐπέων, ὦ Μοῖσ', ἄγ' οὖρον*
*εὐκλεΐα· παροιχομένων γὰρ ἀνέρων*

*ἀοιδαὶ* Ἀντ. β'.
*καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν,*
*Βασσίδαισιν ἅ τ' οὐ σπανί- ζει· παλαίφατος γενεά,*
*ἴδια ναυστολέον-*
*τες ἐπικώμια, Πιερίδων ἀρόταις*
*δυνατοὶ παρέχειν πολὺν ὕμ-*
*νον ἀγερώχων ἐργμάτων*
*ἕνεκεν. καὶ γὰρ ἐν ἀγαθέᾳ*
*χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτη-*
*σεν ἀπὸ ταύτας αἷμα πάτρας*
*χρυσαλακάτου ποτὲ Καλλίας ἁδὼν*

Ἐπ. β'.
*ἔρνεσι Λα- τοῦς, παρὰ Κασταλίᾳ τε Χαρίτων*
*ἑσπέριος ὁμάδῳ φλέγεν·*

---

28. *πλεόνων* e schol. add. Schmid — 31. *σκοποῦ ἄντα τυχεῖν* e scholiis Mingarelli: *ἄντα σκ. τ.* codd. *ἂν τετυχεῖν* var. lect. schol. — 32. *ἐπέων, ὦ Μοῖσ', ἄγ', οὖρον* Boeckh: *ἄγε Μοῖσα οὖρον ἐπέων* codd. — 33. *εὐκλέ' ἀποιχομένων* Schneidewin — 34. *ἀοιδαί* Pauw: *ἀοιδοί* codd. — γρ. *λόγιοι* — 36. *Βουδίδαισιν* proposuit Didymus — 40. *ἱμαντωθείς* codd. vett.

πόντου τε γέφυρ᾽ ἀκάμαντος ἐν ἀμ- φικτιόνων
ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν
τίμασε Ποσει- δάνιον ἂν τέμενος·
βοτάνα τέ νιν
πόθ᾽ ἁ λέοντος
νικῶντ᾽ ἤρεφε δασκίοις
Φλιοῦντος ὑπ᾽ ὠγυγίοις ὄρεσιν.

πλατεῖαι Στρ. γ΄.
πάντοθεν λογίοισιν ἐν- τὶ πρόσοδοι
νᾶσον εὐκλέα τάνδε κοσ- μεῖν· ἐπεί σφιν Αἰακίδαι
ἔπορον ἔξοχον αἶ-
σαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.
πέταται δ᾽ ἐπί τε χθόνα καὶ
διὰ θαλάσσας τηλόθεν
ὄνυμ᾽ αὐτῶν· καὶ ἐς Αἰθίοπας
Μέμνονος οὐκ ἀπονοστήσαντος ἔπαλ-
το· βαρὺ δ᾽ ἔμπεσέ σφι νεῖκος
χαμαὶ καταβὰς Ἀχιλεὺς ἀφ᾽ ἁρμάτων,

φαεννᾶς Ἀντ. γ΄.
υἱὸν εὖτ᾽ ἐνάριξεν Ἀ- όος ἀκμᾷ
ἔγχεος ζακότοιο. καὶ ταύταν μὲν παλαιότεροι
ὁδὸν ἀμαξιτὸν εὗ-
ρον· ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν·
τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισ-
σόμενον αἰεὶ κυμάτων
λέγεται παντὶ μάλιστα δονεῖν

---

49. νικῶντ᾽ ἤρεφε Hermann: νικάσαντ᾽ ἔρεψε codd. — 57. δ᾽ ἔμπεσέ σφι νεῖκος Kayser: δέ σφιν νεῖκος ἔμπεσ᾽ codd. — 58. χαμαί καταβὰς Ἀχιλεύς Dissen: Ἀχιλεὺς χαμαὶ καββάς codd. — 61. τάνδε Schmid, fort: ζακότοιο· μὲν οἱ παλ.

θυμόν. ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων
δίδυμον ἄχθος ἄγγελος βᾶν
πέμπτον γ' ἐπὶ ϝείκοσι τοῦτο γαρύων

Ἐπ. γ′.

εὔχος ἀγώ- νων ἄπο, τοὺς ἐνέποι- σιν ἱερούς,
Ἀλκιμίδα τό γ' ἐπάρκεσεν
κλειτᾷ γενεᾷ· δύο μὲν Κρονίου πὰρ τεμένει,
παῖ, σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν
κλᾶρος προπετὴς ἄνθε' Ὀλυμπιάδος.
δελφῖνί κεν
τάχος δι' ἅλμας
εἰκάζοιμι Μελησίαν,
χειρῶν τε καὶ ἰσχύος ἀνίοχον.

---

NEMEONIKAI Z′.

# ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

## ΠΑΙΔΙ ΠΕΝΤΑΘΛΩι.

Strophae.



---

65. βᾶν Hermann: ἔβαν codd. — 66. γ' add. Hermann — *68.* Ἀλκιμίδᾰ Ahlwardt: Ἀλκιμίδας codd. — 74. εἰκάζοιμι *Bergk duce scholiasta*: ἴσον εἴποιμι codd.

Epodi.

⏑ ″– ⏑ – ´– ⏑⏑ – ´⏑⏑ ⏑ ⏓
⏑⏑ ⏑ ″– ⏑⏑ – ´– ⏑ ⏓
– ⏑ ″– ⏑⏑ – ⏑⏑ ⏑ ´– ⏑ ⏓
⏑⏑ ⏑ ″– ⏑⏑ – ⏑⏑ ⏑ ´– ⏑ ⏓
⏑⏑ ⏑ ″– ⏑⏑ – ⏑ – ⏑⏑ ⏑ ´– ⏑⏑ – ⏑ – ⏑ – ⏓

*Στρ. α΄.*

*Ἐλείθυια, πάρεδρε Μοι- ρᾶν βαθυφρόνων,*
*παῖ μεγαλοσθενέος, ἄκουσον, Ἥ-*
*ρας, γενέτειρα τέκ- νων· ἄνευ σέθεν*
*οὐ φάος, οὐ μέλαι- ναν δρακέντες εὐφρόναν*
*τεὰν ἀδελ- φεὰν ἐλάχομεν ἀγλαόγυιον Ἥβαν.*
*ἀναπνέομεν δ᾽ οὐχ ἅπαντες ἐπὶ ϝίσα·*
*εἴργει δὲ πότμῳ ζυγένθ᾽ ἕτερον ἕτερα. σὺν δὲ τὶν*
*καὶ παῖς ὁ Θεαρίω- νος ἀρετᾷ κριθεὶς*
*εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθλοις.*

*Ἀντ. α΄.*

*πόλιν γὰρ φιλόμολπον οἰ- κεῖ δορικτύπων*
*Αἰακιδᾶν· μάλα δ᾽ ἐθέλοντι σύμ-*
*πειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν.*
*εἰ δὲ τύχῃ τις ἔρ- δων, μελίφρον᾽ αἰτίαν*
*ῥοαῖσι Μοι- σᾶν ἐνέβαλε· ταὶ μεγάλαι γὰρ ἀλκαὶ*
*σκότον πολὺν ὕμ- νων ἔχοντι δεόμεναι·*
*ἔργοις δὲ καλοῖς ἔσοπ- τρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,*
*εἰ Μναμοσύνας ἕκα- τι λιπαράμπυκος*
*εὕρηται ἄποινα μόχ- θων κλυταῖς ἐπέων ἀοιδαῖς.*

---

3. *ἐκ μελαίνας . . . εὐφρόνας* Hartung — 6. *γρ. πότμος* — *ζυγένθ᾽* Schmid: *ζυγόνθ᾽* codd. — 8. *γρ. ἔνδοξος* — 12. *ἐνέβαλε* Hermann: *ἔβαλε* codd. — 16. *εὕρηται* Hermann: *εὕρηται τις* codd. *εὕρῃ τις* Schmid.

σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον 'Επ. α'.
ἔμαθον, οὐδ' ὑπὸ κέρ- δει βλάβεν·
ἀφνεὸς πενιχρός τε θανάτου πέρας
ἅμα νέονται. ἐγὼ δὲ πλέον' ἔλπομαι
λόγον 'Οδυσσέος ἢ πάθεν
διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον.

ἐπεὶ ψεύδεσί ϝοι ποτα- νᾷ τε μαχανᾷ Στρ. β'.
σεμνὸν ἔπεστί τι· σοφία δὲ κλέπ-
τει παράγοισα μύ- θοις· τυφλὸν δ' ἔχει
ἦτορ ὅμιλος ἀν- δρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν
ἓ τὰν ἀλά- θειαν ἰδέμεν, οὔ κεν ὅπλων χολωθεὶς
ὁ καρτερὸς Αἴ- ας ἔπαξε διὰ φρενῶν
λευρὸν ξίφος· ὃν κράτισ- τον 'Αχιλέος ἄτερ μάχᾳ
ξανθῷ Μενέλᾳ δάμαρ- τα κομίσαι θοαῖς
ἂν ναυσὶ πόρευσαν εὐ- θυπνόου Ζεφύροιο πομπαὶ

'Αντ. β'.
πρὸς Ἴλου πόλιν. ἀλλὰ κοι- νὸν γὰρ ἔρχεται
κῦμ' 'Αίδα, πέσε δ' ἀδόκητον ἓν
καὶ δοκέοντα· τι- μὰ δὲ γίνεται,
ὧν θεὸς ἁβρὸν αὔ- ξει λόγον τεθνακότων·
βοαθόον τοι παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου
μολὼν χθονός, ἐν Πυθίοισι δὲ δαπέδοις
κεῖται Πριάμου πόλιν Νεοπόλεμος ἐπεὶ πράθεν·
τᾷ καὶ Δαναοὶ πόνη- σαν· ὁ δ' ἀποπλέων
Σκύρου μὲν ἅμαρτεν, ἵ- κοντο δ' εἰς Ἐφύραν πλάνητες.

---

19. πέρας ἅμα Wieseler: παρὰ σᾶμα codd. — 21. πάθαν codd. vett. — 22. τε om. codd. add. Hermann — 25. ἓ τάν Boeckh: ἐάν codd. — 29. ἐν Triclinius — 33. βοαθόον Hermann: βοαθόων codd. fort.: λάχεν μόρον — παρά e schol. Hermann: γάρ codd. — 34. μολών Christ: μόλον antiqua lectio teste scholiasta, ἔμολεν codd. — Πυθίοισι γαπέδοις *Hartung* — 37. πλάνητες Bergk: πλαγχθέντες codd. πλαγχθέντες δ' εἰς 'Εφύραν ἵκοντο Boeckh.

Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον 'Επ. β'.
χρόνον· ἀτὰρ γένος αἰ- εἰ φέρεν
τοῦτό ϝοι γέρας. ᾤ- χετο δὲ πρὸς θεόν,
κτέαν' ἄγων Τροΐα- θεν ἀκροθινίων·
ἵνα κρεῶν νιν ὕπερ μάχας
ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.

βάρυνθεν δὲ περισσὰ Δελ- φοὶ ξεναγέται. Στρ. γ'.
ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν· ἐχ-
ρῆν δέ τιν' ἔνδον ἄλ- σει παλαιτάτῳ
Αἰακιδᾶν κρεόν- των τολοιπὸν ἔμμεναι
θεοῦ παρ' εὐ- τειχέα δόμον, ἡρωΐαις δὲ πομπαῖς
θεμισκόπον οἰ- κεῖν ἐόντα πολυθύτοις
εὐώνυμον ἐς δίκαν. τρία ϝέπεα διαρκέσει·
οὐ ψεῦδις ὁ μάρτυς ἔργ- μασιν ἐπιστατεῖ.
Αἴγινα, τεῶν Διός τ' ἐκγόνων θρασύ μοι τόδ' εἰπεῖν,

'Αντ. γ'.
φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
οἴκοθεν· ἀλλὰ γὰρ ἀνάπαυσις ἐν
παντὶ γλυκεῖα ϝέρ- γῳ· κόρον δ' ἔχει
καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια.
φυᾷ δ' ἕκασ- τος διαφέρομεν βιοτὰν λαχόντες,
ὁ μὲν τά, τὰ δ' ἄλ- λοι· τυχεῖν δ' ἕν' ἀδύνατον
εὐδαιμονίαν ἅπα- σαν ἀνελόμενον· οὐκ ἔχω
εἰπεῖν, τίνι τοῦτο Μοῖ- ρα τέλος ἔμπεδον
ὤρεξε. Θεαρίων, τὶν δ' ἐοικότα καιρὸν ὄλβου

δίδωσι, τόλμαν τε καλῶν ἀρομένῳ 'Επ. γ'.

---

39. γρ. φέρει — 43. δὲ περισσά Schmid: περισσὰ codd. — 48. πολυθύτοις. εὐων. ἐς δίκαν. τρία ἔπ. δι Aristarchus — 49. γρ. ὁ μάντις — 58. an κλᾶρον poeta scri

*σύνεσιν οὐκ ἀποβλάπ- τει φρενῶν.*
*ξεῖνός εἰμι· σκοτει- νὸν ἀπέχων ψόγον,*
*ὕδατος ὥτε ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων*
*κλέος ἐτήτυμον αἰνέσω·*
*ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος.*

*Στρ. δ'.*

*ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ' ἀνὴρ*
*Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων·*
*καὶ ξενίᾳ πέποιθ', ἔν τε δαμόταις*
*ὄμματι δέρκομαι λαμπρόν, οὐχ ὑπερβαλών,*
*βίαια πάντ' ἐκ ποδὸς ἐρύσαις, ὁ δὲ λοιπὸς εὔφρων*
*ποτὶ χρόνος ἕρ- ποι. μαθὼν δέ τις ἂν ἐρεῖ,*
*εἰ πὰρ μέλος ἔρχομαι ψάγιον ὄαρον ἐννέπων.*
*Εὐξενίδα πάτραθε Σώ- γενες, ἀπομνύω*
*μὴ τέρμα προβὰς ἄκονθ' ὥτε χαλκοπάραον ὄρσαι*

*Ἀντ. δ'.*

*θοὰν γλῶσσαν, ὃς ἐξέπεμ- ψας παλαισμάτων*
*αὐχένα καὶ σθένος ἀδίαντον, αἴ-*
*θωνι πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν.*
*εἰ πόνος ἦν, τὸ τερπ- νὸν πλέον πεδέρχεται.*
*ἔα με· νι- κῶντί γε χάριν — εἴ τι πέραν ἀερθεὶς*
*ἀνέκραγον, οὐ τραχύς εἰμι καταθέμεν —*
*εἴρειν στεφάνους ἐλαφ- ρόν· ἀναβάλεο. Μοῖσά τοι*
*κολλᾷ χρυσὸν ἔν τε λευ- κὸν ἐλέφανθ' ἁμᾷ*
*καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ' ἐέρσας.*

---

60. *ἀρομένῳ σύνεσιν* Hermann: *ἀραμένῳ σύνεσις* codd. *ἐραμένῳ σύνεσις* Bergk — 61. *κοτεινόν* Boeckh — 65. *καὶ ξενίᾳ* Mommsen: *καὶ προξενίᾳ* codd. *προξενίᾳ* Hermann — 66. *ὑπερβλέπων* unus e scholiastis interpretari videtur — 68. *δέ τις ἐρέει* Boeckh — 70. *Εὐξεινίδι Σωγένους πάτρᾳ* Hartung — 72. *ἐξέπεμψας* cod. Vaticanus: *ἐξέπεμψεν* antiqua *lectio teste scholiasta.*

Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ Ἐπ. δ'.
πολύφατον θρόον ὕμ- νων δόνει
ἡσυχᾷ. βασιλῆ- α δὲ θεῶν πρέπει
γάπεδον ἂν τόδε γα- ρυέμεν ἁμέρᾳ
ὀπί· λέγοντι γὰρ Αἰακόν
νιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,

Στρ. ε'.
ἐᾷ μὲν πολίαρχον εὐ- ωνύμῳ πάτρᾳ,
Ἡράκλεες, σέο δὲ προπρεῶνα μὲν
ξεῖνον ἀδελφεόν τ'. εἰ δὲ δεύεται
ἀνδρὸς ἀνήρ τι, φαῖ- μέν κε γείτον' ἔμμεναι
νόῳ φιλή- σαντ' ἀτενέι γείτονι χάρμα πάντων
ἐπάξιον· εἰ δ' αὐτὸ καὶ θεὸς ἀνέχοι,
ἐν τίν κ' ἐθέλοι, Γίγαν- τας ὃς ἐδάμασας, εὐτυχῶς
ναίειν πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων
θυμὸν προγόνων ἐυκ- τήμονα ζαθέαν ἀγυιάν·

ἐπεὶ τετραόροισιν ὧδ' ἁρμάτων ζυγοῖς Ἀντ. ε'.
ἐν τεμένεσσι δόμον ἔχει τεοῖς,
ἀμφοτέρας ἰὼν χειρός. ὦ μάκαρ,
τὶν δ' ἐπέοικεν Ἥ- ρας πόσιν τε πειθέμεν
κόραν τε γλαυ- κώπιδα· δύνασαι δὲ βροτοῖσιν ἀλκὰν
ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.
εἰ γάρ σφισιν ἐμπεδοσ- θενέα βίοτον ἁρμόσαις
ἥβᾳ λιπαρῷ τε γή- ραϊ διαπλέκοις
εὐδαίμον' ἐόντα, παί- δων δὲ παῖδες ἔχοιεν αἰεὶ

---

81. θρόον ὕμνων Hermann: ὕμνων θρόον codd. — 83. ἁμέρᾳ Hermann: θαμερᾷ aut θεμερᾷ codd. — 85. ἐᾷ Hermann: ἐμᾷ codd. — 86. γρ. γεύεται — 89. ἂν ἔχοι codd. ἀλέγοι Bergk — 92. προγόνων τ' scholiasta legisse videtur — 95 Ἥρας Bothe: Ἥραν codd. — 97. fort.: δυσβάτων διδόμεν, ἄνα.

γέρας τόπερ νῦν καὶ ἄρειον ὄπιθεν. 'Επ. ε'.
τὸ δ' ἐμὸν οὔ ποτε φά- σει κέαρ
ἀτρόποισι Νεοπ- τόλεμον ἑλκύσαι
ἔπεσι· ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν
ἀπορία τελέθει, τέκνοι-
σιν ἅτε μαψυλάκας Διὸς Κόρινθος.

---

## NEMEONIKAI H'.

# ΔΕΙΝΙΔΙ ΑΙΓΙΝΗΤΗι

## ΣΤΑΔΙΕΙ.

Strophae.



Epodi.



Στρ. α'.
Ὥρα πότνια, κᾶρυξ 'Αφροδίτας ἀμβροσιᾶν φιλοτάτων,
ἅτε παρθενηίοις παίδων τ' ἐφίζοισα γλεφάροις
τὸν μὲν ἁμέροις ἀνάγκας χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις.

---

105. μαψυλάκαις J. G. Schneider.

ἀγαπατὰ δὲ καιροῦ μὴ πλανα- θέντα πρὸς ἔργον ἕκαστον
τῶν ἀρειόνων ἐρώ- των ἐπικρατεῖν δύνασθαι·

Ἀντ. α΄.

οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν
Κυπρίας δώρων· ἔβλαστεν δ᾽ υἱὸς Οἰνώνας βασιλεὺς
χειρὶ καὶ βουλαῖς ἄριστος· πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν·
ἀβοατὶ γὰρ ἡρώων ἄω- τοι περιναιεταόντων
ἤθελον κείνου γε πεί- θεσθ᾽ ἀναξίαις ἑκόντες,

Ἐπ. α΄.

οἵ τε κρανααῖς ἐν Ἀθά- ναισιν ἅρμοζον στρατὸν
οἵ τ᾽ ἀνὰ Σπάρταν Πελοπηιάδαι.
ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ᾽ ὑπὲρ φίλας
ἀστῶν θ᾽ ὑπὲρ τῶνδ᾽ ἅπτομαι φέρων
Λυδίαν μίτραν καναχηδὰ πεποι- κιλμέναν,
Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.
σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος·

Στρ. β΄.

ὅσπερ καὶ Κινύραν ἔβρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.
ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν.

---

9. κἀβοατί codd. vett.

πολλὰ γὰρ πολλᾷ λέλεκται· νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ
ἐς ἔλεγχον ἅπας κίνδυνος· ὄ- ψον δὲ λόγοι φθονεροῖσιν·
ἅπτεται δ' ἐσλῶν ἀεί, χειρόνεσσι δ' οὐκ ἐρίζει.

Ἀντ. β'.

κεῖνος καὶ Τελαμῶνος δάψεν υἱὸν φασγάνῳ ἀμφικυλίσαις.
ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λάθα κατέχει
ἐν λυγρῷ νείκει· μέγιστον δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται.
κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσ- σῆ Δαναοὶ θεράπευσαν·
χρυσέων δ' Αἴας στερη- θεὶς ὅπλων φόνῳ πάλαισεν.

Ἐπ. β'.

ἦ μὰν ἀνόμοιά γε δᾴ- οισιν ἐν θερμῷ χροῒ
ἕλκεα ῥῆξαν πελεμιζόμενοι
ὑπ' ἀλε- ξιμβρότῳ λόγχᾳ, τὰ μὲν ἀμφ' Ἀχιλεῖ νεοκτόνῳ,
ἄλλων τε μόχθων ἐν πολυφθόροις
ἁμέραις. ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι,
αἱμύλων μύθων ὁμόφοι- τος, δολοφραδής, κακοποιὸν ὄνειδος.
ἃ τὸ μὲν λαμπρὸν βιᾶται, τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν.

---

20. πολλᾷ Pauw: πολλά — 21. fort.: ὄψον φθονεροῖσι δὲ μόμφοι — 24. κατέχει ἐν Hermann, quod cod. Medicei scriptura κατέχειν firmatur, κατέχεν ἐν Bergk — 29. πελ. Wakefield: πολ. codd. — 31. ἐν πολυφθόροις Boeckh: πολυφθόροισιν ἐν codd. παμφθόροισιν ἐν Bergk — 33. an δοχμόφοιτος?

Στρ. γ'.

εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ, ἀλλὰ
κελεύθοις
ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος
μὴ τὸ δύσφαμον προσάψω. χρυσὸν εὔχονται, πε-
δίον δ' ἕτεροι
ἀπέραντον· ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ χθονὶ γυῖα
καλύψαιμ',
αἰνέων αἰνητά, μομ- φὰν δ' ἐπισπείρων ἀλιτροῖς.

Ἀντ. γ'.

αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον
ἄσσει,
ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε, πρὸς
ὑγρὸν
αἰθέρα. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν· τὰ μὲν
ἀμφὶ πόνοις
ὑπερώτατα· μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι
θέσθαι
πιστόν. ὦ Μέγα, τὸ δ' αὖ- τις τεὰν ψυχὰν κομίξαι

Ἐπ. γ'.

οὔ μοι δυνατόν. κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος·
σεῦ δὲ πάτρᾳ Χαριάδαις τε λάβρον
ὑπερεῖ- σαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύ-
μων
δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον
ἐν μὲν ἔργῳ κόμπον ἱείς, ἐπαοι- δαῖς δ' ἀνὴρ

---

38. καλύψαιν Bergk — 41. ἐν σοφοῖς Boeckh: σοφοῖς codd. — ὑγράν Schmid — 44. πιστόν schol. legisse videt· πιστά aut πίσταν codd. vett. πίστιν codd. Tricliniani.

νώδυνον καί τις κάματον θῆκεν. ἦν γε μὰν ἐπι-
κώμιος ὕμνος
δὴ πάλαι καὶ πρὶν γενέσθαι τὰν Ἀδράστου τάν τε
Καδμείων ἔριν.

---

[ΝΕΜΕΟΝΙΚΑΙ Θ΄.]

# ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι

## ΑΡΜΑΤΙ.

– ⏑⏑ – ⏑⏑ – – – ⏑⏑ – ⏑⏑ – –
– ⏑ – ⏓ – ⏑ – – – ⏑⏑ – ⏑⏑ – – – ⏑ – – – ⏑ ⏓
– ⏑⏑ – ⏑⏑ – – – ⏑⏑ – ⏑⏑ – – – ⏑ ⏓
– ⏑ – – – ⏑⏑ – ⏑⏑ – – – ⏑⏑ – ⏑⏑ – – – ⏑ – – – ⏑ ⏓
– – ⏑ – – – ⏑ – – – ⏑ – ⏓

Στρ. α΄.

Κωμάσομεν παρ' Ἀπόλλωνος Σικυωνόθε, Μοῖσαι,
τὰν νεοκτίσταν ἐς Αἴτναν, ἔνθ' ἀναπεπταμέναι ξεί-
νων νενίκανται θύραι,
ὄλβιον ἐς Χρομίου δῶμ'. ἀλλ' ἐπέων γλυκὺν ὕμνον
πράσσετε.
τὸ κρατήσιππον γὰρ ἐς ἅρμ' ἀναβαίνων ματέρι καὶ
διδύμοις παίδεσσιν αὐδὰν μανύει
Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.

Στρ. β΄.

ἔστι δέ τις λόγος ἀνθρώπων. τετελεσμένον ἐσλόν
μὴ χαμαὶ σιγᾷ καλύψαι· θεσπεσία δ' ἐπέων καύχαις
ἀοιδὰ πρόσφορος.
ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ'
αὐτὰν ὄρσομεν

---

4. αὐχάν scholiasta legisse videtur — 7. καύχαις Benedictus: καύχας codd. — 8. αὐτόν codd. vett.

ἱππείων ἀέθλων κορυφάν, ἅτε Φοίβῳ θῆκεν Ἄδρα-
στος ἐπ᾽ Ἀσωποῦ ῥεέθροις· ὧν ἐγὼ
μνασθεὶς ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς,

Στρ. γ'.

ὃς τότε μὲν βασιλεύων κεῖθι νέαισί θ᾽ ἑορταῖς
ἰσχύος τ᾽ ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς
ἄμφαινε κυδαίνων πόλιν.
φεῦγε γὰρ Ἀμφιάρηόν τε θρασυμήδεα καὶ δεινὰν
στάσιν
πατρῴων οἴκων ἀπό τ᾽ Ἄργεος· ἀρχοὶ δ᾽ οὐκ ἔτ᾽
ἔσαν Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ.
κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ.

Στρ. δ'.

ἀνδροδάμαν δ᾽ Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν,
δόντες Οἰκλείδᾳ γυναῖκα, ξανθοκομᾶν Δαναῶν
ἔσσαν μέγιστοι λαγέται,
καί ποτ᾽ ἐς ἑπταπύλους Θήβας ἄγαγον στρατὸν ἀν-
δρῶν αἰσιᾶν
οὐ κατ᾽ ὀρνίχων ὁδόν· οὐδὲ Κρονίων ἀστεροπὰν
ἐλελίξαις οἴκοθεν μαργουμένους
στείχειν ἐπώτρυν᾽, ἀλλὰ φείσασθαι κελεύθου.

Στρ. ε'.

φαινομέναν δ᾽ ἄρ᾽ ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι
χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν· Ἰσμηνοῦ
δ᾽ ἐπ᾽ ὄχθαισι γλυκὺν
νόστον ἐρυσσάμενοι λευκανθέα σώμασι πίαναν
καπνόν·

---

16. ἀνδροδάμαν δ᾽ Schneidewin, ἀνδροδάμαν τ᾽ codd. —17. λαγέται add. Bergk: δὴ τόθεν ex incertis scholiorum vestigiis add. Boeckh. — 23. γρ. ἐρεισάμενοι, ἀπουράμενοι Hartung — σώματα schol. ut videtur.

ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους φῶτας· ὁ δ᾽
Ἀμφιάρῃ σχίσσεν κεραυνῷ παμβίᾳ
Ζεὺς τὰν βαθύστερνον χθόνα, κρύψεν δ᾽ ἅμ᾽
ἵπποις,

Στρ. ϛ΄.

δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν
θυμὸν αἰσχυνθῆμεν. ἐν γὰρ δαιμονίοισι φόβοις
φεύγοντι καὶ παῖδες θεῶν.
εἰ δυνατόν, Κρονίων, πεῖραν μὲν ἀγάνορα Φοινι-
κοστόλων
ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι
ὡς πόρσιστα, μοῖραν δ᾽ εὔνομον
αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν,

Στρ. ζ΄.

Ζεῦ πάτερ, ἀγλαΐαισιν δ᾽ ἀστυνόμοις ἐπιμῖξαι
λαόν. ἐντί τοι φίλιπποί τ᾽ αὐτόθι καὶ κτεάνων
ψυχὰς ἔχοντες κρέσσονας
ἄνδρες. ἄπιστον ἔειπ᾽· αἰδῶς γὰρ ὑπὸ κρύφα
κέρδει κλέπτεται,
ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπίζων παρὰ πε-
ζοβόαις ἵπποις τε ναῶν τ᾽ ἐν μάχαις
ἔκρινας ἂν κίνδυνον ὀξείας ἀυτᾶς,

Στρ. η΄.

οὕνεκεν ἐν πολέμῳ κείνᾳ θεὸς ἔντυεν αὐτοῦ
θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου. παῦροι
δὲ βουλεῦσαι φόνου
παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν
στίχας

24. γρ. σχίσαις — 29. an ταύτᾳ?

χερσὶ καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν Ἕκτορι μὲν
κλέος ἀνθῆσαι Σκαμάνδρου χεύμασιν
ἀγχοῦ, βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου,

Στρ. θ'.

ἔνθ' Ἀρέας πόρον ἄνθρωποι καλέοισι, δέδορκεν
παιδὶ τωὔτ' Ἀγησιδάμου φέγγος ἐν ἁλικίᾳ πρώτᾳ·
τὰ δ' ἄλλαις ἁμέραις
πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ, τὰ δὲ γείτονι πόντῳ
φάσομαι.
ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ,
τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα.
ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον.

Στρ. ι'.

εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται
κῦδος, οὐκέτ' ἔστι πόρσω θνατὸν ἔτι σκοπιᾶς ἄλλας
ἐφάψασθαι ποδοῖν.
ἡσυχίαν δὲ φιλεῖ μὲν συμπόσιον· νεοθαλὴς δ'
αὔξεται
μαλθακᾷ νικαφορίᾳ σὺν ἀοιδᾷ· θαρσαλέα δὲ παρὰ
κρατῆρι φωνὰ γίνεται.
ἐγκιρνάτω τίς νιν, γλυκὺν κώμου προφάταν,

Στρ. ια'.

ἀργυρέαισι δὲ νωμάτῳ φιάλαισι βιατὰν
ἀμπέλου παῖδ', ἅς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ
πέμψαν θεμιπλέκτοις ἅμα

---

41. γρ. ἔνθα Ῥέας — 42. τωὔτ' Leutsch: τοῦτ' codd. — 43. ἐγκονίᾳ Mommsen — χέρσω schol. — 48. ἡσυχία codd. vett. et schol. — 52. ἅμα e schol. Schmid: ἀμφὶ codd.

Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ πάτερ,
εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν,
ὑπὲρ πολλῶν τε τιμαλφεῖν λόγοις
νίκαν, ἀκοντίζων σκοποῦ ἄγχιστα Μοισᾶν.

## ΝΕΜΕΟΝΙΚΑΙ Ι'.

# ΘΕΑΙΩι ΑΡΓΕΙΩι

## ΠΑΛΑΙΣΤΗι.

Στροφαί.

[illegible]

Ἐπῳδός.

[illegible]

Στρ. α'.

Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν,
Χάριτες,
Ἄργος Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖτε· φλέγεται δ'
ἀρεταῖς

[illegible] νίκαν vulgo — [illegible]

μυρίαις ἔργων θρασέων ἕνεκεν.
μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος·
πολλὰ δ' Αἰγύπτῳ ὅπα ἔκτισθεν ἄστη ταῖς Ἐπάφου παλάμαις.
οὐδ' Ὑπερμνήστρα παρεπλάγχθη, μονό-
ψαφος ἐν κουλεῷ κατασχοῖσα ξίφος.

Ἀντ. α'.

Διομήδεα δ' ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν·
γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο κεραυνωθεῖσα Διὸς βέλεσιν
μάντιν Οἰκλείδαν, πολέμοιο νέφος·
καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει πάλαι·
Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν τοῦτον κατέφανε λόγον·
πατρὶ δ' Ἀδράστοιο Λυγκεῖ τε φρενῶν
καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ·

Ἐπ. α'.

θρέψε δ' αἰχμὰν Ἀμφιτρύωνος. ὁ δ' ὄλβῳ φέρτατος
ἵκετ' ἐς κείνου γενεάν, ἐπεὶ ἐν χαλκέοις ὅπλοις
Τηλεβόας ἐναρόντος ὄψιν ἐειδόμενος
ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν
σπέρμ' ἀδείμαντον φέρων Ἡρακλέος· οὗ κατ' Ὄλυμπον
ἄλοχος Ἥ- βα τελεί- α παρὰ ματέρι βαίνοισ' ἔστι, καλλίστα θεῶν.

---

5. ὅπα ἔκτισθεν Hermann scholiastam secutus: κατῴκισθεν codd. τὰ κατῴκισεν Boeckh — 6. μονόψαφος schol.: μονόψαφον codd. — 10. γρ. ἀριστεύει πάλαι Ζεύς — 11. τοῦτον schol.: τόν codd. — 12. πατρὶ δ' Pauw: πατρί τ' codd. — 15. ἐναρόντος Mommsen scholiastam secutus: ἔναρε τί οἱ codd. ἔναρεν· τῷ δ' Hermann.

Στρ. β'.

βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀργεῖον
ἔχει τέμενος
μοῖραν ἐσλῶν· ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς
ἀντιάσαι·
ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,
καὶ παλαισμάτων λάβε φροντίδ'. ἀγών τοι χάλκεος
δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε
κρίσιν·
Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔσ-
χεν Θεαῖος εὐφόρων λάθαν πόνων.

Ἀντ. β'.

ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυθῶνι,
τύχα τε μολὼν
καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέα στέφανον Μοίσαισιν
ἔδωκ' ἀρόσαι,
τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών,
τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ.
Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενὶ σιγᾷ ϝοι στόμα·
πᾶν δὲ τέλος
ἐν τὶν ἔργων· οὐδ' ἀμόχθῳ καρδίᾳ
προσφέρων τόλμαν παραιτεῖται χάριν·

Ἐπ. β'.

γνώτ' ἀείδω ϝοῖ τε καὶ ὅστις ἁμιλλᾶται περὶ
ἐσχάτων ἀέθλων κορυφαῖς. ὕπατον δ' ἔσχεν Πίσα
Ἡρακλέος τεθμόν· ἁδεῖαί γε μὲν ἀμβολάδαν

---

24. γρ. εὐφρόνων — 26. *Μοίσαισιν* Heyne: *Μοίσαισί τ'* codd — 29. *μάν* Schmid: *μέν* codd. — 31. *γνώτ' ἀείδω οἶ* *Kayser*: *γνώτ' ἀείδω θεῷ* codd. *γνωτὰ Θειαίῳ τε* Hermann — *33. γρ. ἁδείᾳ . . . τελετᾷ.*

ἐν τελεταῖς δὶς Ἀθαναίων νιν ὀμφαὶ
κώμασαν· γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας
ἔμολεν Ἥρας τὸν εὐάνορα λαόν ἐν ἀγγέων ἕρκεσιν παμποικίλοις.

Στρ. γʹ.

ἕπεται δέ, Θειαῖε, ματρώων πολυγνώτῳ γένει ὑμετέρων
εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις θαμάκις.
ἀξιωθείην κεν, ἐὼν Θρασύκλου
Ἀντία τε ξύγγονος, Ἄργεϊ μὴ κρύπτειν φάος
ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις Προίτοιο καθ' ἱπποτρόφον
ἄστυ θάλησαν Κορίνθου τ' ἐν μυχοῖς,
καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις·

Ἀντ. γʹ.

Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις ἀπέβαν,
ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις·
ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
ἐξελέγχειν· μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς.
ὅντε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν ὑψίβατοι πόλιες
καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ
σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει.

---

37. *πολυγνώτῳ γένει* Schmid: *πολύγνωτον γένος* codd. — 38. *σύν* add. Schmid — 41. *Προίτοιο καθ' ἱπποτρόφον ἄστυ* Rauchenstein: *ἱπποτρόφον ἄστυ τὸ Προίτοιο* codd. — 42. *θάλησαν* Bergk: *θάλησε* codd. — 48. *ποδῶν* Schmid: *ποδῶν τε* codd. fort.: *θῆκεν ποδῶν τε δρόμῳ.*

Ἐπ. γ'.

*Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη*
*καὶ κασιγνήτου Πολυδεύκεος, οὐ θαῦμα σφίσιν*
*ἐγγενὲς ἔμμεν ἀεθληταῖς ἀγαθοῖσιν· ἐπεὶ*
*εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων*
*μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ διέποντι θάλειαν,*
*μάλα μὲν ἀν- δρῶν δικαί- ων περικαδόμενοι. καὶ μὰν θεῶν πιστὸν γένος.*

Στρ. δ'.

*μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ*
*Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας ἐν γυάλοις Θεράπνας,*
*πότμον ἀμπιπλάντες ὁμοῖον· ἐπεὶ*
*τοῦτον ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ*
*εἵλετ' αἰῶνα φθιμένου Πολυδεύκης Κάστορος ἐν πολέμῳ·*
*τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολω- θεὶς ἔτρωσεν χαλκέας λόγχας ἀκμᾷ.*

Ἀντ. δ'.

*ἀπὸ Ταϋγέτου ποταυγάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει*
*ἥμενον. κείνου γὰρ ἐπιχθονίων πάντων γένετ' ὀξύτατον*
*ὄμμα. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ*
*ἐξικέσθαν, καὶ μέγα ϝέργον ἐμήσαντ' ὠκέως,*

---

56. γρ. *τάν θ'* — 60. *ἀκμᾷ* Pauw: *αἰχμᾷ* codd. — *ποταυγάζων* Stephanus: *πόδ' αὐγ.* codd. vett. *πεδαυγ.* Triclinius — 62. *ἥμενον* Aristarchus: *ἥμενος* codd. unde *ἡμένους* correxerunt — 64. *ἐμήσαντ'* Schmid: *ἐμνήσ.* codd.

καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητίδαι Διός· αὐτίκα γὰρ
ἦλθε Λήδας παῖς διώκων· τοὶ δ' ἔναν-
τα στάθεν τύμβῳ σχεδὸν πατρωΐῳ·

Ἐπ. δ'.

ἔνθεν ἁρπάξαντες ἄγαλμ' Ἀίδα, ξεστὸν πέτρον,
ἔμβαλον στέρνῳ Πολυδεύκεος· ἀλλ' οὔ νιν φλάσαν,
οὐδ' ἀνέχασσαν· ἐφορμαθεὶς δ' ἄρ' ἄκοντι θοῷ
ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.
Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν·
ἅμα δ' ἐκαί- οντ' ἐρῆ- μοι. χαλεπὰ δ' ἔρις ἀνθρώ-
ποις ὁμιλεῖν κρεσσόνων.

Στρ. ε'.

ταχέως δ' ἐπ' ἀδελφεοῦ βίαν πάλιν χώρησεν ὁ Τυν-
δαρίδας,
καί νιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα
πνοὰς ἔκιχεν.
θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς
ὄρθιον φώνησε· Πάτερ Κρονίων, τίς δὴ λύσις
ἔσσεται πενθέων; καὶ ἐμοὶ θάνατον σὺν τῷδ' ἐπίτει-
λον, ἄναξ.
οἴχεται τιμὰ φίλων τατωμένῳ
φωτί· παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν

Ἀντ. ε'.

καμάτου μεταλαμβάνειν. ὣς ἔννεπε· Ζεὺς δ' ἀν-
τίος ἤλυθέ ϝοι

74. πνοάς Schmid: ἀμπνοάς codd. — 75. δή Schmid: δε codd. — 79. γρ. ἀντία, unde Hermann: ἤλυθεν ἀντία οἱ.

καὶ τόδ' ἐξαύδασ' ἔπος· Ἐσσί μοι υἱός· τόνδε δ' ἔπειτα πόσις
σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις
στάξεν ἥρως. ἀλλ' ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν
παρδίδωμ'· εἰ μὲν θάνατόν τε φυγὼν καὶ γῆρας ἀπεχθόμενον
αὐτὸς Οὔλυμπον θέλεις οἰκεῖν ἐμοὶ
σύν τ' Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει·

Ἐπ. ε'.

ἔστι σοὶ τούτων λάχος· εἰ δὲ κασιγνήτου πέρι
μάρνασαι, πάντων δὲ νοεῖς ἀποδάσσασθαι ϝίσον,
ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών,
ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν.
ὣς ἄρ' αὐδάσαντος οὐ γνώμᾳ διπλόαν θέτο βουλάν.
ἀνὰ δ' ἔλυ- σεν μὲν ὀφ- θαλμόν, ἔπειτα δὲ φωνὰν χαλκομίτρα Κάστορος.

---

## NEMEONIKAI IA'.

# ΑΡΙΣΤΑΓΟΡΑι ΤΕΝΕΔΙΩι

## ΠΡΥΤΑΝΕΙ.

Strophae.

‖ ⏑ – ‥ –́ ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑ ⏓
‖ ⏑ – – ⏗ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓
‖ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
‖ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
‖ ⏑⏑ ⊔ –́ ⏑ ⊔ –́ ⏑ – – –́ ⏑⏑ ⏓

---

84. *οἰκεῖν ἐμοί* e schol. add. Benedictus, *κατοικῆσαι ἐθέλεις ἐμοί* maluit Boeckh.

Epodi.

–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ – ⏑⏑ – ⏓
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑⏑ ⊔ –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⊔ –́ ⏑ – – | –́ ⏑⏑ – ⏑⏑ ⏓

Στρ. α΄.

Παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία,
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,
εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,
εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας,
οἵ σε γεραί- ροντες ὀρ- θὰν φυλάσσοισιν Τένεδον,

Ἀντ. α΄.

πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,
πολλὰ δὲ κνίσᾳ· λύρα δέ σφι βρέμεται καὶ ἀοιδά·
καὶ ξενίου Διὸς ἀσκεῖται Θέμις ἀενάοις
ἐν τραπέζαις. ἀλλὰ σὺν δόξᾳ τέλος
δυωδεκάμη- νον περά- σαι σὺν ἀτρώτῳ κραδίᾳ.

Ἐπ. α΄.

ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν,
καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον.
εἰ δέ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλους,
ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδει- ξεν βίαν·
θνατὰ μεμνάσθω περιστέλλων μέλη
καὶ τελευ- τὰν ἁπάντων γᾶν ἐπιϝεσσόμενος.

---

9. fort.: ἀλλ' ἀγακλεὴς τέλος — 10. περᾶσαί νιν Dissen 11. an ἀνδρὸς ἐγώ? — 12. γρ. Ἀτρεμίαν — 13. ἄλλους Pauw: ἄλλων codd. μορφὰν . . . ἄλλων Boeckh.

Στρ. βʹ.

ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσί μιν αἰνεῖσθαι χρεών,
καὶ μελιγδούποισι δαιδαλθέντα μελιξέμεν ἀοιδαῖς.
ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν
ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον
ἐστεφάνω- σαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ.

Ἀντ. βʹ.

ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς·βίαν
ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων.
ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ
καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου
κάλλιον ἂν δηριών- των ἐνόστησ' ἀντιπάλων,

Ἐπ. βʹ.

πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον
κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις
ἔρνεσιν. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι
ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ' αὖ καταμεμ- φθέντ' ἄγαν
ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν
χειρὸς ἕλ- κων ὀπίσσω θυμὸς ἄτολμος ἐών.

Στρ. γʹ.

συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι
αἷμ' ἀπὸ Σπάρτας — Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ
Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων —
καὶ παρ' Ἰσμηνοῦ ῥοᾶν κεκραμένον
ἐκ Μελανίπ- ποιο μά- τρωος. ἀρχαῖαι δ' ἀρεταὶ

---

17. μιν Mingarelli: μέν codd. — 18. μέλειν ἐν ἀοιδαῖς Hermann. fort. μέλεσσα κλέεσθαι. — 30. γρ. ἔλαβον — 33. μάν Pauw: λίαν codd. — 35. χαλκεντέα Schmid: χαλκεντέων codd. — 36. ῥοᾶν Bergk: ῥοὰν vulgo.

*Ἀντ. γ΄.*

ἀμφέροντ᾽ ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος·
ἐν σχερῷ δ᾽ οὔτ᾽ ὦν μέλαιναι καρπὸν ἔδωκαν
ἄρουραι,
δένδρεά τ᾽ οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις
ἄνθος εὐῶδες φέρειν πλούτῳ ϝίσον,
ἀλλ᾽ ἐν ἀμεί- βοντι. καὶ θνατὸν οὕτως ἔθνος ἄγει

*Ἐπ. γ΄.*

μοῖρα. τὸ δ᾽ ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται
τέκμαρ· ἀλλ᾽ ἔμπαν μεγαλανορίαις ἒν βαίνομεν,
ἔργα τε πολλὰ μενοινῶντες· δέδεται γὰρ ἀναιδεῖ
ἐλπίδι γυῖα· προμαθείας δ᾽ ἀπόκειν- ται ῥοαί.
κερδέων δὲ χρὴ μέτρον θηρευέμεν·
( ἀπροσίκ- των δ᾽ ἐρώτων ὀξύτεραι μανίαι.)
When our desires are unattainable, our madness for things is keener.

42. οὕτως ἔθνος e schol. Heyne: οὕτω σθένος codd. — 44. ἒν βαίνομεν Christ: ἐμβαίνομεν vulgo.

οὐ γὰρ ἦν πενταέθλιον, ἀλλ' ἐφ' ἑκάστῳ
ἔργματι κεῖτο τέλος.
τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις
ἔρνεσιν χαίτας ῥεέθροισί τε Δίρ-
κας ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας,

Ἐπ. β'.

Ἰφικλέος μὲν παῖς ὁμόδαμος ἐὼν Σπαρτῶν γένει,
Τυνδαρίδας δ' ἐν Ἀχαιοῖς ὑψίπεδον Θεράπνας
οἰκέων ἕδος.
χαίρετ'. ἐγὼ δὲ Ποσειδάωνι Ἰσθμῷ τε ζαθέᾳ
Ὀγχηστίαισίν τ' ἀιόνεσ- σιν περιστέλλων ἀοιδὰν
γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν
Ἀσωποδώρου πατρὸς αἶσαν

Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν, Στρ. γ'.
ἅ νιν ἐρειπόμενον ναυαγίαις
ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ
δέξατο συντυχίᾳ·
νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε πότμος
συγγενὴς εὐαμερίας. ὁ πονή-
σαις δὲ νόῳ καὶ προμάθειαν φέρει.

εἰ δ' ἀρετᾷ καταθῇ τις πᾶσαν ὀργάν, Ἀντ. γ'.
ἀμφότερον δαπάναις τε καὶ πόνοις,
χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον
μὴ φθονεραῖσι φέρειν
γνώμαις. ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ
ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰ-
πόντ' ἀγαθὸν ξυνὸν ὀρθῶσαι καλόν.

---

36. *ἐρειπόμενον* e schol. Hartung: *ἐρειδόμενον* codd. — *ναυαγίοις* Bergk — 41. *καταθῇ τις* Hartung: *κατάκειται* codd. *προσέχει τις* Rauchenstein.

Ἐπ. γ'.
μισθὸς γὰρ ἄλλοις ἄλλος ἐφ' ἔργμασιν ἀνθρώποις
γλυκύς,
μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε καὶ ὃν πόντος
τράφει·
γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται.
ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμί- ζων ἄρηται κῦδος
ἁβρόν,
εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται, πολιατᾶν καὶ
ξένων γλώσσας ἄωτον.

ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν Στρ. δ'.
γείτον' ἀμειβομένοις εὐεργέταν
ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι,
καὶ σέθεν, Ἀμφιτρύων,
παῖδας προσειπεῖν, τὸν Μινύα τε μυχὸν
καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευ-
σῖνα καὶ Εὔβοιαν ἐν γναμπτοῖς δρόμοις·

Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν Ἀντ. δ'.
ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι.
πάντα δ' ἐξειπεῖν, ὅσ' ἀγώνιος Ἑρμᾶς
Ἡροδότῳ ἔπορεν
ἵπποις, ἀφαιρεῖται βραχὺ μέτρον ἔχων
ὕμνος. ἦ μὰν πολλάκι καὶ τὸ σεσω-
παμένον εὐθυμίαν μείζω φέρει.

Ἐπ. δ'.
εἴη νιν εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς
Πιερίδων ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαι-
ρέτοις

61. Ἡροδότοιο πόρεν coniecit Mommsen — 63· σεσιγαμένον Hermann.

*Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα τιμὰν ἑπταπύλοις*
*Θήβαισι τεύχοντ'. εἰ δέ τις ἔν- δον νέμει πλοῦτον κρυφαῖον,*
*ἄλλοισι δ' ἐμπίπτων γελᾷ, ψυχὰν Ἀίδᾳ τελέων οὐ φράζεται δόξας ἄνευθεν.*

---

## ΙΣΘΜΙΟΝΙΚΑΙ Β'.

# ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

### ΑΡΜΑΤΙ.

476 B.C.

Stropha.

– –́ ⏑⏑ – ⏑⏑ – ⏓ | –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑ – – –́ ⏑ – ⏓ –́ ⏑⏑ – ⏑⏑ – ⏓
–́ ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓

Epodi.

–́ ⏑⏑ – ⏑⏑ – | – –́ ⏑⏑ – ⏑⏑ – ⏓ –́ ⏑ ⏓
–́ ⏑⏑ – ⏑⏑ – – –́ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ – ⏓
–́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑⏑ ⏓
–́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ –
–́ ⏑ ⏑⏑ – –́ ⏑ – ⏓

Στρ. α'.

*Οἳ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων*
*ἐς δίφρον Μοισᾶν ἔβαι- νον κλυτᾷ φόρμιγγι συναντόμενοι,*
*ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους,*

---

1. *οἳ* scholiasta metricus legisse videtur: *ὅσοι* codd. — 2. *γρ. ἐν δίφρῳ.*

*ὅστις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας*
*εὐθρόνου μνάστειραν ἀδίσταν ὀπώραν.*

*Ἀντ. α΄.*

*ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις·*
*οὐδ' ἐπέρναντο γλυκεῖ- αι μελιφθόγγου ποτὶ Τερψιχόρας*
*ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.*
*νῦν δ' ἐφίητι τὸ τὠργείου φυλάξαι*
*ῥῆμ' ἀλαθείας ὁδῶν ἄγχιστα βαῖνον,*

*Ἐπ. α΄.*

*Χρήματα, χρήματ' ἀνήρ ὃς φᾶ κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων.*
*ἐσσὶ γὰρ ὢν σοφός, οὐκ ἄγνωτ' ἀείδω*
*Ἰσθμίαν ἵπποισι νίκαν,*
*τὰν Ξενοκράτει Ποσειδάων ὀπάσαις,*
*Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ*
*πέμπεν ἀναδεῖσθαι σελίνων,*

*Στρ. β΄.*

*εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος.*
*ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶδ' Ἀπόλλων νιν πόρε τ' ἀγλαΐαν*
*καὶ τόθι· κλειναῖς δ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς*
*ταῖς λιπαραῖς ἐν Ἀθάναις, οὐκ ἐμέμφθη*
*ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός,*

---

7. *μελιφθόγγου* Heyne: *μελίφθογγοι* codd. — 8. *ἀργυρωθείσας* Gurlitt — 9. *τό* add. Heyne — *τὠλκαίου* suspicatus est Bergk — 10. *ὁδῶν* om. codd. add. Hermann: *στάθμας* Schnitzer — 11. *θαμά* Boeckh — 12. γρ. *ἀγνῶτ'* — 16. *ἀνδεῖσθαι* codd.

*Ἀντ. β'.*

*τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἁνίαις.*
*ὅντε καὶ κάρυκες Ὡ- ρᾶν ἀνέγνον, σπονδοφόροι*
*Κρονίδα*
*Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον·*
*ἁδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ*
*χρυσέας ἐν γούνασιν πιτνόντα Νίκας*

*Ἐπ. β'.*

*γαῖαν ἀνὰ σφετέραν, τὰν δὴ καλέοισιν Ὀλυμπίου*
*Διὸς*
*ἄλσος· ἵν' ἀθανάτοις Αἰνησιδάμου*
*παῖδες ἐν τιμαῖς ἔμιχθεν.*
*καὶ γὰρ οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι*
*οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν,*
*οὔτε μελικόμπων ἀοιδᾶν.*

*Στρ. γ'.*

*(οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται,*
*εἴ τις εὐδόξων ἐς ἀν- δρῶν ἄγοι τιμὰς Ἑλικωνιά-*
*δων.)*
*μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ', ὅσον ὀργὰν*
*Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν*
*ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,*

*Ἀντ. γ'.*

*ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ·*
*καὶ θεῶν δαῖτας προσέπ- τυκτο πάσας· οὐδέ ποτε*
*ξενίαν*
*οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν·*

---

22. *νεῖμ' ἁπάσαις* Hermann: *νωμᾷ πάσαις* codd. — 24. *γρ. Ἀλείου.*

ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις,
ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάν.

'Επ. γ'.

μή νυν, ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμαν-
ται ϝελπίδες,
μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν
μήτε τούσδ' ὕμνους· ἐπεί τοι
οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμαν.
ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν
ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.

---

## ΙΣΘΜΙΟΝΙΚΑΙ Γ'. [Γ' Δ'.]

# ΜΕΛΙΣΣΩι ΘΗΒΑΙΩι

## ΠΑΓΚΡΑΤΙΩι.

Strophae.



Epodi.



---

41. θερείας Hecker — 42. ἀκτάν codd.: ἀκτάς aut αὐγάς schol. — 45. μήτε Heyne: μηδέ codd.

*Στρ. α'.* III.

*Εἴ τις ἀνδρῶν εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις*
*ἢ σθένει πλούτου κατέχει φρασὶν αἰανῆ κόρον,*
*ἄξιος εὐλογίαις ἀστῶν μεμῖχθαι.*
*Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται*
*ἐκ σέθεν· ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων, πλα-*
*γίαις δὲ φρένεσσιν*
*οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ.*

*Ἀντ. α'.*

*εὐκλέων δ' ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν*
*ἐσλόν,*
*χρὴ δὲ κωμάζοντ' ἀγαναῖς χαρίτεσσιν βαστάσαι.*
*ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ*
*μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν*
*ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ δεξαμένῳ στεφάνους, τὰ*
*δὲ κοί- λα λέοντος*
*ἐν βαθυστέρνου νάπᾳ κάρυξε Θήβαν*

*ἱπποδρομίᾳ κρατέων. ἀνδρῶν δ' ἀρετὰν* *Ἐπ. α'.*
*σύμφυτον οὐ κατελέγχει.*
*ἴστε μὰν Κλεωνύμου*
*δόξαν παλαιὰν ἅρμασιν·*
*καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου διέστει-*
*χον τετραοριᾶν πόνοις.*
*αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλ-*
*λαξεν· ἄτρωτοί γε μὰν παῖδες θεῶν.*

*Στρ. β'.* IV.

*ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος,*

---

12. *βαθυστέρνῳ* schol. — 17. *διέστειχον* Hermann: *διέστιχον* codd. — 19. hinc in codicibus novum orditur carmen; priorem partem, vv. 1—18, ab recentiore poeta in locum deperditi prooemii suppositam esse opinatur Schnitzer.

ὦ Μέλισσ᾽, εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις
ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν·
αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ
σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος. ἄλλοτε δ᾽ ἀλ- λοῖος οὖρος
πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει.

Ἀντ. β΄.

τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται
πρόξενοί τ᾽ ἀμφικτιόνων κελαδεννᾶς τ᾽ ὀρφανοὶ
ὕβριος· ὅσσα δ᾽ ἐπ᾽ ἀνθρώπους ἄηται
μαρτύρια φθιμένων ζωῶν τε φωτῶν
ἀπλέτου δόξας, ἐπέψαυσαν κατὰ πᾶν τέλος· ἀνο- ρέαις δ᾽ ἐσχάταισιν
οἴκοθεν στάλαισιν ἅπτονθ᾽ Ἡρακλείαις,

Ἐπ. β΄.

τᾶν οὐκ ἔνι μακροτέραν σπεύδειν ἀρετάν.
ἱπποτρόφοι τ᾽ ἐγένοντο,
χαλκέῳ τ᾽ Ἄρει ϝάδον.
ἀλλ᾽ ἁμέρᾳ γὰρ ἐν μιᾷ
τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν·
νῦν δ᾽ αὖ μετὰ χειμέριον ποικίλων μηνῶν ζόφον
χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις

Στρ. γ΄.

δαιμόνων βουλαῖς. ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων
καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων,
τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον

23. βιότου Schneidewin: βίου codd. — 31. τᾶν οὐκ ἔνι Christ: καὶ μηκέτι codd. — 36. γρ. ἅτε, unde ἅτε Pauw — ἄνθησαν Chrysippus.

ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν
εὐκλέων ἔργων· ἐν ὕπνῳ γὰρ πέσεν· ἀλλ' ἀνεγει-
ρομένα χρῶτα λάμπει,
Ἀωσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις·

Ἀντ. γ'.

ἅ τε κὴν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν
ἔν τ' Ἀδραστείοις ἀέθλοις Σικυῶνος ὤπασεν
τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδῶν.
οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον
καμπύλον δίφρον, Πανελλάνεσσι δ' ἐριζόμενοι δα-
πάνᾳ χαῖρον ἵππων.
τῶν ἀπειράτων γὰρ ἄγνωστοι σιωπαί.

ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων, Ἐπ. γ'.
πρὶν τέλος ἄκρον ἱκέσθαι·
τῶν τε γὰρ καὶ τῶν διδοῖ·
καὶ κρέσσον' ἀνδρῶν χειρόνων
ἔσφαλε τέχνα καταμάρψαισ'. ἴστε μὰν Αἴαντος ἀλ-
κὰν φοίνιον, τὰν ὀψίᾳ
ἐν νυκτὶ ταμὼν περὶ ϝῷ φασγάνῳ μομφὰν ἔχεν
παίδεσσιν Ἑλλάνων, ὅσοι Τρῴανδ' ἔβαν.

Στρ. δ'.

ἀλλ' Ὅμηρός τοι τετίμακεν δι' ἀνθρώπων, ὃς αὐτοῦ
πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν
θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν.
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,

---

43. γρ. νίκαν — 45. ἀοιδᾶν codd. interpoll. — 51. διδοῖ τέλος codd. vett. — 53. γρ. τέχνα — καταμάρψαι scholiasta testatur — 54. ἔχεν Christ: ἔχει codd.

*εἴ τις εὖ ϝείπῃ τι, καὶ πάγκαρπον ἐπὶ χθόνα καὶ*
*διὰ πόν- τον βέβακεν*
*ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί.*

*'Αντ. δ'.*

*προφρόνων Μοισᾶν τύχοιμεν, κεῖνον ἅψαι πυρσὸν*
*ὕμνων*
*καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ' ἐπάξιον,*
*ἔρνεϊ Τελεσιάδα. τόλμαν γὰρ εἰκὼς*
*θυμῷ ἐριβρεμετᾶν θηρῶν λεόντων*
*ἐν πόνῳ, μῆτιν δ' ἀλώπηξ, αἰετοῦ ἅ τ' ἀναπιτναμένα*
*ῥόμβον ἴσχει.*
*χρὴ δὲ πᾶν ἔρδοντα μαυρῶσαι τὸν ἐχθρόν.*

*οὐ γὰρ φύσιν 'Ωαριωνείαν ἔλαχεν·* *'Επ. δ'.*
*ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι,*
*συμπεσεῖν δ' ἀκμᾷ βαρύς.*
*καίτοι πότ' 'Ανταίου δόμους*
*Θηβᾶν ἀπὸ Καδμεϊᾶν μορφὰν βραχύς, ψυχὰν δ'*
*ἄκαμπτος, προσπαλαίσων ἦλθ' ἀνὴρ*
*τὰν πυροφόρον Λιβύαν, κρανίοις ὄφρα ξένων ναὸν*
*Ποσειδάωνος ἐρέφοντα σχέθοι,*

*Στρ. ε'.*

*υἱὸς 'Αλκμήνας· ὃς Οὔλυμπόνδ' ἔβα, γαίας τε*
*πάσας*
*καὶ βαθυκρήμνου πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ,*
*ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις.*
*νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον*

---

63. *τόλμαν γὰρ εἰκὼς θυμῷ* Hartung: *τόλμᾳ γ. ε. θυμόν* codd. — 64. *θηρῶν* unus e scholiastis: *θηρᾳ* alter schol. *θηρᾶν* codd. unde *εἰδὼς . . . θηρᾶν* Kayser — 69. *ἀκμᾷ* Pauw: *αἰχμᾷ* codd. — 76. *αἰγιόχῳ Διί* codd. vett.

*ἀμφέπων ναίει, τετίματαί τε πρὸς ἀθανάτων φίλος,*
*Ἥ- βαν τ' ὀπυίει,*
*χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας.*

*'Αντ. ε'.*

*τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν δαῖτα πορσύνοντες ἀστοὶ*
*καὶ νεόδματα στεφανώματα βωμῶν αὔξομεν*
*ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,*
*τοὺς Μεγάρα τέκε ϝοι Κρειοντὶς υἱούς·*
*τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα*
*συνεχὲς παννυχίζει*
*αἰθέρα κνισάεντι λακτίζοισα καπνῷ,*

*'Επ. ε'.*

*καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων*
*γίνεται, ἰσχύος ἔργον.*
*ἔνθα λευκωθεὶς κάρα*
*μύρτοις ὅδ' ἀνὴρ διπλόαν*
*νίκαν ἀνεφάνατο καὶ παίδων τρίταν πρόσθεν, κυ-*
*βερνατῆρος οἰακοστρόφου*
*γνώμᾳ πεπιθὼν πολυβού- λῳ. σὺν Ὀρσέᾳ δέ νιν*
*κωμάξομαι, τερπνὰν ἐπιστάζων χάριν.*

---

82. *οἱ τέκε* codd. vett. — 85. *τέρμ' ἀέθλων* Schmid: *ἀέθλων τέρμα* codd. — 89. *καὶ παίδων τρίταν* Mommsen: *παίδων τρίταν* codd. *παίδων τε τρίταν* Hermann — 90. *γρ. κωμάζομαι* — *γρ. ἀποστάζων.*

# ΙΣΘΜΙΟΝΙΚΑΙ Δ΄. [Ε΄.]

# ΦΥΛΑΚΙΔᾼ ΑΙΓΙΝΗΤῌ

## ΠΑΓΚΡΑΤΙῼ.

Strophae.

″– ⏑ – ⏓ ´– ⏑⏑ – ⏑⏑ – ⏓
″⏑⏑ ⏑ – ⏓ ⊤ ⏑ – ⏓ ´– ⏑⏑ ⏓
″– ⏑ – – ´– ⏑⏑ – ⏑⏑ – –
″– ⏑⏑ – ⏑⏑ ⏓
″– ⏑ – – ´– ⏑⏑ – ⏑⏑ – –
″⏑⏑ ⏑ – – ⊤ ⏑ – – | ´– ⏑ – – ´– ⏑⏑ – ´– ⏑ – – ⊤ ⏑ – –

Epodi.

″– ⏑ – – ´– ⏑⏑ – ⏑⏑ – ⏓
″– ⏑ – – ´– ⏑ – – ´– ⏑ –
″– ⏑ – – ´– ⏑⏑ – ⏑⏑ ⏓
″– ⏑ – ´– ⏑⏑ ⏓
″– ⏑ – – ⊤ ⏑ – – ´– ⏑⏑ –
″⏑⏑ ⏑ – – ´– ⏑⏑ – ⏑⏑ – –
″– ⏑ – ⏑ ´– ⏑⏑ – ⏑⏑ ⏓
″– ⏑⏑ – ⏑⏑ – ⏑⏑ – – ´– ⏑ –
″– ⏑⏑ – ⏑⏑ – – ´– ⏑ – ⏓

*Μᾶτερ Ἀελίου πολυώνυμε Θεία,* Στρ. α΄.
*σέο γ᾽ ἕκατι καὶ μεγασθενῆ νόμισαν*
*χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων·*
*καὶ γὰρ ἐριζόμεναι*
*νᾶες ἐν πόντῳ καὶ ὑφ᾽ ἅρμασιν ἵπποι*
*διὰ τεάν, ὦ 'νασσα, τιμὰν*
*ὠκυδινήτοις ἐν ἁμίλ- λαισι θαυμασταὶ πέλονται·*

---

Epodi versum quartum Hermannus ita constituit, ut dimetrum epitritum catalecticum efficeret.

2. γ᾽ non legisse videtur scholiasta; *σέο Ϝέκατι* suspicatur Bergk — 5. *ὑφ᾽* e schol. Bergk: *ἐν* codd.

ἔν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν 'Αντ. α'.
κλέος ἔπραξεν, ὄντιν' ἀθρόοι στέφανοι
χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν
ἢ ταχυτᾶτι ποδῶν.
κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.
δύο δέ τοι ζωᾶς ἄωτον
μοῦνα ποιμαίνοντι τὸν ἄλ- πνιστον εὐανθεῖ
σὺν ὄλβῳ,

εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ. 'Επ. α'.
μὴ μάτευε Ζεὺς γενέσθαι· πάντ' ἔχεις,
εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν.
θνατὰ θνα- τοῖσι πρέπει.
τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά,
Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν
Πυθέᾳ τε παγκρατίου. τὸ δ' ἐμὸν
οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται·
σὺν Χάρισιν δ' ἔμολον Λάμπωνος υἱοῖς

Στρ. β'.
τάνδ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέτραπται
θεοδότων ἔργων κέλευθον ἂν καθαράν,
μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ
κιρνάμεν ἀντὶ πόνων.
καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ
λόγον ἐκέρδαναν, κλέονται
δ' ἔν τε φορμίγγεσσιν ἐν αὐ- λῶν τε παμφώνοις
ὁμοκλαῖς

μυρίον χρόνον· μελέταν δὲ σοφισταῖς 'Αντ. β'.
Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι.

---

12. ἀνέλπιστον codd. vett. — ante εὐανθεῖ interpunxit Hartung — 13. γρ. ἀκούσῃ. — 29. post σεβιζόμενοι sunt qui non interpungant.

ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς
Οἰνεῖδαι κρατεροί,
ἐν δὲ Θήβαις ἱπποσόας Ἰόλαος
γέρας ἔχει, Περσεὺς δ' ἐν Ἄργει,
Κάστορος δ' αἰχμὰ Πολυδεύ- κεος τ' ἐπ' Εὐ-
ρώτα ῥεέθροις·

ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ 'Επ. β'.
Αἰακοῦ παίδων τε· τοὶ καὶ σὺν μάχαις
δὶς πόλιν Τρώων πράθον ἑσπόμενοι
Ἡρακλῆ- ι πρότερον,
καὶ σὺν Ἀτρείδαις. ἔλα νῦν μοι πεδόθεν·
λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον,
καὶ στράταρχον Αἰθιόπων ἄφοβον
Μέμνονα χαλκοάραν· τίς ἄρ' ἐσλὸν Τήλεφον
τρῶσεν ἑῷ δορὶ Καΐκου παρ' ὄχθαις.

Στρ. γ'.
τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν
διαπρεπέα νᾶσον· τετείχισται δὲ πάλαι
πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν.
πολλὰ μὲν ἀρτιεπὴς
γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων
κελαρύσαι· καὶ νῦν ἐν Ἄρει
μαρτυρήσαι κεν πόλις Αἴ- αντος ὀρθωθεῖσα
ναύταις

ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ 'Αντ. γ'.
ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ.
ἀλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ·

42. ᾧ δορὶ τρῶσε παρ' ὄχθαισιν Καΐκου vel τρῶσεν ἑῷ δορὶ Μυσίαις παρ' ὄχθαις Hermann — 43. fort. πρόφερε — 44. γρ. πάλιν — 48. κελαρύσαι Bergk: κελαδῆσαι codd. κελαδέειν Benedictus — νῦν ἀρείοις Hartung — 50. ἀναρίθμων codd. ἰσαρίθμων schol. ut videtur.

*Ζεὺς τά τε καὶ τὰ νέμει,*
*Ζεὺς ὁ πάντων κύριος. ἐν δ' ἐρατεινῷ*
*μέλιτι καὶ τοιᾶδε τιμᾷ*
*καλλίνικον χάρμ' ἀγαπά- ζοντι. μαρνάσθω*
*τις ἔρδων*
*ἀμφ' ἀέθλοισιν γενεὰν Κλεονίκου* 'Επ. γ'.
*ἐκμαθών· οὔτοι τετύφλωται μακρὸς*
*μόχθος ἀνδρῶν· οὐδ' ὁπόσαι δαπάναι*
*ἐλπίδων ἔκνισ' ὄπιν.*
*αἰνέω καὶ Πυθέαν τοῦ γυιοδαμᾶν*
*Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι,*
*χερσὶ δεξιόν, νόῳ ἀντίπαλον.*
*λάμβανέ ϝοι στέφανον, φέρε δ' εὔμαλλον μίτραν,*
*καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον.*

---

ΙΣΘΜΙΟΝΙΚΑΙ Ε'. [ϛ'.]

# ΦΥΛΑΚΙΔᾼ ΑΙΓΙΝΗΤῌ

## ΠΑΓΚΡΑΤΙῼ.

Strophae.

– – ⏑ – – – ⏑⏑ – ⏑⏑ –
– ⏑ – ⏒ – ⏑ – – – ⏑⏑ ⏒
– ⏑ – – – ⏑ – – – ⏑⏑ – ⏑⏑ – ⏑ – – – ⏑ – –
– ⏑ – ⏒ – ⏑⏑ – ⏑⏑ ⏒
– – ⏑ – – – ⏑ ⏒
– ⏑⏑ – ⏑⏑ – – – ⏑ – – – ⏑⏑ –
⏑⏑ ⏑ – – – ⏑ – – ⏒ ⏑ –
– – ⏑ – – – ⏑⏑ – ⏑⏑ – – – ⏑ ⏒
– – ⏑ – – – ⏑ – ⏒

---

52. *τά τε* Boeckh: *τάδε* codd. — 54. *γρ. τοιαίδε τιμαί* — *δέ τις* codd. vett. — 58. *ἔκνισ'* scholiasta interpretatur: *ἔκνιξ'* codd. — *ὀπί* Aristarchus — 59. *τοῦ γυιοδαμᾶν* Christ atque *γυιοδαμᾶν* iam Bergkius proposuerat: *ἐν γυιοδάμαις* codd. et schol. — 60. *Φυλακίδᾳ* Schmid: *Φυλακίδα* aut *Φυλακίδαν* codd.

Epodi.

–́́ ⏑ – – –́ ⏖ – ⏖ –
–́́ ⏑ – – –́ ⏖ – ⏖ – –
–́́ ⏑ – – –́ ⏑ – – | –́ ⏖ – ⏖ –
–́́ ⏑ – – –́ ⏑ – | – –́ ⏖ – ⏖ – ⏓ –́ ⏑ – –
–́́ ⏑ – – –́ ⏑ – – | –́ ⏖ – ⏖ –
– –́́ ⏑ – – –́ ⏖ – ⏖ – – –́ ⏑ ⏓
–́́ ⏑ – – –́ ⏖ – ⏖ – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓

*Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου* Στρ. α'.
*δεύτερον κρατῆρα Μοισαίων μελέων*
*κίρναμεν Λάμπωνος εὐαέθλου γενεᾶς ὕπερ, ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ,*
*τὶν ἄωτον δεξάμενοι στεφάνων,*
*νῦν αὖτις Ἰσθμοῦ δεσπότᾳ*
*Νηρεΐδεσσί τε πεντήκοντα παίδων ὁπλοτάτου*
*Φυλακίδα νικῶντος. εἴη δὲ τρίτον*
*σωτῆρι πορσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κάτα*
*σπένδειν μελιφθόγγοις ἀοιδαῖς.*

*εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς* Ἀντ. α'.
*καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετάς,*
*σύν τέ ϝοι δαίμων φυτεύει δόξαν ἐπήρατον· ἐσχατιὰς ἤδη πρὸς ὄλβου*
*βάλλετ' ἄγκυραν θεότιμος ἐών.*
*τοίαισιν ὀργαῖς εὔχεται*
*ἀντιάσαις ἀίδαν γῆράς τε δέξασθαι πολιὸν*
*ὁ Κλεονίκου παῖς· ἐγὼ δ' ὑψίθρονον*
*Κλωθὼ κασιγνήτας τε προσεννέπω ἕσπεσθαι κλυταῖς*
*ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς.*

---

2. *Μοισαίων* e scholiis Heyne: *μοισέων* codd. — 4. *τίν γ'* Pauw — 5. *αὖτις Ἰσθμοῦ* Boeckh: *αὖτ' ἐν Ἰσθμοῦ* codd. *αὖτ' ἐν Ἰσθμῷ* schol. *αὖ τίν, Ἰσθμοῦ δέσποτα* Bergk — 8. *γρ. κατά* — 17. *ἕσπεσθαι* Pauw: *σπέσθαι* codd.

*ὔμμε τ', ὦ χρυσάρματοι Αἰακίδαι,* *'Επ. α'.*
*τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν*
*τάνδ' ἐπιστείχοντα νᾶσον ῥαινέμεν εὐλογίαις.*
*μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν*
*σχερῷ κέλευθοι*
*καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους·*
*οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις,*
*ἅτις οὐ Πηλέος ἀίει κλέος ἥ- ρωος, εὐ- δαίμονος*
*γαμβροῦ θεῶν,*

*οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα* *Στρ. β'.*
*καὶ πατρός· τὸν χαλκοχάρμαν ἐς πόλεμον*
*ἄγε σὺν Τιρυνθίοισι πρόφρονα σύμμαχον ἐς Τροΐαν,*
*ἥρωσι μόχθον,*
*Λαομεδοντειᾶν ὑπὲρ ἀμπλακιᾶν*
*ἐν ναυσὶν Ἀλκμήνας τέκος.*
*εἷλε δὲ Περγαμίαν, πέφνεν δὲ σὺν κείνῳ Μερόπων*
*ϝέθνεα, καὶ τὸν βουβόταν οὔρεϊ ϝίσον*
*Φλέγραισιν εὑρὼν Ἀλκυονῆ σφετέρας οὐ φείσατο*
*χερσὶν βαρυφθόγγοιο νευρᾶς*

*Ἡρακλέης. ἀλλ' Αἰακίδαν καλέων* *'Αντ. β'.*
*ἐς πλόον ξυνὸν κύρησεν δαινύμενον.*
*τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο νεκταρέαις*
*σπονδαῖσιν ἄρξαι*
*καρτεραίχμαν Ἀμφιτρυωνιάδαν,*
*ἄνδωκε δ' αὐτῷ φέρτατος*
*οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμών,*

---

29. *Λαομεδοντιᾶν ὑπὲρ ἀμπλακιᾶν* e schol. Kayser: *Λαομεδοντίαν ὑπὲρ ἀμπλακίαν* codd. — 32. *ϝέθνεα* Bergk: *τ' ἔθνεα* codd. — 33. *Ἀλκυονῆ σφετέρας οὐ* cum scholiis Heyne: *Ἀλκυονῆ σφετέρας δ' οὐ* codd. — 36. *ξυνόν* add. Christ — *δαινύμενον* schol.: *δαινυμένων* codd. vett. *πάντων δαινυμένων* codd. interpoll.

*ὁ δ' ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους*
*αὔδασε τοιοῦτον ϝέπος· Εἴ ποτ' ἐμᾶν, ὦ Ζεῦ πάτερ,*
*θυμῷ 'θέλων ἀρᾶν ἄκουσας,*

*νῦν σε νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις* 'Επ. β'.
*λίσσομαι παῖδα θρασὺν ἐξ 'Εριβοίας*
*ἀνδρὶ τῷδε ξείνιόν μου μοιρίδιον τελέσαι·*
*τὸν μὲν ἄρρηκτον φυάν, ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται*
*θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ·*
*θυμὸς δ' ἑπέσθω. ταῦτ' ἄρα ϝοι φαμένῳ πέμψεν θεὸς*
*ἀρχὸν οἰωνῶν μέγαν αἰετόν· ἁ- δεῖα δ' ἔν- δον νιν ἔκνιξεν χάρις,*

*εἶπέν τε φωνήσαις ἅτε μάντις ἀνήρ·* Στρ. γ'.
*"Εσσεταί τοι παῖς ὃν αἰτεῖς, ὦ Τελαμών·*
*καί νιν ὄρνιχος φανέντος κέκλευ ἐπώνυμον εὐρυβίαν Αἴαντα, λαῶν*
*ἐν πόνοις ἔκπαγλον 'Ενυαλίου.*
*ὣς ἄρα ϝειπὼν αὐτίκα*
*ἕζετ'. ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ' ἀρετάς·*
*Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας*
*Πυθέᾳ τε κώμων Εὐθυμένει τε. τὸν 'Αργείων τρόπον*
*εἰρήσεται πάντ' ἐν βραχίστοις.*

---

42. *τι ἔπος* codd. qua in lectione latet *ϝέπος*, quod reposui — *γρ. ἐμάν .... ἀράν* — 46. *ξείνιόν μου* Schnitzer: *ξεῖνον ἁμόν* codd. *ξεινοτίμῳ* Rauchenstein — 47. *τὸν θές* Rauchenstein — *με νῦν* Stephanus: *μίμνοι* codd. — 53. *κέκλευ* Melanchthon: *κέκλετ'* codd. — 56. *ἀναγήσασθαι* Mingarelli: *ἁγήσασθαι* codd. — 57. *Φυλακίδα* et *Πυθέα* codd. vett. — 59. *πάντ' ἐν* Schneidewin: *πα κέν* vel *που κέν* codd.

*ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου* 'Αντ. γ΄.
*τρεῖς, ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας,*
*ἀγλαοὶ παῖδές τε καὶ μάτρως· ἀνὰ δ' ἄγαγον ἐς*
*φάος οἵαν μοῖραν ὕμνων,*
*τὰν Ψαλυχιδᾶν δὲ πάτραν Χαρίτων*
*ἄρδοντι καλλίστᾳ δρόσῳ,*
*τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον τάνδε πόλιν*
*θεοφιλῆ ναίοισι. Λάμπων δὲ μελέταν*
*ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ' ἔπος,*
*υἱοῖσί τε φράζων παραινεῖ,*

*ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων,* 'Επ. γ΄.
*καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται,*
*μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων·*
*γλῶσσα δ' οὐκ ἔξω φρενῶν· φαίης κέ νιν ἀνδράσιν*
*ἀεθληταῖσιν ἔμμεν*
*Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν.*
*πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι*
*χρυσοπέπλου Μναμοσύνας ἀνέτει- λαν παρ' εὐ-*
*τειχέσιν Κάδμου πύλαις.*

---

62. *μάτρως· ἀνά* Schmid: *μάτρωες ἄν* codd. — 72. *νιν ἀνδράσιν* Heyne: *νιν ἀνδρ' ἐν* codd. et schol. *Μένανδρον* e glossa Tricliniana Mommsen — 74. *γρ. γε*, quod ex *Ϝε* ortum esse Bergkius monuit.

## ΙΣΘΜΙΟΝΙΚΑΙ ϛ'. [Ζ'.]
# ΣΤΡΕΨΙΑΔΗι ΘΗΒΑΙΩι
## ΠΑΓΚΡΑΤΙΩι.

Strophae.

⏑⏑ –″ ⏑⏑ – ⏑ – ⏑ – ⏓
⏒ –″ ⏑⏑ – ⏑ – ⏑ – ⏑ ⊔ –́ ⏑ ⏓
– –″ ⏑ – ⏒ ⏓ ⏑⏑ – ⏑ – –
– –″ ⏑⏑ – ⏑ – ⏑ – –
⏓ – –″ ⏑⏑ – ⏑ – – –́ ⏑⏑ – ⏑ – ⏓ –́ ⏑ – ⏑⏑ – | – –́ ⏑ – ⏑ ⏓

Epodi.

⏓ ⏑ –″ ⏑⏑ – ⏑ – ⏑ – ⏑ ⏓
– –″ ⏑⏑ – ⏑ ⊔ –́ ⏑⏑ – ⏓
– –″ ⏑⏑ – ⏑ –
⏑⏑ –″ ⏑⏑ – ⏑ – ⏑ – ⏓
⏓ ⏒ –″ ⏑⏑ – ⏑ – ⏒ –́ ⏑⏑ – ⏑ ⏓
–″ ⏑⏑ ⊔ ⊔́ ⏓
– –″ ⏑⏑ ⊔ –́ ⏑ – ⏑⏑ ⏓

*Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,* *Στρ. α'.*
*καλῶν ἐπιχωρίων μάλιστα θυ- μὸν τεὸν*
*εὔφρανας; ἦ ῥα χαλκοκρότου πάρεδρον*
*Δαμάτερος ἀνίκ' εὐρυχαίταν*
*ἄντειλας Διόνυσον, ἢ χρυσῷ μεσονύκτιον νίφοντα*
*δεξαμένα τὸν φέρτατον θεῶν,*

*ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις* *Ἀντ. α'.*
*σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλεί- οις γοναῖς;*
*ἢ ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;*
*ἢ ἀμφ' Ἰόλαον ἱππόμητιν;*
*ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ ὅτε καρτερᾶς Ἄδρα-*
*στον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανὸν*

---

8. et 9. *ἦ* Benedictus: *ἢ ὅτ'* codd. et schol. *ἦτ'* Bergk — *πυκναῖς Τειρεσίαο* Pauw: *Τειρ. πυκ.* codd. — 12. *οὕνεκεν* Thiersch: *οὕνεκα* codd. *ἡνίκα* e scholiis Ceporinus, *ἀνίκ' ἄρ'* Heyne.

μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον; 'Επ. α'.
ἢ Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ
ἔστασας ἐπὶ σφυρῷ
Λακεδαιμονίων, ἕλον δ' Ἀμύκλας
Αἰγεῖδαι σέθεν ἔκγονοι, μαντεύμασι Πυθίοις;
ἀλλὰ παλαι- ᾳ γὰρ
εὕδει χάρις, ἀ- μνάμονες δὲ βροτοί,

ὅ τι μὴ σοφίας ἄωτον ἄκρον Στρ. β'.
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκη- ται ζυγέν.
κώμαζ' ἔπειτεν ἁδυμελεῖ σὺν ὕμνῳ
καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ
νίκαν παγκρατίου· σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορ-
φάεις· ἄγει τ' ἀρετὰν οὐκ αἴσχιω φυᾶς.

φλέγεται δὲ ϝιοπλόκοισι Μοίσαις, 'Αντ. β'.
μάτρωί θ' ὁμωνύμῳ δέδωκε κοι- νὸν θάλος,
χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμιξεν,
τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.
ἴστω γὰρ σαφὲς ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν
αἵματος πρὸ φίλας πάτρας ἀμύνεται,

λοιγὸν ἄντα φέρων ἐναντίῳ στρατῷ, 'Επ. β'.
ἀστῶν γενεᾷ μέγισ- τον κλέος αὔξων
ζώων τ' ἀπό καὶ θανών.
τὺ δέ, Διοδότοιο παῖ, μαχατὰν
αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα
Ἀμφιάρη- όν τε,
εὐανθέ' ἀπέπ- νευσας ἁλικίαν

---

22. αἰσχίω schol. ut videtur: αἴσχιον codd. — 23. ἰοπλόκοισι Bergk: ἰοπλοκάμοισι codd. — 27. πρό Schmid: πρός codd. — 28. ἄντα φέρων Thiersch scholiastam secutus: ἀμύνων codd. — 33. Ἀμφιάρηόν τε codd.: ἀμφὶ πατρῴᾳ γᾷ Hartung.

προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι — Στρ. γ'.
ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν.
ἔτλαν δὲ πένθος οὐ φατόν· ἀλλὰ νῦν μοι
Γαιάοχος εὐδίαν ὄπασσεν
ἐκ χειμῶνος. ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόζων·
ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος.

ὅ τι τερπνὸν ἐφάμερον διώκων — Ἀντ. γ'.
ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον
αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες,
δαίμων δ' ἄισος· τὰ μακρὰ δ' εἴ τις
παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν ἕδραν·
ὅ τοι πτερόεις ἔρριψε Πάγασος

Ἐπ. γ'.
δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς
ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν
Ζηνός· τὸ δὲ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία,
τεαῖσιν ἁμίλ- λαισιν
εὐανθέα καὶ Πυθόι στέφανον.

---

43. ἄισος unus e scholiastis: ἄιστος codd.

ΙΣΘΜΙΟΝΙΚΑΙ Ζ'. [Η'.]

# ΚΛΕΑΝΔΡΩι ΑΙΓΙΝΗΤΗι

## ΠΑΓΚΡΑΤΙΩι.



*Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον* *Στρ. α'.*
*εὔδοξον, ὦ νέοι, καμάτων,*
*πατρὸς ἀγλαὸν Τελεσάρ- χου παρὰ πρόθυρον ἰὼν ἀνεγειρέτω*
*κῶμον, Ἰσθμιάδος τε νί- κας ἄποινα, καὶ Νεμέᾳ*
*ἀέθλων ὅτι κράτος ἐξ- εῦρε. τῷ καὶ ἐγώ,*
*καίπερ ἀχνύμενος*
*θυμόν, αἰτέομαι χρυσέαν καλέσαι*
*Μοῖσαν. ἐκ μεγάλων δὲ πεν- θέων λυθέντες*
*μήτ' ἐν ὀρφανίᾳ πέσω- μεν στεφάνων,*
*μήτε κάδεα θεράπευε· παυσάμενοι δ' ἀπράκ- των κακῶν*
*γλυκύ τι δαμωσόμεθα καὶ μετὰ πόνον·*
*ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς*

---

Duos primos versus unam in periodum coniungendos esse probabant Hermannus Westphalius alii; vide ad v. 11. 21. 42.
1. *ἁλικιῶτα* mavult Bergk — 3. *ἀνεγειρέτω* Hermann: *ἐγειρέτω* codd.

*γε Ταντάλου λίθον παρά τις ἔ- τρεψεν ἄμμι*
*θεός.*

*ἀτόλματον Ἑλλάδι μόχθον. ἀλλά* Στρ. β'.
*μοι δεῖμα μὲν παροιχόμενον*
*καρτερὰν ἔπαυσε μέριμ- ναν· τὸ δὲ πρὸ ποδὸς*
*ἄρειον ἀεὶ σκοπεῖν*
*χρῆμα πᾶν. δόλιος γὰρ αἰ- ὼν ἐπ' ἀνδράσι κρέ-*
*μαται,*
*ἑλίσσων βίου πόρον· ἴ- ατὰ δ' ἔστι βροτοῖς*
*σύν γ' ἐλευθερίᾳ*
*καὶ τά.. χρὴ δ' ἀγαθὰν ἐλπίδ' ἀνδρὶ μέλειν·*
*χρὴ δ' ἐν ἑπταπύλοισι Θή- βαις τραφέντα*
*Αἰγίνᾳ Χαρίτων ἄω- τον προνέμειν,*
*πατρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες Ἀ- σω-*
*πίδων*
*ὁπλόταται, Ζηνί τε ϝάδον βασιλέι.*
*ὃ τὰν μὲν παρὰ καλλιρόῳ*
*Δίρκᾳ φιλαρμάτου πόλιος ᾤ- κισσεν ἀγεμόνα·*

*σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν* Στρ. γ'.
*κοιμᾶτο, δῖον ἔνθα τέκες*
*Αἰακὸν βαρυσφαράγῳ πατρὶ κεδνότατον ἐπιχθο-*
*νίων· ὃ καὶ*
*δαιμόνεσσι δίκας ἐπεί- ραινε· τοῦ μὲν ἀντίθεοι*
*ἀρίστευον υἱέες υἱ- έων τ' ἀρηίφιλοι*
*παῖδες ἀνορέᾳ*
*χάλκεον στονόεντ' ἀμφέπειν ὅμαδον·*

---

10. *γε*] *γρ. τε*, unde *ἅτε* Bergk — 11. *ἀλλά μοι* Boeckh: *ἀλλ' ἐμοί* codd. — *παροιχόμενον* Benedictus: *παροιχομένων* codd. — 13. *σκοπεῖν* om. codd. e schol. add. Thiersch — 14. an *πᾶν χρέος*? — 15. *βιότου* codd. vett. — 18 *ὁπλόταται* Pauw: *θ' ὁπλ.* codd. — 21. *ἔνεγκε, κοίμα τε* Hermann.

σώφρονές τ' ἐγένοντο πινυ- τοί τε θυμόν.
ταῦτα καὶ μακάρων ἐμέμ- ναντ' ἀγοραί,
Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσει-
δᾶν γάμῳ,
ἄλοχον εὐειδέ' ἐθέλων ἑκάτερος
ἑὰν ἔμμεν· ἔρως γὰρ ἔχεν.
ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐ- νὰν θεῶν
πραπίδες,

ἐπεὶ θεσφάτων ἐπάκουσαν. εἶπε Στρ. δ'.
δ' εὔβουλος ἐν μέσοισι Θέμις,
εἵνεκεν πεπρωμένον ἦν φέρτερον γόνον ἂν
ἄνακτα πατρὸς τεκεῖν
ποντίαν θεόν, ὃς κεραυ- νοῦ τε κρέσσον ἄλλο βέλος
διώξει χερὶ τριόδον- τός τ' ἀμαιμακέτου,
Δί γε μισγομέναν
ἢ Διὸς παρ' ἀδελ- φεοῖσιν. ἀλλὰ τὰ μὲν
παύσατε· βροτέων δὲ λεχέ- ων τυχοῖσα
υἱὸν εἰσιδέτω θανόντ' ἐν πολέμῳ,
χεῖρας Ἄρεΐ τ' ἐναλίγκιον στεροπαῖσί τ' ἀκ- μὰν
ποδῶν.
τὸ μὲν ἐμόν, Πηλέι γάμου θεόμορον
ὀπάσσαι γέρας Αἰακίδᾳ,
ὄντ' εὐσεβέστατον φάτις Ἰωλ- κοῦ τράφειν πεδίον·

ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς Στρ. ε'.
Χείρωνος αὐτίκ' ἀγγελίαι·

27. ἔρισαν Heyne: ἐρίσας codd. — 29. ἔχεν Schmid: ἔσχεν codd. — 31. ἤκουσαν cod. vet. — 33. οὕνεκεν Donaldson — ἂν om. codd. κε γόνον ἄνακτα vel γόνον ἂν ἄνακτα scribendum esse monuit Bergk — 35. Δί γε Bergk: Δί cod. vet. Ζηνί, codd. interpoll. —37. χεῖρας Ἄρεΐ τ' Boeckh: Ἄρεϊ χεῖρας codd. — 38. γάμου θεόμορον ὀπάσσαι γέρας Αἰακίδᾳ Hermann: θεόμοιρον ὀπάσαι γάμον Αἰακίδα γέρας codd. — 40. φάτις Ἰωλκοῦ Bothe: φασὶν Ἰαωλκοῦ codd. — 42. εὐθὺ Hermann.

μηδὲ Νηρέος θυγάτηρ νεικέων πέταλα δὶς ἐγγυα-
λιζέτω
ἄμμιν· ἐν διχομηνίδεσ- σιν δὲ ϝεσπέραις ἐρατὸν
λύοι κεν χαλινὸν ὑφ' ἥ- ρωι παρθενίας.
ὣς φάτο Κρονίδαις
ἐννέποισα θεά· τοὶ δ' ἐπὶ γλεφάροις
νεῦσαν ἀθανάτοισιν· ἐπέ- ων δὲ καρπὸς
οὐ κατέφθινε. φαντὶ γὰρ ξύν' ἀλέγειν
καὶ γάμον Θέτιος ἄνακτε. καὶ νεαρὰν ἔδει- ξαν
σοφῶν
στόματ' ἀπείροισιν ἀρετὰν Ἀχιλέος·
ὃ καὶ Μύσιον ἀμπελόεν
αἵμαξε Τηλέφου μέλανι ῥαί- νων φόνῳ πεδίον,

γεφύρωσέ τ' Ἀτρεΐδαισι νόστον, Στρ. ϛ'.
Ἑλέναν τ' ἐλύσατο, Τροΐας
ἶνας ἐκταμὼν δορί, ταί νιν ῥύοντό ποτε μάχας
ἐναριμβρότου
ἔργον ἐν πεδίῳ κορύσ- σοντα, Μέμνονός τε βίαν
ὑπέρθυμον Ἕκτορά τ' ἄλ- λους τ' ἀριστέας· οἷς
δῶμα Φερσεφόνας
μανύων Ἀχιλεύς, οὖρος Αἰακιδᾶν,
Αἴγιναν σφετέραν τε ῥί- ζαν πρόφαινεν.
τὸν μὲν οὐδὲ θανόντ' ἀοι- δαὶ ἔλιπον,
ἀλλά ϝοι παρά τε πυρὰν τάφον θ' Ἑλικώνιαι παρ-
θένοι
στάν, ἐπὶ θρῆνόν τε πολύφα- μον ἔχεαν.
ἔδοξ' ἆρα καὶ ἀθανάτοις,
ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμ- νοις θεᾶν διδόμεν.

---

46. *ξύν' ἀλέγειν* Hermann: *συναλέγειν* codd. — 47. *ἄνακτε* Triclinius: *ἄνακτα* codd. *ἄνακτι* Kayser — *νεαράν* Schmid: *νέαν* codd. — 56. *οὐδέ* Boeckh: *οὔτε* codd. — *ἀοιδαί γ' ἔλιπον* Hermann — 58. *στάν* Heyne: *ἔσταν* codd.

*τὸ καὶ νῦν φέρει λόγον, ἔσσονταί τε* Στρ. ζ'.
*Μοισαῖον ἅρμα Νικοκλέος*
*μνᾶμα πυγμάχου κελαδῆ- σαι. γεραίρετέ νιν, ὃς*
*Ἴσθμιον ἂν νάπος*
*Δωρίων ἔλαχεν σελί- νων· ἐπεὶ περικτίονας*
*ἐνίκασε δή ποτε καὶ κεῖνος ἄνδρας ἀφύκ-*
*τῳ χερὶ κλονέων.*
*τὸν μὲν οὐ κατελέγ- χει κριτοῦ γενεὰ*
*πατραδελφεοῦ· ἁλίκων τῷ τις ἁβρὸν*
*ἀμφὶ παγκρατίου Κλεάν- δρῳ πλεκέτω*
*μυρσίνας στέφανον. ἐπεί νιν Ἀλκαθόου τ' ἀγὼν*
*σὺν τύχᾳ*
*ἐν Ἐπιδαύρῳ τε νεότας δέκετο πρίν.*
*τὸν αἰνεῖν ἀγαθῷ παρέχει·*
*ἥβαν γὰρ οὐκ ἄπει- ρον ὑπὸ χει- ᾷ καλῶν δάμασεν.*

---

63. *γεραίρετε* Bothe: *γεραίρεται* codd. — 65. *γενεά* Triclinius: *γενεάν* cod. vet. — 68. *δέκετο πρίν* Hermann: *πρὶν ἔδεκτο* codd. — 69. *παρέχειν* cod. vet.

# FRAGMENTA SELECTA.

---

I.

ΙΣΘΜΙΟΝΙΚΑΙ.

ed. Bö. ed. Bg.

4 1. 1

*Κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυσικλυτὸς*
*Αἴγινα· σὺν θεῶν δέ νιν αἴσᾳ*
*Ὕλλου τε καὶ Αἰγιμιοῦ*
*Δωριεὺς ἐλθὼν στρατὸς ἐκ- τίσσατο.*
*τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται*
*οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες· οἵ- οι*
*δ' ἀρετὰν*
*δελφῖνες ἐν πόντῳ, ταμίαι τε σοφοὶ*
*Μοισᾶν ἀγωνίων τ' ἀέθλων.*

1 2. 2

*Αἰολίδαν δὲ Σίσυφον κέλοντο*
*ᾧ παιδὶ τηλέφαντον ὄρ- σαι γέρας*
*ἀποφθιμένῳ Μελικέρτᾳ.*

2 3. 3

*ὅστις δὴ τρόπος ἐξεκύλισέ νιν.*

## II.

## ΥΜΝΟΙ.

5 6 **1. 2.**

Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν,
ἢ Κάδμον, ἢ σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,
ἢ τὰν κυανάμπυκα Θήβαν,
ἢ τὸ πάντολμον σθένος Ἡρακλέος,
ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν,
ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν . . . . . .

* * *

Πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν
χρυσέαισιν ἵπποις Ὠκεανοῦ παρὰ παγᾶν
Μοῖραι ποτὶ κλίμακα σεμνὰν
ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν
σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν·
ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρπους τίκτεν ἀλαθέας Ὥρας.

8 **3.**

τοῦ θεοῦ
ἄκουσε Κάδμος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου.

133 **4.**

Ἄνακτα τὸν πάντων ὑπερβάλλοντα Χρόνον μακάρων.

9 **5.**

ὅς καὶ τυπεὶς ἁγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν.

10 **6.**

Κείνων λυθέντων σαῖς ὑπὸ χερσίν, ἄναξ.

11 **7.**

Ἄμμων Ὀλύμπου δέσποτα.

12 8. 13

*Πότνια θεσμοφόρε χρυσανίου .....*

16 9. 14

*....Ἐν ἔργμασιν δὲ νικᾷ*
*τύχα οὐ σθένος.*

10. 27

*Οἱ δὲ μεθ' Ἡρακλέος*
*ἐκ Τροΐας πλεῦντες διὰ παρθένιον*
*Ἕλλας πόρον ἱρὸν ἐπεὶ τάχα Μυρτῴῳ συνᾶψαν,*
*ἀμφιρύταν ἐς Κῶν ἐπαλινδρόμησαν*
*ἀντιπνεύσαντος ζεφύρου.*

172 11. 161

*Μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον·*
*ἔσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδός· κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος.*

171 * * * 18

*Ἀλλοτρίοισιν μὴ προφαίνειν τίς φέρεται*
*μόχθος ἄμμιν· τοῦτό γέ τοι ϝερέω.*
*καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ*
*δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα*
*προστύχοι, ταύταν σκότῳ κρύπτειν ἔοικεν.*

173 12. 19

*Ὦ τέκνον,*
*ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον*
*προσφέρων πάσαις πολίεσσιν ὁμίλει· τῷ παρεόντι δ' ἐπαινήσαις ἑκὼν*
*ἄλλοτ' ἀλλοῖα φρόνει.*

Amphiaraus Amphilocho.

## III.

## ΠΑΙΑΝΕΣ.

24 1. 29

Ἀμφιπόλοισι μαρνάμενον
μοιριᾶν περὶ τι- μᾶν ἀπολωλέναι.
De Neoptolemo Delphis occiso.

25 2. 30

Χρύσειαι δ' ἐξύπερθ' αἰετοῦ
ἄειδον Κηληδόνες.
De Delphico templo.

29 3. 35

Δωδωναῖε μεγάσ- θενες, ἀριστότεχνα πάτερ.

33 4. 39

Τί δ' ἔλπεαι σοφίαν ἔμμεναι, ἃ τ' ὀλίγον
ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει;
οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει
βροτέᾳ φρενί· θνα- τᾶς δ' ἀπὸ ματρὸς ἔφυ.

## IV.

## ΔΙΘΥΡΑΜΒΟΙ.

44 1. 50

Ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ' ἀλλοτρίᾳ
Ὠαρίων.

53 2. 52

τρεχέτω δὲ μετὰ
Πληιόναν, ἅμα δ' αὐ- τῷ κύων λεοντοδάμας.
De Orione.

45 3. 53

Ἴδετ' ἐν χορόν, Ὀλύμπιοι,
ἔπι τε κλυτὰν πέμπετε χάριν, θεοί,

πολύβατον οἶτ᾽ ἄστεος ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθάναις
οἰχνεῖτε πανδαίδαλόν τ᾽ εὐκλέ᾽ ἀγοράν·
ἰοδετᾶν λάχετε στεφάνων
τᾶν ἐαρίδρεπτον λοιβάν, Διόθεν τέ με σὺν ἀγλαΐᾳ
ἴδετε πορευθέντ᾽ ἐς ἀοιδὰν δεύτερον
ἐπὶ τὸν κισσοδέταν θεόν,
τὸν Βρόμιον Ἐριβόαν τε βροτοὶ καλέομεν.
γόνον ὑπάτων μὲν πατέρων μελπέμεν
γυναικῶν τε Καδμειᾶν ἔμολον.
Ἐναργέα τέλεα μάντιν οὐ λανθάνει,
φοινικεάνων ὁπότ᾽ οἰχθέντος Ὡρᾶν θαλάμου
εὔοδμον ἐπάγησιν ἔαρ φυτὰ νεκτάρεα.
τότε βάλλεται, τότ᾽ ἐπ᾽ ἀμβρόταν χθόν᾽ ἐραταὶ
ἴων φόβαι ῥόδα τε κόμαισι μίγνυται,
ἀχεῖτ᾽ ὀμφαὶ μελέων σὺν αὐλοῖς,
ἀχεῖτε Σεμέλαν ἑλικάμπυκα χοροί.

46 4. 56

Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι,
δαιμόνιον πτολίεθρον.

196 5. 15

Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν
κρηπῖδ᾽ ἐλευθερίας.

225 6. 56

Κλῦθ᾽ Ἀλαλά, πολέμου θύγατερ,
ἐγχέων προοίμιον, ᾇ θύεται
ἄνδρες ὑπὲρ πόλιος τὸν ἱρόθυτον θάνατον.

47 7. 57

Πρὶν μὲν εἷρπε σχοινοτένειά τ᾽ ἀοιδὰ διθυράμβων
καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων.

* * *

σοὶ μὲν κατάρχειν,
μᾶτερ μεγάλα, πάρα ῥύμβοι κυμβάλων,
ἐν δὲ κεχλάδειν κρόταλ', αἰθομένα δὲ
δᾲς ὑπὸ ξανθαῖσι πεύκαις.

49 8. 58

Σὲ δ' ἐγὼ παρὰ μὶν
αἰνέω μέν, Γηρυόνα, τὸ δὲ μὴ Δὶ
φίλτερον σιγῷμι πάμπαν. οὐ γὰρ ἐοικός,
ἁρπαζομένων τῶν ἐόντων, καθῆσθαι παρ' ἑστίᾳ,
καὶ κακὸν ἔμμεναι.

50 9. 59

Τὰν λιπαρὰν μὲν Αἴ- γυπτον ἀγχίκρημνον.

51 10. 60

Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.

57 11. 133

Ὁ ζαμενὴς δ', ὁ χοροιτύπος,
ὃν Μαλεάγονος ἔθρεψε Ναΐδος ἀκοίτας
Σειληνός.

V.

ΠΡΟΣΟΔΙΑ.

58 1. 64 65

Strohpae.

Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου
παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας,
ἅντε βροτοὶ
Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τη-
λέφαντον κυανέας χθονὸς ἄστρον.

. . . . . . . . . .
. . . . . . . . . .
. . . . . . . . .
. . . . . . . . . .

Antistropha.

. . . . . . . . . .
. . . . . . . . . .

*ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν*
*τ' ἀνέμων*
*ῥιπαῖσιν· ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδίνεσσι θύοισ'*
*ἀγχιτόκοις ἐπέβαινεν,*
*δὴ τότε τέσσαρες ὀρθαὶ*
*πρέμνων ἀπώρουσαν χθονίων,*
*ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι*
*κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν.*

59 2. 66

*Τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν,*
*ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν*
*ἀεῖσαι;*

60 3. 67

*. . . Πρὸς Ὀλυμπίου Διός σε,*
*χρυσέα κλυτόμαντι Πυθοῖ,*
*λίσσομαι Χαρίτεσσί τε καὶ σὺν Ἀφροδίτᾳ*
*ἐν ζαθέῳ με δέξαι θρόνῳ*
*ἀοίδιμον Πιερίδων προφάταν.* 69

93 4.

*Κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος*
*ἀμφίκειται*

* * * 70

*ἀλλ' οἶος ἄπλατον κεράιζε θεῶν*
*Τυφῶν' ἑκατοντακάρανον ἀνάγκᾳ Ζεὺς πατὴρ*
*εἰν Ἀρίμοις ποτέ.*

## VI.

## ΠΑΡΘΕΝΙΑ.

63 1. 72

Ὦ Πάν, Ἀρκαδίας μεδέων, καὶ σεμνῶν ἀδύτων φύλαξ,
Ματρὸς μεγάλας ὀπαδέ, σεμ- νᾶν Χαρίτων μέλημα τερπνόν.

64 2. 75

Τὺ σαυτῷ μέλος γλάζεις.

De Pane.

66 3. 73

Ὦ μάκαρ, ὅν- τε μεγάλας θεοῦ κύνα παντοδαπὸν
καλέοισιν Ὀλύμπιοι.

De eodem.

70 4. 78 79

. . . . . . περιδιναθεὶς ἐπῄει
γᾶν καὶ θάλασσαν καὶ σκοπιαῖ- σιν μεγάλαις ὀρέων ὕπερ ἔστα
καὶ μυχοὺς ἐδύσατο βαλλόμενος κρηπῖδας ἀλσέων.
καί ποτε τὸν τρικάρανον Πτωίου κευθμῶνα κατέσχε . . .

De Apolline. In eodem carmine Tenerum poeta dixerat

ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα.

## VII.

## ΥΠΟΡΧΗΜΑΤΑ

71 1. 82

Σύνες ὅ τοι λέγω, ζαθέων ἱερῶν ὁμώ- νυμε πάτερ,
κτίστορ Αἴτνας.

Ad Hieronem.

72 **2.** 82

*Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται ⏑ –*
*ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται·*
*ἀκλεής.*

Ex eodem, ut videtur, ad Hieronem carmine.

73 **3.** 83

*Ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν*
*ἐπὶ θηρσὶ κύνα τρέφειν πυκινώτατον ἑρπετόν·*
*Σκύριαι δ' ἐς ἄμελ- ξιν γλάγους*
*αἶγες ἐξοχώταται·*
*ὅπλα δ' ἀπ' Ἄργεος· ἅρμα Θη- βαῖον, ἀλλ' ἀπὸ τᾶς ἀγλαοκάρπου*
*Σικελίας ὄχημα δαιδάλεον ματεύειν.*

Ex eodem ad Hieronem carmine.

74 **4.** 84

*Ἀκτὶς Ἀελίου, τί πολύσκοπ' ἐμήσω ἐμῶν μᾶτερ ὀμμάτων,*
*ἄστρον ὑπέρ- τατον ἐν ἁμέρᾳ κλεπτόμενον*
*ἔθηκας ἀμάχανον ἰσχὺν*
*ὁπτὰν ἀνδράσι καὶ σοφίας ὁδόν·*
*ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα*
*ἐλαύνεις τί νεώτερον ἢ πάρος;*
*ἀλλά σε πρὸς Διὸς ἵπ- πους θοάσαισ' ἱκετεύω*
*ἀπήμον' ἐς οἶ- μον τινὰ τράποιο Θή- βαις, ὦ πότνια, πάγκοινον τέρας.*
*πολέμου δ' εἰ σᾶμα φέρεις τινός,*
*ἢ καρποῦ φθίσιν, ἢ νιφετοῦ σθένος*
*ὑπέρφατον. ἢ στάσιν οὐλομέναν,*
*ἢ πόντου κενέωσιν ἀνὰ πέδον,*
*ἢ παγετὸν χθονός, ἢ νότιον θέρος*

ὕδατι ζακότῳ διερόν,
ἢ γαῖαν κατακλύσαισα θήσεις
ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος,
ὀλοφύρομαι οὐ- δὲν ὅτι πάν- των μέτα πείσομαι.

Ex carmine de solis defectu.

75 5. 8

Θεοῦ δὲ δείξαντος ἀρχὰν
ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ
κέλευθος ἀρετὰν ἑλεῖν,
τελευταί τε καλλίονες.

76 6. 8

Γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπει- ραμένων δέ τις
ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς.

228 7. 8

Τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς
ἐρευνασάτω μεγαλάνορος Ἡσυχίας τὸ φαι- δρὸν φάος,
στάσιν ἀπὸ πραπίδων ἐπίκοτον ἀνελών,
πενίας δότειραν, ἐχθρὰν κουροτρόφον.

77 8. 8

Ἐνέπισε κεκραμέν' ἐν αἵματι. πολλὰ δ' ἕλκε' ἔμ-
βαλε νωμῶν.
τραχὺ ῥόπαλον τέλος δ' ἀείραις
ἀνδρὸς στιβαρὰς σπάραξε πλευράς,
αἰὼν δὲ δι' ὀστέων ἐραίσθη.

78 9. 8

Λάκαινα μὲν παρθένων ἀγέλα.

82 10. 9 9

Ὁ Μοισαγέτας με καλεῖ χορεῦσαι.

* * *

Ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ.

## VIII.

## ΕΓΚΩΜΙΑ.

83 1. 95

*Βούλομαι παίδεσσιν Ἑλλάνων . . . . . .*

Ad Theronem.

84 2. 96

*Ἐν δὲ Ῥόδον . . κατῴκισθεν . . . . .*
*ἐνθένδ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται,*
*πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες,*
*ἕσπετο δ' ἀενάου πλούτου νέφος.*

Ad eundem.

85 3. 97

*Ὀλβίων ὁμώνυμε Δαρδανιδᾶν,*
*παῖ θρασύμηδες Ἀμύντα.*

Ad Alexandrum Amyntae f., regem Macedonum.

86 4. 98

*Πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι θαμὰ καλλίσταις ἀοιδαῖς·*
*τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον [ῥηθέν].*
*θνάσκει δὲ σιγαθὲν καλὸν ἔργον.*

Ex eodem carmine.

## IX.

## ΣΚΟΛΙΑ.

87 1. 99

*Στρ. α'.*

*Πολύξεναι νεάνιδες, ἀμφίπολοι*
*Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ,*
*αἵτε τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρη*

θυμιᾶτε, πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι
νόημα ποττὰν Ἀφροδίταν,

. . . . . . . . . . . . . .

Στρ. β'.

ὑμῖν ἄνευθ' ἐπαγορίας ἔπορεν,
ὦ παῖδες, ἐρατειναῖς ἐν εὐναῖς
μαλθακᾶς ὥρας ἀπὸ καρ- πὸν δρέπεσθαι.
σὺν δ' ἀνάγκᾳ πᾶν καλόν.

. . . . . . . . . . . . . .

Στρ. γ'.

. . . . . . . . .
. . . . . . . . . .
. . . . . . . . . .

Ἀλλὰ θαυμάζω, τί με λέ- ξοντι Ἰσθμοῦ
δεσπόται τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου
ξυνάορον ξυναῖς γυναιξίν.

Διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ Στρ. δ'.

. . . . . . . . . . . . . . . . . . . . . . . .

Ὦ Κύπρου δέσποινα, τεὸν δηῦτ' ἐς ἄλσος
φορβάδων κουρᾶν ἀγέλαν ἑκατόγγυιον Ξενοφῶν τελέαις
ἐπάγαγ' εὐχωλαῖς ἰανθείς.

Ex Scolio Xenophonti Corinthio scripto.

88 2.

Στρ.

Χρῆν μὲν κατὰ καιρὸν ἐρώ- των δρέπεσθαι, θυμέ, σὺν ἁλικίᾳ·
τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου μαρμαριζοίσας δρακεὶς

*ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος*
*ἢ σιδά- ρου κεχάλκευται μέλαιναν καρδίαν*

*'Αντ.*

*Ψυχρᾷ φλογί, πρὸς δ' Ἀφροδί- τας ἀτιμασθεὶς ἑλι-*
*κοβλεφάρου*
*ἢ περὶ χρήμασι μοχθίζει βιαίως, ἢ γυναικείῳ θράσει*
*ψυχρὰν φορεῖται πᾶσαν ὁδὸν θεραπεύων.*
*ἀλλ' ἐγὼ θεᾶς ἕκατι, κηρὸς ὣς δαχθεὶς ἕλα*

*'Επ.*

*Ἱρᾶν μελισσᾶν, τάκομαι, εὖτ' ἂν ἴδω παιδὸς νεόγυιον*
*ἐς ἥβαν.*
*ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τ' ἄταλλεν*
*καὶ Χάρις υἱὸν Ἀγησιλάου*

Theoxeno Tenedio.

9 3. 101

*Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν*
*τοῦτό τοι πέμπω μεταδόρπιον. ἐν ξυνῷ κεν εἴη*
*συμπόταισίν τε γλυκερὸν*
*καὶ Διωνύσοιο καρπῷ καὶ κυλίκεσσιν Ἀθαναίαισι*
*κέντρον.*

Thrasybulo Xenocratis f. Agrigentino.

4 4. 101

*δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον*
*καίπερ πεδ' ἄφθονον βοράν.*

ex eodem, ut videtur, carmine.

0 5. 105

*Χάριτάς τ' Ἀφροδισίων ἐρώτων*
*ὄφρα σὺν Χιμάρῳ μεθύων, Ἀγάθω- νι δὲ καλῷ*
*κότταβον*

91 6. 10

*Τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν*
*πρῶτος ἐν δείπνοισι Λυδῶν*
*ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος*

Ad Hieronem.

92 7. 10

*Μηδὲ μαύρου τέρψιν ἐν βίῳ· πολύ τοι*
*φέρτιστον ἀνδρὶ τερπνὸς αἰών.*

Ad eundem.

236 8. 10

*Εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν.*
*μὴ πρεσβυτέραν ἐτέων ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν.*

239 9. 2

*Ἁνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι*
*στηθέων ἔξω, πελάγει δ' ἐν πολυχρύσοιο πλούτου*
*πάντες ἴσα πνέομεν ψευδῆ πρὸς ἀκτάν·*
*ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες*

* * *

. . . . . *ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.*

## X.

## ΘΡΗΝΟΙ.

95 1. 1 1

*Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα*
*κάτω,*
*φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν*
*καὶ λιβάνῳ σκιαρὸν καὶ χρυσέοις καρποῖς βεβριθός.*
*καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε, τοὶ δὲ πεσσοῖς,*
*τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐαν-*
*θὴς ἅπας τέθαλεν ὄλβος·*

*ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται*
*αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν*
*ἐπὶ βωμοῖς.*

* * *

*Ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον*
*βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί . . . .*

96 2. 108

*Ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον μετανίσσονται*
*τελευτάν.*
*καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ,*
*ζωὸν δ' ἔτι λείπεται αἰ- ῶνος εἴδωλον· τὸ γάρ ἐστι*
*μόνον*
*ἐκ θεῶν· εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόν-*
*τεσσιν ἐν πολλοῖς ὀνείροις*
*δείκνυσι τερ- πνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.*

97 3. 109

*Ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι*
*γαίᾳ ποτῶνται ἐν ἄλγεσι φονίοις*
*ὑπὸ ζεύγλαις ἀφύκτοις κακῶν·*
*εὐσεβέων δ' ἐπουράνιοι νάοισαι*
*μολπαῖς μάκαρα μέγαν ἀείδοντ' ἐν ὕμνοις.*

Fragmentum spurium.

98 4. 110

*Οἶσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος*
*δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ϝέτεϊ*
*ἀνδιδοῖ ψυχὰς πάλιν.*
*ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ*
*τε μέγιστοι*
*ἄνδρες αὔξοντ'· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες*
*ἁγ- νοὶ πρὸς ἀνθρώπων καλεῦνται.*

99 5. 11

*. . . . . . . . εὐδαιμόνων*
*δραπέτας οὐκ ἔστιν ὄλβος.*

100 6. 11

*Πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας· τετράτῳ δ' αὐτὸς πεδάθη.*

102 7. 11

*Ὄλβιος ὅστις ἰδὼν*
*κεῖν' εἶς' ὑπὸ χθόν'· οἶδε μὲν βίου τελευτάν,*
*οἶδεν δὲ διόσδοτον ἀρχάν.*

De Eleusiniis.

8. 11

*Ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ*
*ὥριαι παιανίδες· ἔντι δ' ἐπαντέλλοντος εὐκίσσου στέφανον*
*ἐκ Διωνύσου μεταμαιόμεναι· ταὶ δὲ κοίμισαν τορὸν*
*κᾶδος υἱῶν σώματ' ἀποφθιμένων·*
*ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὑμνεῖ,*
*ἁ δ' Ὑμέναιον . . ἐν γάμοισι χροϊζόμενον*
*. . . . . συμ πρῶτ . . λάβεν*
*ἐσχάτοις ὕμνοισιν· ἁ δ' Ἰάλεμον ὠμοβόρῳ*
*νούσῳ, *ὅτι πεδαθέντα σθένος*
*υἱὸν Οἰάγρου χρυσάορ' Ὀρφέα.*

## XI.
## ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

104 1. 11

*Τί θεός; ὅ τι τὸ πᾶν.*

105 2. 11

*Θεὸς ὁ τὰ πάντα τεύ- χων βροτοῖς*
*καὶ χάριν ἀοιδᾷ φυτεύει.*

3.

*Θεῷ δὲ δυνατὸν ἐκ μελαίνας*
*νυκτὸς ἀμίαντον ὄρ- σαι φάος,*
*κελαινεφέι δὲ σκότῳ καλύψαι καθαρὸν*
*ἁμέρας σέλας.*

4.

*Κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι*
*πόνων τ' ἄπειροι, βαρυβόαν*
*πορθμὸν πεφευγότες Ἀχέροντος.*
De diis.

08 5. 121

*Ἐλασίβροντε παῖ Ῥέας.*
Ad Iovem.

09 6. 122

*Θεὸς ἅτε πλέον τι λαχών.*
De eodem.

12 7. 123

*Πῦρ πνέοντος ἅ τε κεραυνοῦ*
*ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρὸς*
*ἵζεαι.*
De Minerva.

14 8. 124

*Ἐν χρόνῳ δ' ἐγένετ' Ἀπόλλων.*

15 9. 125

*Ὀρχήστ' ἀγλαΐας ἀνάσσων, εὐρυφάρετρ' Ἄπολλον.*

16 10. 126

*Κατεκρίθη δὲ θνα- τοῖς ἀγανώτατος ἔμμεν.*
De Apolline.

18 11. 1[illegible]

*Μαντεύεο, Μοῖσα, προφατεύσω δ' ἐγώ.*

119 12.

*Μοῖσ' ἀνέηκέ με.*

125 13.

*Δενδρέων δὲ νομὸν Διόνυ- σος πολυγαθὴς αὐξάνοι,*
*ἁγνὸν φέγγος ὀπώρας.*

126 14.

*Ἐλαφρὰν κυπάρισσον φιλέειν,*
*ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον.*
*ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται, ὅθεν ἄδρυς·*
*πενθέων δ' οὐκ ἔλαχον οὐδὲ στασίων.*

127 15.

*Ὅ τι δ' ἔρδων φίλος*
*σοί τε, καρτερόβρον- τα Κρονίδα, φίλος δὲ Μοίσαις,*
*Εὐθυμίᾳ τε μέλων εἴην,*
*τοῦτ' αἴτημί σε.*

128 16.

*Ὦ τάλας ἐφάμερε, νήπια βάξεις χρήματά μοι δια-*
*κομπέων.*

Silenus Olympo Phrygi.

129 17.

*Ταῖς ἱεραῖσι μελίσσαις τέρπεται.*

Fortasse de Proserpina.

132 18.

*Ἀνδρῶν δικαί- ων χρόνος σωτὴρ ἄριστος.*

19.

*θανόντων δὲ καὶ λόγοι φίλοι προδόται*

134 20.

*. . . . . . . . . . . οἱ μὲν*
*κατωκάρα δεσμοῖσι δέδενται . . . . .*

De Cercopibus, ut videtur.

137 21. 140

*Ἀλλαλοφόνους ἐπάξαντο λόγχας ἐνὶ σφίσιν αὐτοῖς.*
De Oto et Ephialte.

22. 139

*. . . . . . . . . Πιτνάντες θοὰν*
*Κλίμακ' ἐς οὐρανὸν αἰπύν.*
De iisdem.

142 23. 14

*Φιλόμαχον γένος ἐκ Περσέος.*

146 24. 14

*Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι.*
De Hamadryadibus.

147 25. 14

*Ἀνδροδάμαντα δ' ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος*
*οἴνου,*
*ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν*
*ὤθεον, αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων*
*πίνοντες ἐπλάζοντο.*
De Centauris.

148 26. 14

*. . ὁ δὲ χλωραῖς ἐλάταισι τυπεὶς*
*οἴχεται Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν.*

150 27. 14

*Δοιὰ βοῶν*
*ἀθρό' ἐς ἀνθρακιὰν στρέψαις, πυρὶ δ' ἓν πολέων*
*σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν*
*ἄιον ἠδ' ὀστέων στεναγ- μὸν βαρύν·*
*ἦν δὲ διακρῖναι ϝιδόντα πολλὸς ἐν καιρῷ χρόνος.*
De Hercule.

119 12.

*Μοῖσ' ἀνέηκέ με.*

125 13.

*Δενδρέων δὲ νομὸν Διόνυ- σος πολυγαθὴς αὐξάνοι*
*ἁγνὸν φέγγος ὀπώρας.*

126 14.

*Ἐλαφρὰν κυπάρισσον φιλέειν,*
*ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον.*
*ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται, ὅθεν ἄδρυς·*
*πενθέων δ' οὐκ ἔλαχον οὐδὲ στασίων.*

127 15.

*Ὅ τι δ' ἔρδων φίλος*
*σοί τε, καρτερόβρον- τα Κρονίδα, φίλος δὲ Μοίσαις*
*Εὐθυμίᾳ τε μέλων εἴην,*
*τοῦτ' αἴτημί σε.*

128 16.

*Ὦ τάλας ἐφάμερε, νήπια βάζεις χρήματά μοι δια-*
*κομπέων.*

Silenus Olympo Phrygi.

129 17.

*Ταῖς ἱεραῖσι μελίσσαις τέρπεται.*

Fortasse de Proserpina.

132 18.

*Ἀνδρῶν δικαί- ων χρόνος σωτὴρ ἄριστος.*

19.

*θανόντων δὲ καὶ λόγοι φίλοι προδόται*

134 20.

. . . . . . . . . . . *οἱ μὲν*
*κατωκάρα δεσμοῖσι δέδενται* . . . . .

*De Cercopibus, ut videtur.*

137 21. 140

*Ἀλλαλοφόνους ἐπάξαντο λόγχας ἐνὶ σφίσιν αὐτοῖς.*
De Oto et Ephialte.

22. 139

*. . . . . . . . . . Πιτνάντες θοὰν*
*Κλίμακ' ἐς οὐρανὸν αἰπύν.*
De iisdem.

142 23. 141

*Φιλόμαχον γένος ἐκ Περσέος.*

146 24. 142

*Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι.*
De Hamadryadibus.

147 25. 143

*Ἀνδροδάμαντα δ' ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος οἴνου,*
*ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν*
*ὤθεον, αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων*
*πίνοντες ἐπλάζοντο.*
De Centauris.

148 26. 144

*. . ὁ δὲ χλωραῖς ἐλάταισι τυπεὶς*
*οἴχεται Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν.*

150 27. 145

*Δοιὰ βοῶν*
*ἀθρό' ἐς ἀνθρακιὰν στρέψαις, πυρὶ δ' ἒν πολέων*
*σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν*
*ἄιον ἠδ' ὀστέων στεναγ- μὸν βαρύν·*
*ἦν δὲ διακρῖναι ϝιδόντα πολλὸς ἐν καιρῷ χρόνος.*
De Hercule.

151 28.

*Νόμος ὁ πάντων βασιλεὺς*
*θνατῶν τε καὶ ἀθανάτων*
*ἄγει δικαιῶν τὸ βιαιότατον*
*ὑπερτάτᾳ χειρί. τεκμαίρομαι*
*ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γηρυόνα βόας*
*Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος*
*ἀναιτήτας τε καὶ ἀπριάτας ἔλασεν.*

154 29.

*Πάντα θύειν ἑκατόν.*
De Lusitanis.

157 30.

*. . κατὰ μὲν φίλα τέκν᾽ ἔπεφνεν*
*θάλλοντας ἥβᾳ δυώδεκ᾽, αὐτὸν δὲ τρίτον.*
Fortasse de Hercule Neleum et filios occidente.

158 31.

*Οὐ Πηλέος ἀντιθέου μόχθοις νεότας ἐνέλαμψεν μυ-*
*ρίοις;*
*πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώιον ἂμ πεδίον*
*καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθεν, καὶ τὸν Ἰάσο-*
*νος εὔδοξον πλόον*
*ἐκτελέσσαις εἷλε Μή- δειαν ἐν Κόλχων δόμοις.*

610 32.

*Σύριον εὐρυαίχμαν διεῖπον στρατόν.*
De Amazonibus.

33.

*. . . . . . . . . Φὰν δ᾽ ἔμμεναι*
*Ζηνὸς υἱοὶ καὶ κλυτοπώ- λου Ποσειδάωνος.*
De Pirithoo et Theseo.

4 34. 35. 154

*Πεπρωμέναν ἐθῆκε μοῖ- ραν μετατραπεῖν*
*Ἀνδροφθόρον· οὐδὲ σι- γᾷ κατερρύη.*

5 36. 155

*Τρόχον μέλος· αἱ δὲ Χεί- ρωνος ἐντολάς.*

6 37. 156

. . . . . *Αἴνιγμα παρθένου*
*ἐξ ἀγριᾶν γνάθων* . . . . .
De Sphinge.

7 38. 157

*Ἐν δασκίοισιν πατὴρ νηλεεῖ νόῳ.*

8 39. 158

. . . . . . . *δ' οὐδὲν προσαιτέων*
*ἐφθεγξάμαν ἐπὶ* . . . . . . .

9 40. 159

*Νόμων ἀκούοντες θεόδματον κέλαδον.*

0 41. 160

*Ὑφαίνω δ' Ἀμυθαονίδαις ποικίλον*
*ἄνδημα.*

4 42. 162

. . . . *Ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρ-*
*ναται.*

5 43. 163

*Ὢ πόποι, οἷ' ἀπατᾶται φροντὶς ἐπαμερίων*
*οὐκ ἰδυῖα.*
De Eriphyla Amphiarai uxore.

177 44.

Ὃς Δολόπων ἄγαγεν θρασὺν ὅμιλον σφενδονᾶσαι,
ἱπποδάμων Δαναῶν βέλεσι πρόσφορον. . . . .

De Phoenice.

179 45.

Ὑπερμενὲς ἀκαμαντοχάρμαν Αἶαν.

184 46.

Ἔτι δὲ τειχέων ἀνακηκίει καπνός.

Fortasse de Troia.

185 47.

Αὐτόν με πρώ- τιστα συνοικιστῆρα γαίας
ἐσδέξεται τεμενοῦχον.

186 48.

Ἥρωες αἰδοίαν ἐμίγνυντ' ἀμφὶ τράπε- ζαν θαμά.

190 49.

Φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου Κο-
λοφωνίου ἀνδρός.

197 50.

Τὰν δείματο μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱρόν.

De Xerxis exercitu.

198 51.

Ἁ Μιδύλου δ' αὐτῷ γενεὰ . . . .

199 52.

Κεῖ μοί τιν' ἄνδρα τῶν θανόντων.

De Pythea Agineta.

201 53.

. . . . Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.

204 54.

Δελφοὶ θεμίστων ὕμνων μάντιες Ἀπολλωνίδαι.

205 55. 17

. . . . . . πενταετηρὶς ἑορτὰ
βουπομπός, ἐν ᾇ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις.

De Pindaro ipso Pythiis nato.

206 56. 17

Κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς,
εἶα τειχίζωμεν ἤδη ποικίλων
κόσμον αὐδάεντα λόγων·
ὃς καὶ πολυκλείταν περ ἐοῖσαν ὅμως Θήβαν ἔτι μᾶλλον ἐπασκήσει θεῶν
καὶ κατ᾽ ἀνθρώπων ἀγυιάς.

207 57. 17

Εὐάρματε χρυσοχίτων, ἱερώτατον ἄγαλμα, Θήβα.

209 58. 17

Λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον.

210 59. 17

Ὦ ταλαίπωροι Θῆβαι.

60. 18

Οὔτοι με ξένον
οὐδ᾽ ἀδαήμονα Μοι- σᾶν ἐπαίδευσαν κλυταί
Θῆβαι.

211 61. 18

Μελιγαθὲς ἀμβρόσιον ὕδωρ
Τιλφώσσας ἀπὸ καλλικράνου.

213 62. 18

Ἔνθα βου- λαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύοισιν αἰχμαί,
καὶ χοροὶ καὶ Μοῖσα καὶ Ἀγλαΐα.

De Sparta.

214 63. 13

*Οἵ τ' ἀργείλοφον πὰρ Ζεφυρίου κολώναν*

De Locris Epizephyriis.

215 64. 18

*Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας,*
*ἔσχατον Νείλου κέρας, αἰγιβάται*
*ὅθι τράγοι γυναιξὶ μίσγονται . . . . .*

216 65. 18

*. . . . . Λευκίππων Μυκηναίων προφᾶται.*

217 66. 18

*Ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι*
*νεκρὸν ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει·*
*κρυφᾷ δὲ σκολιοὺς γέννσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς.*

218 67. 18

*Καὶ λιπαρῷ Σμυρναίῳ ἄστει . . .*

221 68. 18

*Ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' Ἀλά- θεια, μὴ πταίσῃς ἐμὰν*
*σύνθεσιν τραχεῖ ποτὶ ψεύδει . . .*

222 69. 19

*. . . . . . . . . . παρὰ Λύδιον ἅρμα*
*πεζὸς οἰχνεύων . . . . . . . . .*

223 70. 19

*Ἀλλὰ*
*Ταρτάρου πυθμὴν πιέ- ζει σ' ἀφανὴς σφυρηλάτοις . . . ἀνάγκαις.*

224 71. 19

*Μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμενοι*
*ῥιψαύχενι σὺν κλόνῳ.*

?7 72. 193

*Ἀτελῆ σοφίας καρπὸν δρέπειν.*

De physiologis.

?9 73. 194

*Ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες*
*ἢ στάσιν ἄλγος ἐμφανές.*

)0 74. 195

*Κακόφρονά τ' ἀμφάνῃ πραπίδων καρπόν.*

)1 75. 196

*Φθόνον κενεοφρόνων ἑταῖρον ἀνδρῶν.*

)2 76. 197

*Πότερον δίκᾳ τεῖχος ὕψιον*
*ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει*
*ἐπιχθόνιον γένος ἀνδρῶν,*
*δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.*

)3 77. 198

*Γλυκεῖά ϝοι καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ.*

78. 199

*Ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται.*

)2 79. 200

*Ἄλλο δ' ἄλλοισιν νόμισ- μα, σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος.*

)5 80. 201

*Σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς.*

)7 81. 202

*Γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.*

L0 82. 204

*Οἵ δ' ἄφνει πεποίθασιν.*

241 **83.** 205

. . . . τῶνδε γὰρ οὔτε τι μεμπτὸν
οὔτ' ὦν μεταλλακτὸν . . . ὅσσ' ἀγλαὰ χθὼν
πόντου τε ῥιπαὶ φέροισιν.

242 **84.** 206

. . . Ἀελλοπόδων μέν τιν' εὐφραίνοισιν ἵππων
τίμια καὶ στέφανοι, τοὺς δ' ἐν πολυχρύσοις θαλά-
μοις βιοτά·
τέρπεται δὲ καί τις ἐπ' οἶδμ' ἅλιον
ναῒ θοᾷ σῶς διαστείβων . . . .

243 **85.** 207

. . . Διὸς παῖς ὁ χρυσός·
κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει,
δάμναται δὲ βροτέαν φρένα κάρτιστον κτεάνων.

244 **86.** 208

Καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν
αἰχμάλωτοι, καὶ χρυσέων βελέων
ἐντὶ . . . τραυματίαι . . . . . . .

246 **87.** 209

Ἶσον μὲν θεὸν ἄνδρα τε φίλον θεῷ
ὑποτρέσσαν.

247 **88.** 210

. . . Ὁπότε θεὸς ἀνδρὶ χάρμα πέμψῃ,
πρόσθε μέλαιναν κραδίαν ἐστυφέλιξεν . . .

248 **89.** 211

Οὔτις ἑκὼν κακὸν εὕρετο.

250 **90.** 212

. . Νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι
δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ
ἔργα μετ' αἰθέρ' ἀερθέντα . . . . .

252 91. 21

*Τιθεμένων ἀγώνων πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον.*

253 92. 21

*Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται*
*οὐ φίλων ἐναντίον ἐλθεῖν.*

254 93. 21

*ἐπὶ λεπτῷ δενδρέῳ βαίνειν.*

255 94. 21

*Τόλμα τέ νιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν.*

256 95. 21

*Σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον τεῖχος.*

257 96. 21

*Πιστὸν δ' ἀπίστοις οὐδέν.*

258 97. 21

*Ὑφ' ἅρμασιν ἵππος,*
*ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφίς·*
*κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν . . . .*

259 98. 22

*. . . . ἁλίου δελφῖνος ὑπόκρισιν . .*
*τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει*
*αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος.*

260 99. 22

*φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.*
De delphinis.

241 **83.** 205

. . . . τῶνδε γὰρ οὔτε τι μεμπτὸν
οὔτ' ὦν μεταλλακτὸν . . . ὅσσ' ἀγλαὰ χθὼν
πόντου τε ῥιπαὶ φέροισιν.

242 **84.** 206

. . . Ἀελλοπόδων μὲν τιν' εὐφραίνοισιν ἵππων
τίμια καὶ στέφανοι, τοὺς δ' ἐν πολυχρύσοις θαλά-
μοις βιοτά·
τέρπεται δὲ καί τις ἐπ' οἶδμ' ἅλιον
ναῒ θοᾷ σῶς διαστείβων . . . .

243 **85.** 207

. . . Διὸς παῖς ὁ χρυσός·
κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει,
δάμναται δὲ βροτέαν φρένα κάρτιστον κτεάνων.

244 **86.** 208

Καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν
αἰχμάλωτοι, καὶ χρυσέων βελέων
ἐντὶ . . . τραυματίαι . . . . . . .

246 **87.** 209

Ἶσον μὲν θεὸν ἄνδρα τε φίλον θεῷ
ὑποτρέσσαν.

247 **88.** 210

. . . Ὁπότε θεὸς ἀνδρὶ χάρμα πέμψῃ,
πρόσθε μέλαιναν κραδίαν ἐστυφέλιξεν . . .

248 **89.** 211

Οὔτις ἑκὼν κακὸν εὕρετο.

250 **90.** 212

. . Νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι
δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ
ἔργα μετ' αἰθέρ' ἀερθέντα . . . . .

252 91. 21

*Τιθεμένων ἀγώνων πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον.*

253 92. 21

*Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται*
*οὐ φίλων ἐναντίον ἐλθεῖν.*

254 93. 21

*ἐπὶ λεπτῷ δενδρέῳ βαίνειν.*

255 94. 21

*Τόλμα τέ νιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν.*

256 95. 21

*Σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον τεῖχος.*

257 96. 21

*Πιστὸν δ' ἀπίστοις οὐδέν.*

258 97. 21

*Ὑφ' ἅρμασιν ἵππος,*
*ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφίς·*
*κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν . . . .*

259 98. 22

*. . . . ἁλίου δελφῖνος ὑπόκρισιν . .*
*τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει*
*αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος.*

260 99. 22

*φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.*
De delphinis.

261 100. 222

*Ὄπισθε δὲ κεῖ- μαι θρασειᾶν*
*ἀλωπέκων ξανθὸς λέων.*

262 101. 223

*Ἔνθα ποῖμναι κτιλεύονται κάπρων λεόντων τε.*

265 102. 224

*Ἰάχει βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.*

266 103. 129

*. . . . Μελισσοτεύκτων κηρίων*
*ἐμὰ γλυκερώτερος ὀμφά.*

269 104. 225

*Μὴ σιγᾷ βρεχέσθω.*

278 105. 304

*Ξεινοδόκησέ τε δαίμων.*

280 106. 226

*Ποτίκολλον ἅτε ξύλον ξύλῳ.*

285 107. 321

*Ὑψικέρατα πέτραν.*

108. 229

*Πρόφασις βληχροῦ γίνεται νείκεος.*

109. 263

*Ἀμεύσεσθαι Νάξιον Τίσανδρον.*

286 110. 230

*Μελιρρόων ἀνθέων ἕπεται πλόκαμοι*

111. 227

*Ἁ μὲν πόλις Αἰακιδᾶν.*

112. 290

*Ἱππείοις ἔντεσι μεταίσσων.*

---

# HOMERI CARMINA.

VOL. III.

# HYMNI HOMERICI

EX RECENSIONE

AUGUSTI BAUMEISTER.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXX.

# HYMNI HOMERICI

ACCEDENTIBUS

# EPIGRAMMATIS ET BATRACHOMYOMACHIA

HOMERO VULGO ATTRIBUTIS.

---

EX RECENSIONE

**AUGUSTI BAUMEISTER.**

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXX.

LIPSIAE. TYPIS B. G. TEUBNERI.

# PRAEFATIO.

Qui factum sit, ut inter tot tantosque viros doctos, qui Homericos sese profitentur, ego potissimum accesserim ad recensenda haec carmina, quae si minus ipsius Homeri, tamen Homericae poesi et argumento et dicendi genere habentur proxima, paucis attinet explicare. Nam inde ab illo tempore, quo almam Georgiam Augustam adii, Frid. Guil. Schneidewinum prae ceteris nactus sum moderatorem studiorum prudentissimum et in me benevolentissimum, qui et publicis exercitationibus et sermonibus domesticis miros quosdam (ut ille ait) amores mihi excitavit Homeri, capitis ac fontis Graecarum litterarum, atque ad hunc iterum iterumque tractandum ut me converterem, auctor fuit gravissimus. Et quam disserendo tradidit discipulis monstravitque viam, qua esset in his studiis ingrediendum, eam ipse exemplo praeivit doctrinaeque documenta proposuit luculentissima commentationibus duabus de hymnis Homericis conscriptis (altera inserta Studiis Gottingensibus a. 1847 editis, altera Philologi Vol. III). Cui viro egregie de me merito quantum debere me sentiam quum coram ipso, dum in vivis erat, nunquam dissimulaverim, ne eos quidem qui haec lecturi sint ignorare volui. Sed exacto quadriennio posteaquam spatiis Academiae relictis praeparatoque itinere Graeco accessi ad loca illa cum ipsorum amoenitate conspicua, tum summis rebus per triginta saecula gestis nobilitata, non immemor equidem summi poetae, cujus nullus mons, nullus rivus me non admonebat, et Iliadem memoriter recitavi, quum agrum Trojanum inviserem Achilleumque tumulum adequitarem, et in Aegeo insulas circumvehens Ulixis errores ita relegi, ut non semel ad vesperam unda vento exagitata exemplar quod manu tenebam sale puro conspergeret: *ἀμφὶ δὲ κῦμα στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης.* Sed dum illud solum cal-

cabam, in quo *quacunque ingredimur, in aliqua historia vestigium ponimus*, quum praecipue mansio Athenis esset, omnis humanitatis quasi quadam arce bonarumque artium metropoli, quid mirum, quod nihil antiquius habebam, quam ut vel rerum priscarum memoriam testibus incorruptissimis, inscriptionibus dico, repeterem, vel situm locorum nobilissimorum requirerem, vel fabulas deorum heroumque cum natura regionum arcte conjunctas atque ex illo solo quasi enatas indagarem, vel etiam ex ore plebis Grajae facundiae quanta possem vestigia exciperem, vel denique divina artis antiquae nec usquam renaturae opera quotquot durarunt (eheu! plerumque disjecta barbaroque furore nefarie contusa) intuens admirarer atque aeterna illa qua spirant pulchritudinis specie, quam ad mores formandos ingeniumque excolendum plurimum valere jure semper existimatum est, animum assidua contemplatione imbuerem? Eodem studio quum in Italia complures menses commoratus essem Parisiosque adissem, redux in patriam ubi ratio muneris scholastici quod suscepi ab opportunitate harum rerum altius persequendarum me abduxit, in eum gyrum, qui ad institutionem puerilem proxime pertinet, contrahere me coactus resumsi prisca studia et nescio quo casu in hymnos Homericos delatus, quae antea obiter tetigeram, ea studiosius coepi investigare. Paullo post insperantibus omnibus Schneidewinus decessit, cujus obitus praematurus non solum familiaribus luctum attulit gravissimum, verum litterarum Graecarum studia clade affecit acerbissima. Qui quum dudum haec carmina perpolita in lucem editurum se promisisset, nominisque sui auctoritate effecisset, ut nemo alius ad id negotium accingeretur, spe frustratus librarius honestissimus imparatum ad hoc me invitavit, ut in locum Schneidewini succederem. Ne multa; suscepi rem plenam aleae, non quin alios fortasse multos esse putarem, qui instructiores doctrina multiplici et ingenio ornatiores ad hoc essent venturi, sed quia sperabam hac mea qualicunque opera unum vel alterum ex his (ut fit) ad rem in melius provehendam posse excitari. Neque enim eam mihi sumo arrogantiam, ut recensionem horum carminum exhibere me arbitrer absolutam et in saeculum duraturam (quod peritis-

simus quisque harum rerum judex ne ab ullo quidem exspectabit); sed intellexi nova quasi fundamenta jacienda esse, in quibus futura aliquando horum carminum recensio possit exstrui. Nam quod in unoquoque antiquo auctore fieri debere nunc omnes consentiunt, ut codicibus diligenter excussis pretioque eorum constituto scriptura primum ad solam fidem et auctoritatem librorum revocetur, deinde conjectura emendetur, id ad hunc diem factum non est in his hymnis, quum neque codices satis accurate essent collati neque quo quisque loco habendus esset constaret. Quod ut tandem recte fieret, Schneidewinus operam impenderat impigerrimam. Ipse contulerat cura diligentissima codicem Moscoviensem, et ab amicitia Henrici Keilii V. Cl. impetraverat, ut is in itinere Italico duorum librorum lectiones primus enotaret, alterius Laurentiani, alterius Ambrosiani. Has collationes posteaquam ex Schneidewini libris comparavi per Ernestum de Leutsch, praeceptorem in me benevolentissimum, tum demum judicare potui, quae via ac ratio textus quem vocant constituendi in his hymnis esset ingredienda. Sed quoniam institutum hujus editionis me non sinit vel omnium librorum afferre lectiones vel eam quam mihi informavi sententiam de scriptura codicum eligenda argumentis et disserendo comprobare, spero me iis qui haec accuratius cupient cognoscere satisfacturum esse editione majori anno proximo, si deus faveat officiique ratio permiserit, proditura. Interea hoc tantum monitum velim falsam esse ac plane evertendam opinionem quae inde a Ruhnkenii temporibus invaluit de praestantia codicis Moscoviensis. Hic enim liber etsi ex fonte puro originem traxit, postea in locis et sanis et corruptis ita inquinatus est interpolationibus molestissimis, ut solus per se nullam fidem mereatur. Summa autem auctoritas tribuenda est Laurentiano, qui menda exhibet plurima, locupletia (ut ita dicam) sincerae scripturae testimonia, vacuus est a correctionibus importuni doctoris. Nam quae ad marginem lectiones appictae sunt, eam singularem condicionem habent, ut neque ex ingenio provenerint nescio cujus grammatici neque errori (qui mirus regnat in his rebus) originem debeant, sed pluris aestimandae sint quam quae in continua versuum

serie leguntur. Id quod imprimis elucet his locis, ubi aut novos aut prorsus commutatos versus suppeditat, quos ego uno excepto loco, ubi causa gravior intercedit, praeferendos vulgatae et in ordinem recipiendos putavi; vide H. Apoll. Pyth. 147[b], 344, Merc. 288, 366, 563. Idem habet uno loco etiam codex Moscoviensis, H. Merc. 458, 459, ceteri nullo. Omnino igitur tota ratio scripturae constituendae sic definienda est, ut expensis inter se et expletis lectionibus Laurentiani et Moscoviensis reperiamus quid quoque loco a communi horum librorum parente olim fuerit scriptum, reliqui autem qui innotuerunt codices (Ambrosianus, Parisini tres apud Matthiam, editio princeps Florentina, quae codicis instar habenda est), quia neque illos ulla re superant et multis locis correctoris manum sunt experti, in censum non veniant. Deinde vero in locis corruptis et lacunosis utendum est conjectura, quae quam late pateat in his carminibus quibusque finibus regunda sit, difficile est dictu. Nam post tot viros et doctrina et ingenii acumine maximo insignes, qui in hoc genere elaborarunt, Henricum Stephanum, Barnesium, Ruhnkenium, Ilgenium, Matthiam, Hermannum, Vossium, Frankium, Schneidewinum — post horum dico operam diligentissimam etiamnunc restant tot loci aegroti et conclamati, ut medicinam repertum iri omnibus plane desperandum sit. Omitto, quod propter dubiam et obscuram quae est de auctoribus et de aetate horum carminum memoriam multa quae ad dialectum et ad universum genus dicendi pertinent, difficillime dijudicantur; nihil dico de iis dubitationibus, quae nuper exstiterunt de argumentis describendis et de antiquis interpolationibus majorum hymnorum; quae quidem omnia prout apud te constitueris, magnum quoddam ad judicium lectionum valere necesse est. Ego autem quum intelligerem, quam scopuloso difficilique in loco versarer, in hac editione usui quotidiano destinata ita moderandam duxi rationem criticam, ut neque sordes omnes et menda librariorum per saecula propagata stultus venerarer atque intacta relinquerem (asterisco notati sunt ii loci, quorum medela non erat in promtu, remotique e contextu versus aperte spurii) neque ipse ingenioli *ostentandi* causa intemperata libidine conjectandi nimio

cum contemptu grassarer adversus codices. Ac si numerum locorum spectes, perraro tantum, id est locis viginti sex, ipse periculum feci conjecturae, nec si quem locum probabiliter emendavi, id magnae mihi laudi postulo tribui. Sin hoc effecero, ut aequis et benevolis harum rerum existimatoribus in aliorum emendationibus aut recipiendis aut rejiciendis recto et circumspecto judicio usus esse, in meis parcus fuisse videar, omnia quae et in votis erant et in facultate mea posita, consecutum me esse profiteor.

Iam ut cognoscant lectores, quae sint cujusque in his rebus, recensum dabo omnium locorum conjectura ut spero sanatorum; qui sunt numero fere ducenti et nonaginta. Codices ubi dico aliquam lectionem exhibere, non semper omnes consentientes, sed aut plurimos aut eos tantum de quibus interest scire, imprimis Laurentianum intellectum volo.

I. *Εἰς Ἀπόλλωνα Δήλιον.* Sic Ilgenius inscripsit priorem partem totius hymni qui est in Apollinem. — 3. *ῥά τ'* Hermannus; codd. *ῥά γ'*. — 18. *ἐπ'* Reizius; codd. *ὑπ'*. — 19. *τ' ἄρ* Matthias; codd. *γάρ*. — 26. *Κύνθου* Holstenius; codd. *Κύνθος*. — 30. *τ'* inseruit Hermannus. — 31. *Αἰγίνης* Schneidewinus; codd. *Αἴγινα*. — 32. *Πειρεσίαι* Ruhnkenius; codd. *τ' Εἰρεσίαι*. — 33. *Ἀθόως* Barnesius; codd. *Ἄθως*. — 46. Matthias versum restituit. — 59. Corruptus. — 62. *μεγάλου Κοίοιο* Barnesius; codd. *μεγάλοιο Κρόνοιο*. — 65. *γενοίμην* Stephanus; codd. *γ' ἐροίμην*. — 81. Lacunae signum Hermannus. — 90. *γονῇ* Frankius; codd. *γόνῳ*. — 104. *χρύσεον ἠλέκτροισιν ἐερμένον* ego scripsi; codd. *χρυσείοισι λίνοισιν ἐεργμένον*. — 116. *δὴ τότε τὴν* Ilgenius; codd. *τὴν τότε δή*. — 125. *ἀθανάτοις χείλεσσιν* Xaverius Eble; codd. *ἀθανάτῃσιν χερσίν*. — 133. *ἐπὶ* Matthias; codd. *ἀπό*. — 152. Versum restituerunt Bernardus Martinus et Ilgenius; codd. *οἳ τότ' ἐπαντία σεῖο τ' Ἰάονες*. — 165. *Ἀλλ' ἄγεθ' ἱλήκοι μὲν* Normannus ex Thucyd. III 104; codd. *ἀλλ ἄγε δὴ Λητὼ μέν*. — 171. *ὑποκρίνασθ' εὐφήμως* Ruhnkenius ex Thucyd. III 104; codd. *ὑποκρίνασθε ἀφ' ἡμέων*. — 173. Quod scripsi, Hermannus dedit; codd. *τοῦ πᾶσαι μετόπισθεν ἀριστεύουσιν ἀοιδαί*. —

II. *Εἰς Ἀπόλλωνα Πύθιον.* In codicibus versus con-

tinuantur nullo spatio interposito. Ruhnkenius hymnos divisit; inscriptionem posuit Ilgenius. — 6. ἔχων τεθυωμένα Barnesius; codd. ἔχων τε θυώδεα. — 30. μνηστῆρσιν B. Martinus, codd. μνηστῆσιν. — 31. ὅππως μνωόμενος Wolfius, codd. ὁππόσ' ἀνωόμενος; Ἀζανίδα Martinus, codd. Ἀζαντίδα. — 33. Exhibui conjecturam Schneidewini, codd. ἢ ἅμα Φόρβαντι Τριόπῳ γένος, ἢ ἅμ' ἐρευθεῖ. — 35. Post verba οὐ μὴν codd. addunt Τρίοπός γ' ἐνέλιπεν. — Lacunas post 34 et 35 indicarunt Hermannus et Schneidewinus. — 39. Λάκμον ego, codd. Λέκτον; τ' Ἠμαθίην τε Matthias, codd. τ' ἠμαθόεντα; ἠδ' Ἐνιῆνας idem, codd. ἢ μαγνηίδας. — 50. ὕλη Barnesius, codd. ὕλην. — 57. ἄγωσιν Barnesius, codd. ἄγησιν. — 64. πολύπυρον Barnesius, codd. πολύπυργον. — 65. Ἁλίαρτον Martinus, codd. Ἄμαρτον. — 81. οἵ τε Ilgenius, codd. οἱ δέ. — 94. ἀλλ' ἀκέων ego, codd. ἀλλὰ καὶ ὥς. — 103. θείων Hermannus; codd. θύων. — 121. ξεστοῖσιν Ernestius, codd. κτιστοῖσιν. — 131. ἐκ κορυφῆς Barnesius, codd. ἐν κορυφῇ. — 139. Lacunam Matthias instituit. — 147[b]. Hunc versum inserui cum Schneidewino ex margine Laur. — 148. Schneidewinus emendavit ex cod. Mosc. — 150. αἰσχύνασ' Barnesius, codd. αἰσχύνας. — 153. κῆρ Barnesius, codd. περ. — 159. αὐτὰρ ego posui, codd. αὐτοὶ. — 161. εἴη ὅσον Hermannus, codd. ἢ πόσσον vel πάροσον. — 177. ἣ Wolfius, codd. ὅς. — 186. ζώουσα Ilgenius, codd. ζωοῖσι. — 205. πετραίης προχοῇσιν Ruhnkenius, codd. πέτρῃσι προχυτῇσιν. — 212—219. Ordinem versuum et lacunae signa post 218 dedi ex Hermanni sententia; in codd. post v. 212 sequuntur 216—218, tum 213—215. 219 sqq. — 216. ἄρ' ὅγ' ὁρμ. Schneidewinus, codd. ἄρα ὁρμ. — 224. ἐπεφράσατ' οὐδ' ἐνόησε Matthias, codd. ἐπεφράσσατο νοῆσαι. — 228. οὐδ' ἕλκον ego, codd. οὐδ' ἕλυον. — 230. ἔπειγε Ruhnkenius, codd. ἔγειρε. — 232. Ἕλος τ', ἔφαλον Matthias, codd. ἁλιστέφανον. — 239. αὖθις Piersonus, codd. ἀμφὶς. — 241. ἑκοῦσα ego, codd. ἔχουσα. — 253. τάχ' ἐφαίνετο Schneidewinus, codd. κατεφαίνετο. — 264. ἷκεν Barnesius, codd. ἧκεν. — 268. Κρισαίων Hermannus, codd. Κρισσαγῶν. — 278. τετιηότε ego, codd. τετιηότες. — 287. Lacunam statuit Hermannus. — 290. ἐγγεγάασιν Ilgenius, codd. ἐκγεγάασιν. — 301. τετιμένοι Hermannus, codd. τετιμένον. — 310. μέλαιναν ἐπ' Matthias, codd. θοὴν ἐπὶ. —

313. δ' post πῦρ addidit Ilgenius. — 329. ὑπὸ Matthias, codd. παρά. — 332. περὶ Ernestius, codd. παρά. — 343. 344. ἔμελλον — τετιμένοι Piersonus, codd. ἔμελλεν — τετιμένος. — 344. ἄδυτον ζάθεον ex margine Laur., ceteri αὐτοῦ δάπεδον. — 351. corruptus. — 360. δ' εὖ πεφύλαχθε Schneidewinus, codd. δὲ προφύλαχθε. — 361. Verba extrema corrupta; fort. καὶ ἐμὴν ἰθύντε θέμιστα. — 362. εἰ δέ τι Reizius, codd. ἠέ τι. — III. Εἰς Ἑρμῆν. 17. μεσσημάτιος κιθάριζεν Schneidewinus, codd. μέσῳ ἤματι ἐγκιθάριζεν. — 25. Damnatus a Ruhnkenio. — 37. ἔχμα Ruhnkenius; codd. αἰχμά. — 38. τότε κεν Hermannus; codd. τότε ἄν. — 41. ἀναπιλήσας Hermannus; codd. ἀναπηλήσας. — 43. περήσῃ Frankius; codd. περήσει. — 44. θαμειαὶ Barnesius; codd. θαμιναί. — 45. αἵ δέ τε ego scripsi, codd. αἳ ὅτε vel ἃς ὅτε. — 48. λιθορρίνοιο Piersonus; codd. διὰ ῥινοῖο. — 52. χεροῖν Schneidewinus; codd. φέρων. — 58. ὡς Ernestius; codd. ὅν. — 76. ἴχνι' Hermannus; codd. ἴχνη. — 77. 78. ego e textu removi. — 79. δ' εὖτ' ἔρριψεν Schneidewinus; codd. δ' αὐτίκ' ἔριψεν. — 84. Verba τὰ — Πιερίηθεν Hermannus uncis inclusit. — 86. Corruptus. — 91. πολυοινήσεις Ilgenius; codd. πολὺ οἰνήσεις. Lacunam indicavit Groddeckius. — 99. 100. ego ejeci. — 103. ἀκμῆτες Ilgenius; codd. ἀδμῆτες. — ἐπ' Schneidewinus; codd. ἐς. — 111. ego ejeci. — 114. φῦσαν Hemsterhusius; codd. φύζαν. — 116. ἐριβρύχους Barnesius; codd. ὑποβρυχίας. — 124. ἐπὶ Barnesius; codd. ἐνί. — 125. τὰ μέταζε scripsi ex Schneidewini suspicione (post ab ipso improbata); codd. τάμετ' ἄσσα vel ἅσσα. — 127. χαρμόφρων Stephanus; codd. χαρμοφέρων vel χάρμα φέρων. — 132. ἤδει' Ruhnkenius; codd. ᾔδει. — 133. περᾶν Barnesius; codd. πέρην. — 136. φωρῆς Hermannus; codd. φωνῆς. — ἀγείρας Ilgenius; codd. ἀείρας. — 141. ego ejeci. — 152. corruptus. — 157. ἦ σὲ κακὸν τὰ μέταζε J. C. Schmittius; codd. ἤ σε λαβόντα μεταξύ. — 160. τάλαν Ruhnkenius; codd. πάλιν. — 163. δεδίσκεαι Piersonus; codd. τιτύσκεαι. — 168. ἄλιστοι

λι

Schneidewinus ex cod. Laur.: ἄπαστοι. — 172. τιμῇ Schneidewinus; codd. τιμῆς. — 188. Corruptus. — 211. ἔχον Hermanus; codd. ἔχεν. — 224. κένταυρον λασιαύχενα Schneidewinus; codd. κενταύρου λασιαύχενος. — 238. οὔλη Herman-

nus; codd. ὕλης.—239. Corruptus.—241. φή Hermannus; codd. δή.—242. ἐγρήσσων ἐτεόν γε Hermannus; codd. ἄγρης· εἰνέτεόν τε. — 248. ἐμπλείους Ilgenius; codd. ἐκπλείους. — 256. λαβὼν Ilgenius; codd. βαλὼν.—259. ὀλοοῖσι Bothius; codd. ὀλίγοισι.—262. ἠ Matthias; codd. καί. —265. οὔτι Hermannus; codd. οὔτε. —279. ὀφρῦς Hermannus; codd. ὀφρύσι. — 280. ὑποσχών ego; codd. ἀκούων.— 288. Dedi lectionem marginalem cod. Laur.; codd. in textu ἀντήσεις ἀγέλῃσι βοῶν καὶ πώεσι μήλων. — 313. ἐρίδαινον Schneidewinus; codd. ἐρέεινεν. — 316. ἐκδεδαὼς ego scripsi; codd. οὐκ ἀδίκως. — 325. εὐδίῃ ego scripsi; codd. εὐμυλίῃ. — 326. ἀθρόοι Groddeckius; codd. ἄφθιτοι — μετὰ χρυσόθρονον ἠῶ margo Laur.; codd. in textu ποτὶ πτύχας Οὐλύμποιο. — 342. Πύλονδ' Clarkius; codd. πόρονδ'. — 343. ἀγάσσασθαι Ilgenius; codd. ἀγάσσεσθαι.— 346. ἄϊκτος Hermannus; codd. ὅδ' ἐκτὸς. — 357. διαπυρπαλάμησεν Ilgenius; codd. διὰ πῦρ μάλ' ἄμησεν. — 361. ὡμόργαζε Ilgenius; codd. ὡμάρταζε. — 366. Dedi lectionem marginalem Laur., qui pro αὐτίκα praebet αὖ τὸν vel ἄλλον; textus codd. Ἑρμῆς δ' αὖθ' ἑτέρωθεν ἀμειβόμενος ἔπος ηὔδα. — 380. τὸ δέ τ' Hermanus; codd. τόδε δ'. — 383. ἐπιδώσομαι Barnesius; codd. ἐπιδαίομαι. — 385. που Hermannus; codd. ποτ'. — 400. ἧχι ῥα οἱ Hermannus; codd. ἧχ' οὗ δή. — τἄγρευμ' Doederlinus; codd. τὰ χρήματ'. — 406. αὐτὰρ Hermannus; codd. αὐτὸς. — 407. δειμαίνω Stephanus; codd. θαυμαίνω.— 414. ὁ δὲ δὴ Schneidewinus; codd. τότε δή. — 415. πύκν' Barnesius; codd. πῦρ. — 416. Lacunae signa ego appinxi.— 418. Lacunam Hermannus indicavit. — 419. μέρος Martinus; codd. μέλος. — 458. μῦθον Ruhnkenius; codd. θυμὸν. — 459. τὸ δ' Hermannus; codd. τόδ'. — 460. κρανέϊνον Ilgenius; codd. κρανάιον. — 472. γὰρ Kaemmerer; codd. παρὰ. — 473. ἐγώ σε πανομφαῖον Hermannus; codd. ἔγωγε παῖδ' ἀφνειὸν. — 478. εὔμολπον Schneidewinus; codd. εὐμόλπει. — 479. ἐπισταμένην Barnesius; codd. ἐπισταμένως. — 482. ὃς γὰρ ἂν Schneidewinus; codd. ὅστις ἂν. — 486. θέλγουσα Schneidewinus; codd. φθέγγουσα. — 488. θρυλλίζοι Ruhnkenius; codd. θρυαλίζοι. — 497. ἔχειν Matthias; codd. ἔχων. — 501. μέρος Martinus; codd. μέλος. — ὑπὸ χειρὸς Schneidewinus; codd. ὑπὸ καλὸν. — 502. ἄειδε Ilgenius; codd. ἄεισε. — 507. καί ῥ' ὁ μὲν Matthias; codd. καὶ τὸ μὲν. —

508. *ἐξέτι κείνου* Hermannus; codd. *ὡς ἔτι καὶ νῦν.* — 520. *ἔρδειν* Hermannus; codd. *ἔρδοις.* — 526. *ἤ σε* Schneidewinus; codd. *ἐκ δὲ.* — 527. *ἀνθρώπων* Schneidewinus; codd. *ἅμα πάντων.* — 531. *ἐπικραίνουσ' οἴμους* Hermannus; codd. *ἐπικραίνουσα θεοὺς.* — 552. *Θριαὶ* Hermannus; codd. *Μοῖραι.* — 557. *ἀλέγιζεν* Hermannus; codd. *ἀλέγυνεν* vel *ἀλέγεινει.* — 558. *ἄλλοτε ἄλλῃ* Schneidewinus; codd. *ἄλλοτ' ἐπ' αλλῃ.* — 563. Margo Laur. *γρ. ψεύδονται δ' ἤπειτα δι' ἀλλήλων δενέουσαι,* unde ego dedi *δονέουσαι.* Ejeci versum qui in textu codd. et in editt. adhuc legebatur: *πειρῶνται δ' ἤπειτα παρὲξ ὁδὸν ἡγεμονεύειν.* —

IV. *Εἰς Ἀφροδίτην.* 9. *ἅδεν* Hermannus, codd. *εὔαδεν.* — 13. *σατίνας τε καὶ* Ruhnkenius, codd. *σατίνα καὶ.* — 52. *συνέμιξε* Schaeferus, codd. *ἀνέμιξε.* — 63. *ἑδανῷ* Ruhnkenius, codd. *ἑανῷ.* — 72. *ἤισαν* Ilgenius, codd. *ἤεσαν.* — 87. *ἐϋγνάμπτας* ego, codd. *ἐπιγναμπτὰς.* — 103. *ἀνδρῶν* Schneidewinus, codd. *ἄνδρα.* — 113. *τε* inseruit Wolfius. — 116. *γε* Hermannus, codd. *τε.* — 132. *οὐ μὲν γάρ τε* ego, codd. *οὐ γάρ τε* vel *οὐ γάρ τοι.* — 136. Hunc versum concinnavit Ruhnkenius ex duobus, qui sunt in plerisque codd., his:

*οὔ σφιν ἀεικελίη νυός ἔσσομαι, ἀλλ' εἰκυῖα.*
*εἴ τι ἀεικελίη γυνὴ ἔσσομαι, ἠὲ καὶ οὐκί.* —

139. Matthias hunc restituit ex varia codicum depravatione. — 173. *εὐποιήτου δὲ μελ.* Ruhnkenius, codd. *εὐποιήτοιο μελ.* — 194. *τοι δεῖος* Hermannus, codd. *τοι τι δέος* vel *τι δέος.* — 212. *δὲ* Wolfius, codd. *τε.* — 252. *στόμα χείσεται* Martinus, codd. *στοναχήσεται.* — 276. *κε* inseruit Barnesius. — 280. *μιν* Hermannus, codd. *νιν.* — 283. *τῷ δὲ* Hermannus, codd. *τῷδε.* — 284. *φάσθαι* Matthias, codd. *φασί.* — 285. *ἔκγονον* Barnesius, codd. *ἔγγονον.* — 290. *ὀνόμαινε* Hermannus, codd. *ὀνόμηνε.* —

V. *Εἰς Δήμητραν.* In codice Moscoviensi, qui solus habet hunc hymnum, legitur: *τοῦ αὐτοῦ ὕμνοι εἰς τὴν δήμητραν.* — 1. *θεὸν* Vossius, cod. *θεάν.* — 10. *δέ τε* Wyttenbachius, cod. *τό τε.* — 13. *κηώδει δ' ὀδμῇ πᾶς τ' οὐρ.* Ruhnkenius, cod. *κῶδις τ'. ὀδμῇ πᾶς δ' οὐρ.* — 23. *Ἔλειαι* Ilgenius, cod. *ἐλαῖαι.* — 37. Lacunam indicavit Hermannus. — 46. *οὐδέ οἱ οἰωνῶν τις ἐτήτ.* Hermannus, cod. *οὔτ' οἰωνῶν τις. τῇ ἐτήτ.* — 58. Lacunam indicavit Hermannus. —

85. τιμῇ Schneidewinus, cod. τιμὴν. — 112. δ' inseruit Ruhnkenius. — 115. πιλνᾷ Hermannus, cod. πιλνᾷς. — 119. φίλ', αἵτινες Fonteinius, cod. φίλα, τινες. — 120. οὔ τοι Fonteinius, cod. οὔτι. — 122. μὲν addidit Brunckius. — 128. δ' ἠρτύν. Hermannus, cod. ἐπηρτ. — 134. ἐγγεγ. Ruhnkenius, cod. ἐκγεγ. — 144. διδασκήσαιμι Vossius, cod. διαθήσαιμι. — 162. ἀνώγῃ Matthias, cod. ἀνώγει. — 179. θεὸν Vossius, cod. θεὰν. — 182. Cod. κατ' ἄκρηθεν. — 207. οἱ Matthias, cod. τοι. — 211. ἐπέβη Vossius, cod. ἕνεκεν. — 220. πολυάρητος Ruhnkenius, cod. πολυήρατος. — 221. Ita Hermannus, cod. τόν γε θρέψαιο. — 227. θρέψασθ'· οὔ Vossius, cod. θρέψω· κοῦ. — 228. οὔτε τομαῖον Vossius, cod. οὐθ' ὑποταμνὸν. — 229. οὐλοτόμοιο Vossius, cod. ὑλοτόμοιο. — 336. Codex unum versum exhibet οὔτ' οὖν σῖτον ἔδων. οὐ θησάμενος. δημήτηρ. Ex conjectura mea, quae intercidisse videntur, reposui. — 256. καὶ ante ἀφράδμ. in codice positum delevit Vossius. — 258. νήκεστον Vossius, cod. μήκιστον. — 263. ἄφθιτος Ruhnkenius; cod. ἄφθιτον. — 267. Ἀθηναίοισι conj. Matthias, cod. ἐν ἀλλήλοισι. — συνάξουσ' Ilgenius, cod. συναυξήσουσι. — Lacunam indicavit Hermannus. — 269. ὄναρ Hermannus; cod. ὀνείαρ. — 280. αὐγῆς Ruhnkenius, cod. αὐτῆς. — 302. ῥ' ἴμεν Wyttenbachius, cod. δ' ἴμεν. — 317. τὸ μεσηγὺ Matthias, cod. μεσσηγὺ (e correctione). — 325. πατὴρ inseruit Hermannus. — 328. κεν ἕλοιτο Hermannus, cod. κ' ἐθέλοιτο. — 337. ὑπὸ Vossius, cod. ἀπὸ. — 344. 345. Dedi emendationem Matthiae; codex habet haec: ἠδ' ἐπ' ἀτλήτων ἔργοις θεῶν μακάρων μητίσετο βουλῇ. — 348. με Wyttenbachius, cod. σε. — 364. δ' ἐοῦσα Ruhnkenius, cod. δ' ἰοῦσα. — 371. Ἅιδης Schneidewinus, cod. αὐτὸς. — Quaecunque inde a v. 387 litteris minoribus exprimenda curavi, ea manu recentiori in codice sunt scripta, in ceteris vestigia primae manus nusquam prorsus evanuerunt. De hac re, in quam Schneidewinus diligentissime investigavit, accuratiora tradam in editione majori. — 402. ὑπὸ Vossius, cod. ἀπὸ. — 404. τίνι σ' ἐξαπ. Ruhnkenius, cod. τιν' ἐξαπ. — 411. αὐτίκ' Frankius, cod. αὐτὰρ. — 420. Μηλόβοσις ex Pausania, cod. Μηλοβότη. — Cod. Ὠκύρθη καλλικῶπις. — 426. κρόκον τ' ἀγανὸν Vossius, cod. κροκοέντα γανόν. — 428. ὥσπερ κρόκον corruptum. — 429. δρε-

πόμην Ruhnkenius, cod. δρεπομένη. — 442. Δημήτερα Fonteinius, cod. ἣν μητέρα. — 450. Ῥάριον Ruhnkenius, cod. ῥίον. — 462. κεν ἕλοιο recte Vossius; nam in codice κε θέλησθα totum est a manu secunda. — 465. Totus versus excepta voce ἀθανάτοισιν ab Hermanno confectus certissima ut videtur conjectura. In codice sequuntur deinde quinque versuum fragmenta ex vv. 448—452 male huc translata. — 446. Verba ὥς τοι ὑπέστη sunt Hermanni; codex a manu sec. habet δύο δὲ πὰρ σοί. — 456. βρισέμεν Ruhnkenius; cod. βρυσέμεν. — 465. Verba uncis inclusa supplevit Hermannus. — 473. δεῖξε Ruhnkenius, et hoc ipsum scriptum fuisse a manu prima suspicatur Schneidewinus; manus secunda dedit εἶπε. — 476. δρησμοσύνην et πᾶσιν Ruhnkenius, cod. χρησμ. et καλά. — 479. οὔτε χανεῖν Ilgenius; cod. οὔτ' ἀχέειν. — ἄγος Ruhnkenius; cod. ἄχος. — 481. ὁμοίως Vossius, cod. ὁμοίων. — 490. Ἀλλ' ἄγ' Ἐλευσ. Ruhnkenius, cod. Ἀλλὰ θελευσ. — 494. ὀπάζειν Vossius, cod. ὄπαζε.

VII. Διόνυσος ἢ λησταί. Ita codd. potiores. Vulgo Εἰς Διόνυσον. — 22. αὖτις ego scripsi; codd. αὐτὸν. — 27. σὺμ πάνθ' ὅπλα ego; codd. σύμπανθ' ὅπλα. — 43. νῆ' ἤδη Hermannus; codd. μὴ δήδειν. — 55. δῖε κάτωρ corruptum; an δῖ ἵκτωρ? —

XII, 2. ἀθανάτων Matthias; codd. ἀθανάτην. —

XIII, 3. σάω Barnesius; codd. σάον. —

XIX, 9. ἐφεζόμενος ego reposui; codd. ἐφελκόμενος. — 12. ἀργινόεντα Barnesius; codd. αἰγινόεντα. — 14. οἷος Hermannus; codd. οἷον. — 15. ἄγρης Piersonus; codd. ἄκρης. — 16. ἥδυμον ego; codd. νήδυμον. — 18. ἵει ego scripsi; codd. χέει. — 22. δ' inseruit Buttmannus. — 26. ποίη Hermannus; codd. ποίην. — 30. ὅτ' ego; codd. ὄγ'. — 31. τέ Hermannus; codd. δέ. — 33. λάθε Ruhnkenius; codd. θάλε. — 38. ἀναΐξασα, λίπεν Martinus; codd. ἀναΐξας, λεῖπεν. — 40. Ἑρμείης Matthias; codd. Ἑρμείας. — 45. ἕτερφθεν Stephanus; codd. ἕτερφθον. — 48. λίτομαι Barnesius; codd. λίσσομαι. —

XX, 1. ἀείσεο Frankius; codd. ἀείδεο. —

XXIV, 4. εὐμενέουσα Schneidew.; codd. θυμὸν ἔχουσα.—

XXVI, 13. Hunc v. spurium judicavit Frankius. —

XXVIII, 10. ὑπὸ βρίμης Ilgenius; codd. ὑπ' ὀμβρίμης. — 12. ἔκχυτο ego scripsi; codd. ἔσχετο. —

XXIX, 4. τίμιον Frankius; codd. τιμήν. — Versum 11, qui in codd. legitur ante v. 9, transposuit Martinus. —

XXX, 14. φερεσανθέσιν Ernestius; codd. περεσανθέσιν. — 15. παίζουσαι σκαίρουσι Ruhnkenius; codd. παίζουσι χαίρουσι. —

XXXI, 14. Post hunc versum lacunam esse vidit Hermannus. — 16. ἑσπέριος Ruhnkenius; codd. θεσπέσιος. —

XXXII, 1. εὐειδῆ Bothius; codd. ἀείδειν. —

XXXIII, 16. κρίσιν ipse tentavi; codd. σφίσιν. —

XXXIV. VV. 1—9 ex Homeri hymnis affert Diodor. III, 66; vv. 10—21 in cod. Moscoviensi praemissi sunt hymno qui est in Cererem. — 16. ἐπένευσε Ruhnkenius; cod. ἐκέλευσε. — 17. ἵληθ' Hermannus; cod. ἵλαθ'. —

Epigrammata. I, 2. Κύμης ἐριώπιδα κούρην Ilgenius, idemque v. 4 ζαθεοῦ pro ξανθοῦ. — In carmine III Herodoti qui fertur lectiones secutus sum. — IV, 6. ποντοτίνακτον Piersonus; codd. ποτνιάνακτον. — 10. φῆμιν ἀοιδῆς Wolfius; codd. φημὶ ἀοιδήν. — 12. corruptus. — 17. ἀλαὸν ego scripsi; codd. ὀλίγον. — VI, 2. ζαθέου Ruhnkenius; codd. ξανθοῦ. — VIII, 1. ἐναλίγκιοι corruptum. — IX, 1 et 2 metro vinxit Barnesius. — XIV, 6. Lectio Suidae corrupta. — A carmine XV lacero et corruptissimo manum abstinendam putavi dedique integram Herodoti qui fertur lectionem. — Postremo Batrachomyomachiae adjeci eam recensionem, quae a me prodiit Gottingae ante hos sex annos. Paucula quaedam ipse mutavi, v. 72 καὶ ἐπὶ pro eo quod erat κἀπί, 83 πᾶσιν ὁμῶς pro ἀμφοτέροις, 99 ὕδατι pro ὕδασι, 260 μύεσιν pro μυσὶν, 303 μονοημέρου pro μονοήμερος. Commodissime autem Augustus Nauckius mecum communicavit complures emendationes, e quibus certissimas meo judicio in versus recepi has: 114 ἔχθιστος et ἔκτοσθεν, ex codicibus optimis, quos hoc loco nescio quomodo contempseram; 132 ἐν ὅπλοις pro ἔνοπλοι; 144 εἰς οὔατ' ἀμύμων, ubi meliores libri εἰς οὔατα μυῶν; 298 ἀτειρέες pro ἀχειρέες. Ceteras viri doctissimi suspiciones alio loco publici juris faciam. —

Scribebam Elberfeldae ipsis Calendis
Martiis anni MDCCCLVIII.

**AUG. BAUMEISTER.**

# ΥΜΝΟΙ ΟΜΗΡΙΚΟΙ.

# ΟΜΗΡΟΥ ΥΜΝΟΣ ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

## I.

### ΕΙΣ ΑΠΟΛΛΩΝΑ ΔΗΛΙΟΝ.

*Μνήσομαι οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο,*
*ὅν τε θεοὶ κατὰ δῶμα Διὸς τρομέουσιν ἰόντα·*
*καί ῥά τ᾽ ἀναΐσσουσιν ἐπισχεδὸν ἐρχομένοιο*
*πάντες ἀφ᾽ ἑδράων, ὅτε φαίδιμα τόξα τιταίνει.*
*Λητὼ δ᾽ οἴη μίμνε παραὶ Διὶ τερπικεραύνῳ,*
*ἥ ῥα βιόν τ᾽ ἐχάλασσε καὶ ἐκλήισε φαρέτρην,*
*καί οἱ ἀπ᾽ ἰφθίμων ὤμων χείρεσσιν ἑλοῦσα*
*τόξον ἀνεκρέμασε πρὸς κίονα πατρὸς ἑοῖο*
*πασσάλου ἐκ χρυσέου· τὸν δ᾽ εἰς θρόνον εἷσεν ἄγουσα.*
*τῷ δ᾽ ἄρα νέκταρ ἔδωκε πατὴρ δέπαϊ χρυσείῳ*
*δεικνύμενος φίλον υἱόν· ἔπειτα δὲ δαίμονες ἄλλοι*
*ἔνθα καθίζουσιν· χαίρει δέ τε πότνια Λητὼ,*
*οὕνεκα τοξοφόρον καὶ καρτερὸν υἱὸν ἔτικτεν.*
*Πῶς τ᾽ ἄρ σ᾽ ὑμνήσω πάντως εὔυμνον ἐόντα;* 19

---

*Χαῖρε, μάκαιρ᾽ ὦ Λητοῖ, ἐπεὶ τέκες ἀγλαὰ τέκνα,* 14
*Ἀπόλλωνά τ᾽ ἄνακτα καὶ Ἄρτεμιν ἰοχέαιραν,*
*τὴν μὲν ἐν Ὀρτυγίῃ, τὸν δὲ κραναῇ ἐνὶ Δήλῳ,*
*κεκλιμένη πρὸς μακρὸν ὄρος καὶ Κύνθιον ὄχθον,*
*ἀγχοτάτω φοίνικος, ἐπ᾽ Ἰνωποῖο ῥεέθροις.*

---

*πάντῃ γάρ τοι, Φοῖβε, νόμοι βεβλήαται ᾠδῆς,*
*ἠμὲν ἀν᾽ ἤπειρον πορτιτρόφον ἠδ᾽ ἀνὰ νήσους.*
*πᾶσαι δὲ σκοπιαί τοι ἅδον καὶ πρώονες ἄκροι*
*ὑψηλῶν ὀρέων ποταμοί θ᾽ ἅλαδε προρέοντες,*
*ἀκταί τ᾽ εἰς ἅλα κεκλιμέναι λιμένες τε θαλάσσης.*

*ἢ ὥς σε πρῶτον Λητὼ τέκε, χάρμα βροτοῖσι,*
*κλινθεῖσα πρὸς Κύνθος ὄρος κραναῇ ἐνὶ νήσῳ,*
*Δήλῳ ἐν ἀμφιρύτῃ; ἑκάτερθε δὲ κῦμα κελαινὸν*
*ἐξῄει χέρσονδε λιγυπνοίοις ἀνέμοισιν.*
*ἔνθεν ἀπορνύμενος πᾶσι θνητοῖσιν ἀνάσσεις,*
*ὅσσους Κρήτη τ' ἐντὸς ἔχει καὶ δῆμος Ἀθηνῶν,*
*νῆσός τ' Αἰγίνης ναυσικλειτή τ' Εὔβοια,*
*Αἰγαὶ Πειρεσίαι τε καὶ ἀμφιάλη Πεπάρηθος,*
*Θρηΐκιός τ' Ἀθόως καὶ Πηλίου ἄκρα κάρηνα,*
*Θρηΐκίη τε Σάμος Ἴδης τ' ὄρεα σκιόεντα,*
*Σκύρος καὶ Φώκαια καὶ Αὐτοκάνης ὄρος αἰπὺ,*
*Ἴμβρος τ' εὐκτιμένη καὶ Λῆμνος ἀμιχθαλόεσσα,*
*Λέσβος τ' ἠγαθέη, Μάκαρος ἕδος Αἰολίωνος,*
*καὶ Χίος, ἣ νήσων λιπαρωτάτη εἰν ἁλὶ κεῖται,*
*παιπαλόεις τε Μίμας καὶ Κωρύκου ἄκρα κάρηνα,*
*καὶ Κλάρος αἰγλήεσσα καὶ Αἰσαγέης ὄρος αἰπὺ,*
*καὶ Σάμος ὑδρηλὴ Μυκάλης τ' αἰπεινὰ κάρηνα,*
*Μίλητός τε Κόως τε, πόλις Μερόπων ἀνθρώπων,*
*καὶ Κνίδος αἰπεινὴ καὶ Κάρπαθος ἠνεμόεσσα,*
*Νάξος τ' ἠδὲ Πάρος Ῥήναιά τε πετρήεσσα,*
*τόσσον ἔπ' ὠδίνουσα Ἑκηβόλον ἵκετο Λητὼ,*
*εἴ τίς οἱ γαιέων υἱεῖ θέλοι οἰκία θέσθαι.*
*αἱ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδισαν, οὐδέ τις ἔτλη*
*Φοῖβον δέξασθαι, καὶ πιοτέρη περ ἐοῦσα·*
*πρίν γ' ὅτε δή ῥ' ἐπὶ Δήλου ἐβήσατο πότνια Λητὼ,*
*καί μιν ἀνειρομένη ἔπεα πτερόεντα προσηύδα·*
*Δῆλ', εἰ γάρ κ' ἐθέλοις ἕδος ἔμμεναι υἷος ἐμοῖο,*
*Φοίβου Ἀπόλλωνος, θέσθαι τ' ἐνὶ πίονα νηὸν, —*
*ἄλλος δ' οὔτις σεῖο ποθ' ἅψεται, οὐδέ σε τίσει,*
*οὐδ' εὔβων σε ἔσεσθαι ὀΐομαι, οὔτ' εὔμηλον,*
*οὐδὲ τρύγην οἴσεις, οὔτ' ἂρ φυτὰ μυρία φύσεις.*
*αἱ δέ κ' Ἀπόλλωνος ἑκαέργου νηὸν ἔχῃσθα,*

*ἄνθρωποί τοι πάντες ἀγινήσουσ' ἑκατόμβας*
*ἐνθάδ' ἀγειρόμενοι, κνίσση δέ τοι ἄσπετος αἰεὶ*
** δηρὸν ἄναξ εἰ βόσκοις θεοὶ κέ σ' ἔχωσιν*
*χειρὸς ἀπ' ἀλλοτρίης, ἐπεὶ οὔ τοι πῖαρ ὑπ' οὖδας.*
*Ὣς φάτο· χαῖρε δὲ Δῆλος, ἀμειβομένη δὲ προσηύδα·*
*Λητοῖ, κυδίστη θύγατερ μεγάλου Κοίοιο,*
*ἀσπασίη μὲν ἔγωγε γονὴν ἑκάτοιο ἄνακτος*
*δεξαίμην· αἰνῶς γάρ ἐτήτυμόν εἰμι δυσηχὴς*
*ἀνδράσιν· ὧδε δέ κεν περιτιμήεσσα γενοίμην.*
*ἀλλὰ τόδε τρομέω, Λητοῖ, ἔπος, οὐδέ σε κεύσω·*
*λίην γάρ τινα φασὶν ἀτάσθαλον Ἀπόλλωνα*
*ἔσσεσθαι, μέγα δὲ πρυτανευσέμεν ἀθανάτοισι*
*καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.*
*τῷ ῥ' αἰνῶς δείδοικα κατὰ φρένα καὶ κατὰ θυμόν,*
*μή, ὁπόταν τὸ πρῶτον ἴδῃ φάος ἠελίοιο,*
*νῆσον ἀτιμήσας, ἐπειὴ κραναήπεδός εἰμι,*
*ποσσὶ καταστρέψας ὤσῃ ἁλὸς ἐν πελάγεσσιν.*
*ἔνθ' ἐμὲ μὲν μέγα κῦμα κατὰ κρατὸς ἅλις αἰεὶ*
*κλύσσει· ὁ δ' ἄλλην γαῖαν ἀφίξεται, ᾗ κεν ἅδῃ οἱ,*
*τεύξασθαι νηόν τε καὶ ἄλσεα δενδρήεντα·*
*πουλύποδες δ' ἐν ἐμοὶ θαλάμας φῶκαί τε μέλαιναι*
*οἰκία ποιήσονται ἀκηδέα, χήτεϊ λαῶν.*
*ἀλλ' εἴ μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι,*
*ἐνθάδε μιν πρῶτον τεύξειν περικαλλέα νηόν,*
*ἔμμεναι ἀνθρώπων χρηστήριον, αὐτὰρ ἔπειτα*

* * *

*πάντας ἐπ' ἀνθρώπους, ἐπειὴ πολυώνυμός ἐστιν.*
*Ὣς ἄρ' ἔφη· Λητὼ δὲ θεῶν μέγαν ὅρκον ὄμοσσεν·*
*Ἴστω νῦν τάδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,*
*καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος*
*ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν·*
*ἦ μὴν Φοίβου τῇδε θυώδης ἔσσεται αἰεὶ*

*βωμὸς καὶ τέμενος, τίσει δέ σέ γ' ἔξοχα πάντων.*
*Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,*
*Δῆλος μὲν μάλα χαῖρε γονῇ ἑκάτοιο ἄνακτος·*
*Λητὼ δ' ἐννῆμάρ τε καὶ ἐννέα νύκτας ἀέλπτοις*
*ὠδίνεσσι πέπαρτο. θεαὶ δ' ἔσαν ἔνδοθι πᾶσαι,*
*ὅσσαι ἄρισται ἔασι, Διώνη τε Ῥείη τε*
*Ἰχναίη τε Θέμις καὶ ἀγάστονος Ἀμφιτρίτη,*
*ἄλλαι τ' ἀθάναται, νόσφιν λευκωλένου Ἥρης·*
*μούνη δ' οὐκ ἐπέπυστο μογοστόκος Εἰλείθυια·* 97
*ἧστο γὰρ ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν,*
*Ἥρης φραδμοσύνῃ λευκωλένου, ἥ μιν ἔρυκε*
*ζηλοσύνῃ, ὅτ' ἄρ' υἱὸν ἀμύμονά τε κρατερόν τε*
*Λητὼ τέξεσθαι καλλιπλόκαμος τότ' ἔμελλεν.*
*Αἳ δ' Ἶριν προὔπεμψαν ἐϋκτιμένης ἀπὸ νήσου,*
*ἀξέμεν Εἰλείθυιαν, ὑποσχόμεναι μέγαν ὅρμον,*
*χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἐννεάπηχυν·*
*νόσφιν δ' ἤνωγον καλέειν λευκωλένου Ἥρης,*
*μή μιν ἔπειτ' ἐπέεσσιν ἀποστρέψειεν ἰοῦσαν.*
*αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε ποδήνεμος ὠκέα Ἶρις,*
*βῆ ῥα θέειν, ταχέως δὲ διήνυσε πᾶν τὸ μεσηγύ.*
*αὐτὰρ ἐπεί ῥ' ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,*
*αὐτίκ' ἄρ' Εἰλείθυιαν ἀπὲκ μεγάροιο θύραζε*
*ἐκπροκαλεσσαμένη ἔπεα πτερόεντα προσηύδα,*
*πάντα μάλ', ὡς ἐπέτελλον Ὀλύμπια δώματ' ἔχουσαι.*
*τῇ δ' ἄρα θυμὸν ἔπειθεν ἐνὶ στήθεσσι φίλοισι·*
*βὰν δὲ ποσὶ τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.*
*εὖτ' ἐπὶ Δήλου ἔβαινε μογοστόκος Εἰλείθυια,*
*δὴ τότε τὴν τόκος εἷλε, μενοίνησεν δὲ τεκέσθαι.*
*ἀμφὶ δὲ φοίνικι βάλε πήχεε, γοῦνα δ' ἔρεισε*
*λειμῶνι μαλακῷ· μείδησε δὲ γαῖ' ὑπένερθεν·*

---

*ἧστο γὰρ ἐν μεγάροισι Διος νεφεληγερέταο.* 96

*ἐκ δ' ἔθορε πρὸ φόωσδε· θεαὶ δ' ὀλόλυξαν ἅπασαι.*
*Ἔνθα σέ, ἤιε Φοῖβε, θεαὶ λόον ὕδατι καλῷ*
*ἁγνῶς καὶ καθαρῶς, σπάρξαν δ' ἐν φάρεϊ λευκῷ,*
*λεπτῷ, νηγατέῳ· περὶ δὲ χρύσεον στρόφον ἧκαν.*
*οὐδ' ἄρ' Ἀπόλλωνα χρυσάορα θήσατο μήτηρ,*
*ἀλλὰ Θέμις νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν*
*ἀθανάτοις χείλεσσιν ἐπήρξατο· χαῖρε δὲ Λητώ,*
*οὕνεκα τοξοφόρον καὶ καρτερὸν υἱὸν ἔτικτεν.*
*Αὐτὰρ ἐπειδή, Φοῖβε, κατέβρως ἄμβροτον εἶδαρ,*
*οὔ σέ γ' ἔπειτ' ἴσχον χρύσεοι στρόφοι ἀσπαίροντα,*
*οὐδ' ἔτι δεσμά σ' ἔρυκε, λύοντο δὲ πείρατα πάντα.*
*αὐτίκα δ' ἀθανάτῃσι μετηύδα Φοῖβος Ἀπόλλων·*
*Εἴη μοι κίθαρίς τε φίλη καὶ καμπύλα τόξα,*
*χρήσω δ' ἀνθρώποισι Διὸς νημερτέα βουλήν.*
*Ὣς εἰπὼν ἐβίβασκεν ἐπὶ χθονὸς εὐρυοδείης*
*Φοῖβος ἀκερσεκόμης, ἑκατηβόλος· αἱ δ' ἄρα πᾶσαι*
*θάμβεον ἀθάναται· χρυσῷ δ' ἄρα Δῆλος ἅπασα*
*ἤνθησ', ὡς ὅτε τι ῥίον οὔρεος ἄνθεσιν ὕλης.*
*Αὐτὸς δ', ἀργυρότοξε ἄναξ, ἑκατηβόλ' Ἄπολλον,*
*ἄλλοτε μέν τ' ἐπὶ Κύνθου ἐβήσαο παιπαλόεντος,*
*ἄλλοτε δ' αὖ νήσους τε καὶ ἀνέρας ἠλάσκαζες.*
*πολλοί τοι νηοί τε καὶ ἄλσεα δενδρήεντα·*
*πᾶσαι δὲ σκοπιαί τε φίλαι καὶ πρώονες ἄκροι*
*ὑψηλῶν ὀρέων, ποταμοί θ' ἅλαδε προρέοντες·*
*ἀλλὰ σὺ Δήλῳ, Φοῖβε, μάλιστ' ἐπιτέρπεαι ἦτορ,*
*ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται*
*αὐτοῖς σὺν παίδεσσι καὶ αἰδοίῃς ἀλόχοισιν.*
*οἱ δέ σε πυγμαχίῃ τε καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ*
*μνησάμενοι τέρπουσιν, ὅταν στήσωνται ἀγῶνα.*

---

*βεβρίθει, καθορῶσα Διὸς Λητοῦς τε γενέθλην,*
*γηθοσύνῃ, ὅτι μιν θεὸς εἵλετο οἰκία θέσθαι*
*νήσων ἠπείρου τε, φίλησε δὲ κηρόθι μᾶλλον.*

*βωμὸς καὶ τέμενος, τίσει δέ σέ γ' ἔξοχα πάντων.*
*Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,*
*Δῆλος μὲν μάλα χαῖρε γονῇ ἑκάτοιο ἄνακτος·*
*Λητὼ δ' ἐννῆμάρ τε καὶ ἐννέα νύκτας ἀέλπτοις*
*ὠδίνεσσι πέπαρτο. θεαὶ δ' ἔσαν ἔνδοθι πᾶσαι,*
*ὅσσαι ἄρισται ἔασι, Διώνη τε Ῥείη τε*
*Ἰχναίη τε Θέμις καὶ ἀγάστονος Ἀμφιτρίτη,*
*ἄλλαι τ' ἀθάναται, νόσφιν λευκωλένου Ἥρης·*
*μούνη δ' οὐκ ἐπέπυστο μογοστόκος Εἰλείθυια·* 97
*ἧστο γὰρ ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν,*
*Ἥρης φραδμοσύνῃ λευκωλένου, ἥ μιν ἔρυκε*
*ζηλοσύνῃ, ὅτ' ἄρ' υἱὸν ἀμύμονά τε κρατερόν τε*
*Λητὼ τέξεσθαι καλλιπλόκαμος τότ' ἔμελλεν.*
*Αἳ δ' Ἶριν προὔπεμψαν ἐϋκτιμένης ἀπὸ νήσου,*
*ἀξέμεν Εἰλείθυιαν, ὑποσχόμεναι μέγαν ὅρμον,*
*χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἐννεάπηχυν·*
*νόσφιν δ' ἤνωγον καλέειν λευκωλένου Ἥρης,*
*μή μιν ἔπειτ' ἐπέεσσιν ἀποστρέψειεν ἰοῦσαν.*
*αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε ποδήνεμος ὠκέα Ἶρις,*
*βῆ ῥα θέειν, ταχέως δὲ διήνυσε πᾶν τὸ μεσηγύ.*
*αὐτὰρ ἐπεί ῥ' ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,*
*αὐτίκ' ἄρ' Εἰλείθυιαν ἀπὲκ μεγάροιο θύραζε*
*ἐκπροκαλεσσαμένη ἔπεα πτερόεντα προσηύδα,*
*πάντα μάλ', ὡς ἐπέτελλον Ὀλύμπια δώματ' ἔχουσαι.*
*τῇ δ' ἄρα θυμὸν ἔπειθεν ἐνὶ στήθεσσι φίλοισι·*
*βὰν δὲ ποσὶ τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι.*
*εὖτ' ἐπὶ Δήλου ἔβαινε μογοστόκος Εἰλείθυια,*
*δὴ τότε τὴν τόκος εἷλε, μενοίνησεν δὲ τεκέσθαι.*
*ἀμφὶ δὲ φοίνικι βάλε πήχεε, γοῦνα δ' ἔρεισε*
*λειμῶνι μαλακῷ· μείδησε δὲ γαῖ' ὑπένερθεν·*

---

*ἧστο γὰρ ἐν μεγάροισι Διος νεφεληγερέταο.* 96

*ἐκ δ' ἔθορε πρὸ φόωσδε· θεαὶ δ' ὀλόλυξαν ἅπασαι.*
*Ἔνθα σέ, ἤιε Φοῖβε, θεαὶ λόον ὕδατι καλῷ*
*ἁγνῶς καὶ καθαρῶς, σπάρξαν δ' ἐν φάρεϊ λευκῷ,*
*λεπτῷ, νηγατέῳ· περὶ δὲ χρύσεον στρόφον ἧκαν.*
*οὐδ' ἄρ' Ἀπόλλωνα χρυσάορα θήσατο μήτηρ,*
*ἀλλὰ Θέμις νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν*
*ἀθανάτοις χείλεσσιν ἐπήρξατο· χαῖρε δὲ Λητὼ,*
*οὕνεκα τοξοφόρον καὶ καρτερὸν υἱὸν ἔτικτεν.*
*Αὐτὰρ ἐπειδὴ, Φοῖβε, κατέβρως ἄμβροτον εἶδαρ,*
*οὔ σέ γ' ἔπειτ' ἴσχον χρύσεοι στρόφοι ἀσπαίροντα,*
*οὐδ' ἔτι δεσμά σ' ἔρυκε, λύοντο δὲ πείρατα πάντα.*
*αὐτίκα δ' ἀθανάτῃσι μετηύδα Φοῖβος Ἀπόλλων·*
*Εἴη μοι κίθαρίς τε φίλη καὶ καμπύλα τόξα,*
*χρήσω δ' ἀνθρώποισι Διὸς νημερτέα βουλήν.*
*Ὣς εἰπὼν ἐβίβασκεν ἐπὶ χθονὸς εὐρυοδείης*
*Φοῖβος ἀκερσεκόμης, ἑκατηβόλος· αἱ δ' ἄρα πᾶσαι*
*θάμβεον ἀθάναται· χρυσῷ δ' ἄρα Δῆλος ἅπασα*
*ἤνθησ', ὡς ὅτε τι ῥίον οὔρεος ἄνθεσιν ὕλης.*
*Αὐτὸς δ', ἀργυρότοξε ἄναξ, ἑκατηβόλ' Ἄπολλον,*
*ἄλλοτε μέν τ' ἐπὶ Κύνθου ἐβήσαο παιπαλόεντος,*
*ἄλλοτε δ' αὖ νήσους τε καὶ ἀνέρας ἠλάσκαζες.*
*πολλοί τοι νηοί τε καὶ ἄλσεα δενδρήεντα·*
*πᾶσαι δὲ σκοπιαί τε φίλαι καὶ πρώονες ἄκροι*
*ὑψηλῶν ὀρέων, ποταμοί θ' ἅλαδε προρέοντες·*
*ἀλλὰ σὺ Δήλῳ, Φοῖβε, μάλιστ' ἐπιτέρπεαι ἦτορ,*
*ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται*
*αὐτοῖς σὺν παίδεσσι καὶ αἰδοίῃς ἀλόχοισιν.*
*οἱ δέ σε πυγμαχίῃ τε καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ*
*μνησάμενοι τέρπουσιν, ὅταν στήσωνται ἀγῶνα.*

---

*βεβρίθει, καθορῶσα Διὸς Λητοῦς τε γενέθλην,*
*γηθοσύνῃ, ὅτι μιν θεὸς εἵλετο οἰκία θέσθαι*
*νήσων ἠπείρου τε, φίλησε δὲ κηρόθι μᾶλλον.*

*βωμὸς καὶ τέμενος, τίσει δέ σέ γ᾽ ἔξοχα πάντων.*
*Αὐτὰρ ἐπεί ῥ᾽ ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,*
*Δῆλος μὲν μάλα χαῖρε γονῇ ἑκάτοιο ἄνακτος·*
*Λητὼ δ᾽ ἐννῆμάρ τε καὶ ἐννέα νύκτας ἀέλπτοις*
*ὠδίνεσσι πέπαρτο. θεαὶ δ᾽ ἔσαν ἔνδοθι πᾶσαι,*
*ὅσσαι ἄρισται ἔασι, Διώνη τε Ῥείη τε*
*Ἰχναίη τε Θέμις καὶ ἀγάστονος Ἀμφιτρίτη,*
*ἄλλαι τ᾽ ἀθάναται, νόσφιν λευκωλένου Ἥρης·*
*μούνη δ᾽ οὐκ ἐπέπυστο μογοστόκος Εἰλείθυια·* 97
*ἧστο γὰρ ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν,*
*Ἥρης φραδμοσύνῃ λευκωλένου, ἥ μιν ἔρυκε*
*ζηλοσύνῃ, ὅτ᾽ ἄρ᾽ υἱὸν ἀμύμονά τε κρατερόν τε*
*Λητὼ τέξεσθαι καλλιπλόκαμος τότ᾽ ἔμελλεν.*
*Αἳ δ᾽ Ἶριν προὔπεμψαν ἐϋκτιμένης ἀπὸ νήσου,*
*ἀξέμεν Εἰλείθυιαν, ὑποσχόμεναι μέγαν ὅρμον,*
*χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἐννεάπηχυν·*
*νόσφιν δ᾽ ἤνωγον καλέειν λευκωλένου Ἥρης,*
*μή μιν ἔπειτ᾽ ἐπέεσσιν ἀποστρέψειεν ἰοῦσαν.*
*αὐτὰρ ἐπεὶ τόγ᾽ ἄκουσε ποδήνεμος ὠκέα Ἶρις,*
*βῆ ῥα θέειν, ταχέως δὲ διήνυσε πᾶν τὸ μεσηγύ.*
*αὐτὰρ ἐπεί ῥ᾽ ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον,*
*αὐτίκ᾽ ἄρ᾽ Εἰλείθυιαν ἀπὲκ μεγάροιο θύραζε*
*ἐκπροκαλεσσαμένη ἔπεα πτερόεντα προσηύδα,*
*πάντα μάλ᾽, ὡς ἐπέτελλον Ὀλύμπια δώματ᾽ ἔχουσαι.*
*τῇ δ᾽ ἄρα θυμὸν ἔπειθεν ἐνὶ στήθεσσι φίλοισι·*
*βὰν δὲ ποσὶ τρήρωσι πελειάσιν ἴθμαθ᾽ ὁμοῖαι.*
*εὖτ᾽ ἐπὶ Δήλου ἔβαινε μογοστόκος Εἰλείθυια,*
*δὴ τότε τὴν τόκος εἷλε, μενοίνησεν δὲ τεκέσθαι.*
*ἀμφὶ δὲ φοίνικι βάλε πήχεε, γοῦνα δ᾽ ἔρεισε*
*λειμῶνι μαλακῷ· μείδησε δὲ γαῖ᾽ ὑπένερθεν·*

---

*ἧστο γὰρ ἐν μεγάροισι Διος νεφεληγερέταο.* 96

*ἐκ δ' ἔθορε πρὸ φόωσδε· θεαὶ δ' ὀλόλυξαν ἅπασαι.*
*Ἔνθα σέ, ἤιε Φοῖβε, θεαὶ λόον ὕδατι καλῷ*
*ἁγνῶς καὶ καθαρῶς, σπάρξαν δ' ἐν φάρεϊ λευκῷ,*
*λεπτῷ, νηγατέῳ· περὶ δὲ χρύσεον στρόφον ἧκαν.*
*οὐδ' ἄρ' Ἀπόλλωνα χρυσάορα θήσατο μήτηρ,*
*ἀλλὰ Θέμις νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν*
*ἀθανάτοις χείλεσσιν ἐπήρξατο· χαῖρε δὲ Λητὼ,*
*οὕνεκα τοξοφόρον καὶ καρτερὸν υἱὸν ἔτικτεν.*
*Αὐτὰρ ἐπειδὴ, Φοῖβε, κατέβρως ἄμβροτον εἶδαρ,*
*οὔ σέ γ' ἔπειτ' ἴσχον χρύσεοι στρόφοι ἀσπαίροντα,*
*οὐδ' ἔτι δεσμά σ' ἔρυκε, λύοντο δὲ πείρατα πάντα.*
*αὐτίκα δ' ἀθανάτῃσι μετηύδα Φοῖβος Ἀπόλλων·*
*Εἴη μοι κίθαρίς τε φίλη καὶ καμπύλα τόξα,*
*χρήσω δ' ἀνθρώποισι Διὸς νημερτέα βουλήν.*
*Ὣς εἰπὼν ἐβίβασκεν ἐπὶ χθονὸς εὐρυοδείης*
*Φοῖβος ἀκερσεκόμης, ἑκατηβόλος· αἱ δ' ἄρα πᾶσαι*
*θάμβεον ἀθάναται· χρυσῷ δ' ἄρα Δῆλος ἅπασα*
*ἤνθησ', ὡς ὅτε τι ῥίον οὔρεος ἄνθεσιν ὕλης.*
*Αὐτὸς δ', ἀργυρότοξε ἄναξ, ἑκατηβόλ' Ἄπολλον,*
*ἄλλοτε μέν τ' ἐπὶ Κύνθου ἐβήσαο παιπαλόεντος,*
*ἄλλοτε δ' αὖ νήσους τε καὶ ἀνέρας ἠλάσκαζες.*
*πολλοί τοι νηοί τε καὶ ἄλσεα δενδρήεντα·*
*πᾶσαι δὲ σκοπιαί τε φίλαι καὶ πρώονες ἄκροι*
*ὑψηλῶν ὀρέων, ποταμοί θ' ἅλαδε προρέοντες·*
*ἀλλὰ σὺ Δήλῳ, Φοῖβε, μάλιστ' ἐπιτέρπεαι ἦτορ,*
*ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται*
*αὐτοῖς σὺν παίδεσσι καὶ αἰδοίῃς ἀλόχοισιν.*
*οἱ δέ σε πυγμαχίῃ τε καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ*
*μνησάμενοι τέρπουσιν, ὅταν στήσωνται ἀγῶνα.*

---

*βεβρίθει, καθορῶσα Διὸς Λητοῦς τε γενέθλην,*
*γηθοσύνῃ, ὅτι μιν θεὸς εἵλετο οἰκία θέσθαι*
*νήσων ἠπείρου τε, φίλησε δὲ κηρόθι μᾶλλον.*

*φαίη κ' ἀθανάτους καὶ ἀγήρως ἔμμεναι αἰεί,*
*ὃς τότ' ἐπαντιάσει', ὅτ' Ἰάονες ἀθρόοι εἶεν·*
*πάντων γάρ κεν ἴδοιτο χάριν, τέρψαιτο δὲ θυμὸν*
*ἄνδρας τ' εἰσορόων καλλιζώνους τε γυναῖκας,*
*νῆάς τ' ὠκείας ἠδ' αὐτῶν κτήματα πολλά.*
*πρὸς δὲ, τόδε μέγα θαῦμα, ὅου κλέος οὔποτ' ὀλεῖται,*
*κοῦραι Δηλιάδες, Ἑκατηβελέταο θεράπναι·*
*αἵτ' ἐπεὶ ἂρ πρῶτον μὲν Ἀπόλλων' ὑμνήσωσιν,*
*αὖτις δ' αὖ Λητώ τε καὶ Ἄρτεμιν ἰοχέαιραν*
*μνησάμεναι ἀνδρῶν τε παλαιῶν ἠδὲ γυναικῶν*
*ὕμνον ἀείδουσιν, θέλγουσι δὲ φῦλ' ἀνθρώπων.*
*πάντων δ' ἀνθρώπων φωνὰς καὶ κρεμβαλιαστὺν*
*μιμεῖσθ' ἴσασιν· φαίη δέ κεν αὐτὸς ἕκαστος*
*φθέγγεσθ'· οὕτω σφιν καλὴ συνάρηρεν ἀοιδή.*
*Ἀλλ' ἄγεθ' ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξὺν,*
*χαίρετε δ' ὑμεῖς πᾶσαι· ἐμεῖο δὲ καὶ μετόπισθε*
*μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων*
*ἐνθάδ' ἀνείρηται ξεῖνος ταλαπείριος ἐλθών·*
*ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν*
*ἐνθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα;*
*ὑμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθ' εὐφήμως·*
*τυφλὸς ἀνὴρ, οἰκεῖ δὲ Χίῳ ἔνι παιπαλοέσσῃ,*
*τοῦ πεο καὶ μετόπισθεν ἀριστεύσουσιν ἀοιδαί.*
*ἡμεῖς δ' ὑμέτερον κλέος οἴσομεν, ὅσσον ἐπ' αἶαν*
*ἀνθρώπων στρεφόμεσθα πόλεις εὖ ναιεταώσας·*
*οἱ δ' ἐπὶ δὴ πείσονται, ἐπεὶ καὶ ἐτήτυμόν ἐστιν.*
*αὐτὰρ ἐγὼν οὐ λήξω ἑκηβόλον Ἀπόλλωνα*
*ὑμνέων ἀργυρότοξον, ὃν ἠΰκομος τέκε Λητώ.*

## II.

## ΕΙΣ ΑΠΟΛΛΩΝΑ ΠΥΘΙΟΝ.

[Ὦ ἄνα, καὶ Λυκίην καὶ Μῃονίην ἐρατεινὴν
καὶ Μίλητον ἔχεις, ἔναλον πόλιν ἱμερόεσσαν,
αὐτὸς δ' αὖ Δήλοιο περικλύστης μέγ' ἀνάσσεις.]

* * *

εἶσι δὲ φορμίζων Λητοῦς ἐρικυδέος υἱὸς
φόρμιγγι γλαφυρῇ πρὸς Πυθὼ πετρήεσσαν,
ἄμβροτα εἵματ' ἔχων τεθυωμένα· τοῖο δὲ φόρμιγξ
χρυσέου ὑπὸ πλήκτρου καναχὴν ἔχει ἱμερόεσσαν.
ἔνθεν δὲ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς, ὥστε νόημα,
εἶσι Διὸς πρὸς δῶμα θεῶν μεθ' ὁμήγυριν ἄλλων.
αὐτίκα δ' ἀθανάτοισι μέλει κίθαρις καὶ ἀοιδή·
Μοῦσαι μέν θ' ἅμα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῇ
ὑμνεῦσίν ῥα θεῶν δῶρ' ἄμβροτα ἠδ' ἀνθρώπων
τλημοσύνας, ὅσ' ἔχοντες ὑπ' ἀθανάτοισι θεοῖσι
ζώουσ' ἀφραδέες καὶ ἀμήχανοι, οὐδὲ δύνανται
εὑρέμεναι θανάτοιό τ' ἄκος καὶ γήραος ἄλκαρ·
αὐτὰρ ἐϋπλόκαμοι Χάριτες καὶ ἐΰφρονες Ὧραι
Ἁρμονίη θ' Ἥβη τε Διὸς θυγάτηρ τ' Ἀφροδίτη
ὀρχεῦντ' ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχουσαι·
τῇσι μὲν οὔτ' αἰσχρὴ μεταμέλπεται οὔτ' ἐλάχεια,
ἀλλὰ μάλα μεγάλη τε ἰδεῖν καὶ εἶδος ἀγητὴ,
Ἄρτεμις ἰοχέαιρα ὁμότροφος Ἀπόλλωνι.
ἐν δ' αὖ τῇσιν Ἄρης καὶ ἐΰσκοπος Ἀργειφόντης
παίζουσ'· αὐτὰρ ὁ Φοῖβος Ἀπόλλων ἐγκιθαρίζει,
καλὰ καὶ ὕψι βιβάς· αἴγλη δέ μιν ἀμφιφαείνει
μαρμαρυγῆς τε ποδῶν καὶ ἐϋκλώστοιο χιτῶνος.
οἱ δ' ἐπιτέρπονται θυμὸν μέγαν εἰσορόωντες,
Λητώ τε χρυσοπλόκαμος καὶ μητίετα Ζεὺς,
υἷα φίλον παίζοντα μετ' ἀθανάτοισι θεοῖσι.

*Πῶς τ' ἄρ σ' ὑμνήσω πάντως εὔυμνον ἐόντα;*
*ἠέ σ' ἐνὶ μνηστῆρσιν ἀείδω καὶ φιλότητι,*
*ὅππως μνωόμενος ἔκιες Ἀζανίδα κούρην,*
*Ἴσχυ' ἅμ' ἀντιθέῳ, Ἐλατιονίδῃ εὐΐππῳ;*
*ἢ ὡς Φόρβαντα Τριόπεω γένος, ἢ Ἀμάρυνθον;*
*ἢ ἅμα Λευκίππῳ καὶ Λευκίπποιο δάμαρτι*
* * *
*πεζὸς, ὁ δ' ἵπποισιν; οὐ μὴν*
* * *
*ἢ ὡς τὸ πρῶτον χρηστήριον ἀνθρώποισι*
*ζητεύων κατὰ γαῖαν ἔβης, ἑκατηβόλ' Ἄπολλον;*
*Πιερίην μὲν πρῶτον ἀπ' Οὐλύμποιο κατῆλθες·*
*Λάκμον τ' Ἠμαθίην τε παρέστιχες ἠδ' Ἐνιῆνας,*
*καὶ διὰ Περραιβούς· τάχα δ' εἰς Ἰαωλκὸν ἵκανες,*
*Κηναίου τ' ἐπέβης ναυσικλειτῆς Εὐβοίης.*
*στῆς δ' ἐπὶ Ληλάντῳ πεδίῳ· τό τοι οὐχ ἅδε θυμῷ*
*τεύξασθαι νηόν τε καὶ ἄλσεα δενδρήεντα.*
*ἔνθεν δ' Εὔριπον διαβὰς, ἑκατηβόλ' Ἄπολλον,*
*βῆς ἂν' ὄρος ζάθεον χλωρόν· τάχα δ' ἶξες ἀπ' αὐτοῦ*
*ἐς Μυκαλησσὸν ἰὼν καὶ Τευμησσὸν λεχεποίην.*
*Θήβης δ' εἰσαφίκανες ἕδος καταειμένον ὕλῃ·*
*οὐ γάρ τώ τις ἔναιε βροτῶν ἱερῇ ἐνὶ Θήβῃ,*
*οὐδ' ἄρα πω τότε γ' ἦσαν ἀταρπιτοὶ οὐδὲ κέλευθοι*
*Θήβης ἂμ πεδίον πυρηφόρον, ἀλλ' ἔχεν ὕλη.*
*ἔνθεν δὲ προτέρω ἔκιες, ἑκατηβόλ' Ἄπολλον,*
*Ὀγχηστον δ' ἶξες, Ποσιδήϊον ἀγλαὸν ἄλσος·*
*ἔνθα νεοδμὴς πῶλος ἀναπνέει ἀχθόμενός περ*
*ἕλκων ἅρματα καλά· χαμαὶ δ' ἐλατὴρ ἀγαθός περ*
*ἐκ δίφροιο θορὼν ὁδὸν ἔρχεται· οἱ δὲ τέως μὲν*
*κείν' ὄχεα κροτέουσιν ἀνακτορίην ἀφιέντες.*
*εἰ δέ κεν ἅρματ' ἄγωσιν ἐν ἄλσεϊ δενδρήεντι,*
*ἵππους μὲν κομέουσι, τὰ δὲ κλίναντες ἐῶσιν·*

ὣς γὰρ τὰ πρώτισθ' ὁσίη γένεθ'· οἱ δὲ ἄνακτι
εὔχονται, δίφρον δὲ θεοῦ τότε μοῖρα φυλάσσει.
[ἔνθεν δὲ προτέρω ἔκιες, ἑκατηβόλ' Ἄπολλον·
Κηφισσὸν δ' ἄρ' ἔπειτα κιχήσαο καλλιρέεθρον,
ὅστε Λιλαίηθεν προχέει καλλίρροον ὕδωρ.
τὸν διαβὰς, Ἑκάεργε, καὶ Ὠκαλέην πολύπυργον]
ἔνθεν ἄρ' εἰς Ἁλίαρτον ἀφίκεο ποιήεντα.
βῆς δ' ἐπὶ Τελφούσης· τόθι τοι ἅδε χῶρος ἀπήμων
τεύξασθαι νηόν τε καὶ ἄλσεα δενδρήεντα·
στῆς δὲ μάλ' ἄγχ' αὐτῆς καί μιν πρὸς μῦθον ἔειπες·
Τελφοῦσ', ἐνθάδε δὴ φρονέω περικαλλέα νηὸν
ἀνθρώπων τεῦξαι χρηστήριον, οἵτε μοι αἰεὶ
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας,
ἠμὲν ὅσοι Πελοπόννησον πίειραν ἔχουσιν,
ἠδ' ὅσοι Εὐρώπην τε καὶ ἀμφιρύτας κατὰ νήσους,
χρησόμενοι· τοῖσιν δέ τ' ἐγὼ νημερτέα βουλὴν
πᾶσι θεμιστεύοιμι χρέων ἐνὶ πίονι νηῷ.
Ὣς εἰπὼν διέθηκε θεμείλια Φοῖβος Ἀπόλλων
εὐρέα καὶ μάλα μακρὰ διηνεκές· ἡ δ' ἐσιδοῦσα
Τελφοῦσα κραδίην ἐχολώσατο εἶπέ τε μῦθον·
Φοῖβε ἄναξ ἑκάεργε, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
ἐνθάδ' ἐπεὶ φρονέεις τεῦξαι περικαλλέα νηὸν,
ἔμμεναι ἀνθρώποις χρηστήριον, οἵτε τοι αἰεὶ
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας —
ἀλλ' ἔκ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι,
πημανέει σ' αἰεὶ κτύπος ἵππων ὠκειάων,
ἀρδόμενοί τ' οὐρῆες ἐμῶν ἱερῶν ἀπὸ πηγέων·
ἔνθά τις ἀνθρώπων βουλήσεται εἰσοράασθαι
ἅρματά τ' εὐποίητα καὶ ὠκυπόδων κτύπον ἵππων,
ἢ νηόν τε μέγαν καὶ κτήματα πόλλ' ἐνεόντα.
ἀλλ' εἰ δή τι πίθοιο, σὺ δὲ κρείσσων καὶ ἀρείων
ἐσσὶ, ἄναξ, ἐμέθεν, σεῦ δὲ σθένος ἐστὶ μέγιστον,

ἐν Κρίσσῃ ποίησαι ὑπὸ πτυχὶ Παρνησοῖο.
ἔνθ' οὔθ' ἅρματα καλὰ δονήσεται, οὔτε τοι ἵππων
ὠκυπόδων κτύπος ἔσται ἐΰδμητον περὶ βωμόν.
ἀλλ' ἀκέων προσάγοιεν Ἰηπαιήονι δῶρα
ἀνθρώπων κλυτὰ φῦλα· σὺ δὲ φρένας ἀμφιγεγηθὼς
δέξαι' ἱερὰ καλὰ περικτιόνων ἀνθρώπων.
Ὣς εἰποῦσ' Ἑκάτου πέπιθε φρένας, ὄφρα οἱ αὐτῇ
Τελφούσῃ κλέος εἴη ἐπὶ χθονί, μηδ' Ἑκάτοιο.
ἔνθεν δὲ προτέρω ἔκιες, ἑκατηβόλ' Ἄπολλον·
ἷξες δ' ἐς Φλεγύων ἀνδρῶν πόλιν ὑβριστάων,
οἳ Διὸς οὐκ ἀλέγοντες ἐπὶ χθονὶ ναιετάασκον
ἐν καλῇ βήσσῃ Κηφισίδος ἐγγύθι λίμνης.
ἔνθεν καρπαλίμως προσέβης πρὸς δειράδα θείων·
ἵκεο δ' ἐς Κρίσην ὑπὸ Παρνησὸν νιφόεντα,
κνημὸν πρὸς Ζέφυρον τετραμμένον, αὐτὰρ ὕπερθεν
πέτρη ἐπικρέμαται, κοίλη δ' ὑποδέδρομε βῆσσα,
τρηχεῖ'· ἔνθα ἄναξ τεκμήρατο Φοῖβος Ἀπόλλων
νηὸν ποιήσασθαι ἐπήρατον εἶπέ τε μῦθον·
Ἐνθάδε δὴ φρονέω τεύξειν περικαλλέα νηὸν,
ἔμμεναι ἀνθρώποις χρηστήριον, οἵτέ μοι αἰεὶ
ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας,
ἠμὲν ὅσοι Πελοπόννησον πίειραν ἔχουσιν,
ἠδ' ὅσοι Εὐρώπην τε καὶ ἀμφιρύτας κατὰ νήσους,
χρησόμενοι· τοῖσιν δ' ἄρ' ἐγὼ νημερτέα βουλὴν
πᾶσι θεμιστεύοιμι χρέων ἐνὶ πίονι νηῷ.
Ὣς εἰπὼν διέθηκε θεμείλια Φοῖβος Ἀπόλλων
εὐρέα καὶ μάλα μακρὰ διηνεκές· αὐτὰρ ἐπ' αὐτοῖς
λάϊνον οὐδὸν ἔθηκε Τροφώνιος ἠδ' Ἀγαμήδης,
υἱέες Ἐργίνου, φίλοι ἀθανάτοισι θεοῖσιν·
ἀμφὶ δὲ νηὸν ἔνασσαν ἀθέσφατα φῦλ' ἀνθρώπων
ξεστοῖσιν λάεσσιν, ἀοίδιμον ἔμμεναι αἰεί.
ἀγχοῦ δὲ κρήνη καλλίρροος, ἔνθα δράκαιναν

κτεῖνεν ἄναξ, Διὸς υἱὸς, ἀπὸ κρατεροῖο βιοῖο,
ζατρεφέα, μεγάλην, τέρας ἄγριον, ἣ κακὰ πολλὰ
ἀνθρώπους ἔρδεσκεν ἐπὶ χθονὶ, πολλὰ μὲν αὐτοὺς,
πολλὰ δὲ μῆλα ταναύποδ', ἐπεὶ πέλε πῆμα δαφοινόν.
[καί ποτε δεξαμένη χρυσοθρόνου ἔτρεφεν Ἥρης
δεινόν τ' ἀργαλέον τε Τυφάονα, πῆμα βροτοῖσιν·
ὅν ποτ' ἄρ' Ἥρη ἔτικτε χολωσαμένη Διῒ πατρὶ,
εὖτ' ἄρα δὴ Κρονίδης ἐρικυδέα γείνατ' Ἀθήνην
ἐκ κορυφῆς· ἡ δ' αἶψα χολώσατο πότνια Ἥρη,
ἠδὲ καὶ ἀγρομένοισι μετ' ἀθανάτοισιν ἔειπε·
Κέκλυτέ μευ, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι,
ὡς ἔμ' ἀτιμάζειν ἄρχει νεφεληγερέτα Ζεὺς
πρῶτος, ἐπεί μ' ἄλοχον ποιήσατο κέδν' εἰδυῖαν·
καὶ νῦν νόσφιν ἐμεῖο τέκε γλαυκῶπιν Ἀθήνην,
ἣ πᾶσιν μακάρεσσι μεταπρέπει ἀθανάτοισιν·
αὐτὰρ ὅγ' ἠπεδανὸς γέγονεν μετὰ πᾶσι θεοῖσι
παῖς ἐμὸς Ἥφαιστος, ῥικνὸς πόδας, ὃν τέκον αὐτή·
* * *
ῥίψ' ἀνὰ χερσὶν ἑλοῦσα καὶ ἔμβαλον εὐρέϊ πόντῳ·
ἀλλά ἑ Νηρῆος θυγάτηρ Θέτις ἀργυρόπεζα
δέξατο καὶ μετὰ ᾖσι κασιγνήτῃσι κόμισσεν.
ὡς ὄφελ' ἄλλο θεοῖσι χαρίζεσθαι μακάρεσσι.
σχέτλιε, ποικιλομῆτα, τί νῦν ἔτι μήσεαι ἄλλο;
πῶς ἔτλης οἶος τεκέειν γλαυκῶπιδ' Ἀθήνην;
οὐκ ἂν ἐγὼ τεκόμην; καὶ σὴ κεκλημένη ἔμπης
ἦν ἄρ' ἐν ἀθανάτοισιν, οἳ οὐρανὸν εὐρὺν ἔχουσι.
φράζεο νῦν, μή τοί τι κακὸν μητίσομ' ὀπίσσω. 147 b.
καὶ νῦν μέντοι ἐγὼ τεχνήσομαι, ὥς κε γένηται
παῖς ἐμοὶ, ὅς κε θεοῖσι μεταπρέποι ἀθανάτοισιν,
οὔτε σὸν αἰσχύνασ' ἱερὸν λέχος οὔτ' ἐμὸν αὐτῆς.
οὐδέ τοι εἰς εὐνὴν πωλήσομαι, ἀλλ' ἀπὸ σεῖο
τηλόθεν οὖσα θεοῖσι μετέσσομαι ἀθανάτοισιν.

*Ὣς εἰποῦσ' ἀπονόσφι θεῶν κίε χωομένη κῆρ.
αὐτίκ' ἔπειτ' ἠρᾶτο βοῶπις πότνια Ἥρη,
χειρὶ καταπρηνεῖ δ' ἔλασε χθόνα καὶ φάτο μῦθον·
Κέκλυτε νῦν μοι, Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Τιτῆνές τε θεοί, τοὶ ὑπὸ χθονὶ ναιετάοντες
Τάρταρον ἀμφὶ μέγαν, τῶν ἒξ ἄνδρες τε θεοί τε·
αὐτὰρ νῦν μευ πάντες ἀκούσατε καὶ δότε παῖδα
νόσφι Διός, μηδέν τι βίην ἐπιδευέα κείνου·
ἀλλ' ὅγε φέρτερος εἴη, ὅσον Κρόνου εὐρύοπα Ζεύς.
Ὣς ἄρα φωνήσασ' ἵμασε χθόνα χειρὶ παχείῃ·
κινήθη δ' ἄρα Γαῖα φερέσβιος· ἡ δ' ἐσιδοῦσα
τέρπετο ὃν κατὰ θυμόν· ὀΐετο γὰρ τελέεσθαι.
ἐκ τούτου δὴ ἔπειτα τελεσφόρον εἰς ἐνιαυτὸν
οὔτε πότ' εἰς εὐνὴν Διὸς ἤλυθε μητιόεντος,
οὔτε πότ' εἰς θῶκον πολυδαίδαλον, ὡς τὸ πάρος περ,
[αὐτῷ ἐφεζομένη πυκινὰς φραζέσκετο βουλάς·]
ἀλλ' ἥγ' ἐν νηοῖσι πολυλλίστοισι μένουσα
τέρπετο οἷς ἱεροῖσι βοῶπις πότνια Ἥρη.
ἀλλ' ὅτε δὴ νύκτες τε καὶ ἡμέραι ἐξετελεῦντο
ἂψ περιτελλομένου ἔτεος καὶ ἐπήλυθον ὧραι,
ἡ δ' ἔτεκ' οὔτε θεοῖς ἐναλίγκιον οὔτε βροτοῖσι,
δεινόν τ' ἀργαλέον τε Τυφάονα, πῆμα βροτοῖσιν.
αὐτίκα τόνδε λαβοῦσα βοῶπις πότνια Ἥρη
δῶκεν ἔπειτα φέρουσα κακῷ κακόν· ἡ δ' ὑπέδεκτο.
[ἣ κακὰ πόλλ' ἔρδεσκε κατὰ κλυτὰ φῦλ' ἀνθρώπων·]
ὃς τῇγ' ἀντιάσειε, φέρεσκέ μιν αἴσιμον ἦμαρ,
πρίν γέ οἱ ἰὸν ἐφῆκεν ἄναξ ἑκάεργος Ἀπόλλων
καρτερόν· ἡ δ' ὀδύνῃσιν ἐρεχθομένη χαλεπῇσι,
κεῖτο μέγ' ἀσθμαίνουσα κυλινδομένη κατὰ χῶρον.
θεσπεσίη δ' ἐνοπὴ γένετ' ἄσπετος· ἡ δὲ καθ' ὕλην
πυκνὰ μάλ' ἔνθα καὶ ἔνθα ἑλίσσετο, λεῖπε δὲ θυμὸν
φοινὸν ἀποπνείουσ'· ὁ δ' ἐπηύξατο Φοῖβος Ἀπόλλων·*

*Ἐνταυθοῖ νῦν πύθευ ἐπὶ χθονὶ βωτιανείρῃ·*
*οὐδὲ σύγε ζώουσα κακὸν δήλημα βροτοῖσιν*
*ἔσσεαι, οἳ γαίης πολυφόρβου καρπὸν ἔδοντες*
*ἐνθάδ' ἀγινήσουσι τεληέσσας ἑκατόμβας·*
*οὐδέ τί τοι θάνατόν γε δυσηλεγέ' οὔτε Τυφωεὺς*
*ἀρκέσει οὔτε Χίμαιρα δυσώνυμος, ἀλλὰ σέ γ' αὐτοῦ*
*πύσει Γαῖα μέλαινα καὶ ἠλέκτωρ Ὑπερίων.*
*Ὣς φάτ' ἐπευχόμενος· τὴν δὲ σκότος ὄσσε κάλυψε.*
*τὴν δ' αὐτοῦ κατέπυσ' ἱερὸν μένος Ἠελίοιο,*
*ἐξ οὗ νῦν Πυθὼ κικλήσκεται· οἱ δὲ ἄνακτα*
*Πύθιον καλέουσιν ἐπώνυμον, οὕνεκα κεῖθι*
*αὐτοῦ πῦσε πέλωρ μένος ὀξέος Ἠελίοιο.*
*Καὶ τότ' ἄρ' ἔγνω ᾗσιν ἐπὶ φρεσὶ Φοῖβος Ἀπόλλων,*
*οὕνεκά μιν κρήνη καλλίρροος ἐξαπάφησε·*
*βῆ δ' ἐπὶ Τελφούσῃ κεχολωμένος, αἶψα δ' ἵκανε·*
*στῆ δὲ μάλ' ἄγχ' αὐτῆς καί μιν πρὸς μῦθον ἔειπε·*
*Τελφοῦσ', οὐκ ἄρ' ἔμελλες ἐμὸν νόον ἐξαπαφοῦσα*
*χῶρον ἔχουσ' ἐρατὸν προρέειν καλλίρροον ὕδωρ.*
*ἐνθάδε δὴ καὶ ἐμὸν κλέος ἔσσεται, οὐδὲ σὸν οἴης.*
*Ἦ καὶ ἐπὶ ῥίον ὦσεν ἄναξ ἑκάεργος Ἀπόλλων*
*πετραίῃς προχοῇσιν, ἀπέκρυψεν δὲ ῥέεθρα,*
*καὶ βωμὸν ποιήσατ' ἐν ἄλσεϊ δενδρήεντι,*
*ἄγχι μάλα κρήνης καλλιρρόου· ἔνθα δ' ἄνακτι*
*πάντες ἐπίκλησιν Τελφουσίῳ εὐχετόωνται,*
*οὕνεκα Τελφούσης ἱερῆς ᾔσχυνε ῥέεθρα.*
*Καὶ τότε δὴ κατὰ θυμὸν ἐφράζετο Φοῖβος Ἀπόλλων,*
*οὕστινας ἀνθρώπους ὀργίονας εἰσαγάγοιτο,*
*οἳ θεραπεύσονται Πυθοῖ ἔνι πετρηέσσῃ*
*ἱερά τε ῥέξουσι καὶ ἀγγελέουσι θέμιστας*
*Φοίβου Ἀπόλλωνος χρυσαόρου, ὅττι κεν εἴπῃ*
*χρείων ἐκ δάφνης γυάλων ὕπο Παρνησοῖο.*
*ταῦτ' ἄρα ὁρμαίνων ἐνόησ' ἐπὶ οἴνοπι πόντῳ*

*νῆα θοήν· ἐν δ' ἄνδρες ἔσαν πολέες τε καὶ ἐσθλοί.*
*Κρῆτες ἀπὸ Κνωσοῦ Μινωίου, οἵ ῥα τ' ἄνακτι*
* * *

*οἱ μὲν ἐπὶ πρῆξιν καὶ χρήματα νηὶ μελαίνῃ*
*ἐς Πύλον ἠμαθόεντα Πυληγενέας τ' ἀνθρώπους*
*ἔπλεον· αὐτὰρ ὁ τοῖσι συνήντετο Φοῖβος Ἀπόλλων·*
*ἐν πόντῳ δ' ἐπόρουσε δέμας δελφῖνι ἐοικὼς*
*νηὶ θοῇ, καὶ κεῖτο πέλωρ μέγα τε δεινόν τε·*
*τῶν δ' οὔτις κατὰ θυμὸν ἐπεφράσατ' οὐδ' ἐνόησε·*
* * *

*πάντοθ' ἀνασσείασκε, τίνασσε δὲ νήια δοῦρα.*
*οἱ δ' ἀκέων ἐνὶ νηὶ καθείατο δειμαίνοντες·*
*οὐδ' οἵ γ' ὅπλ' ἔλυον κοίλην ἀνὰ νῆα μέλαιναν,*
*οὐδ' ἔλκον λαῖφος νηὸς κυανοπρώροιο,*
*ἀλλ' ὡς τὰ πρώτιστα κατεστήσαντο βοεῦσιν,*
*ὣς ἔπλεον· κραιπνὸς δὲ Νότος κατόπισθεν ἔπειγε*
*νῆα θοήν· πρῶτον δὲ παρημείβοντο Μάλειαν,*
*πὰρ δὲ Λακωνίδα γαῖαν Ἕλός τ', ἔφαλον πτολίεθρον,*
*ἷξον καὶ χῶρον τερψιμβρότου Ἠελίοιο,*
*Ταίναρον, ἔνθα τε μῆλα βαθύτριχα βόσκεται αἰεὶ*
*Ἠελίοιο ἄνακτος, ἔχει δ' ἐπιτερπέα χῶρον.*
*οἱ μὲν ἄρ' ἔνθ' ἔθελον νῆα σχεῖν ἠδ' ἀποβάντες*
*φράσσασθαι μέγα θαῦμα καὶ ὀφθαλμοῖσιν ἰδέσθαι,*
*εἰ μενέει νηὸς γλαφυρῆς δαπέδοισι πέλωρον,*
*ἢ εἰς οἶδμ' ἅλιον πολυΐχθυον αὖθις ὀρούσει.*
*ἀλλ' οὐ πηδαλίοισιν ἐπείθετο νηῦς εὐεργής,*
*ἀλλὰ παρὲκ Πελοπόννησον πίειραν ἔχουσα*
*ἤι' ὁδόν· πνοιῇ δὲ ἄναξ ἑκάεργος Ἀπόλλων*
*ῥηιδίως ἴθυν'· ἡ δὲ πρήσσουσα κέλευθον*
*Ἀρήνην ἵκανε καὶ Ἀργυφέην ἐρατεινὴν,*
*καὶ Θρύον, Ἀλφειοῖο πόρον, καὶ ἐΰκτιτον Αἶπυ*
*καὶ Πύλον ἠμαθόεντα Πυληγενέας τ' ἀνθρώπους.*

*βῆ δὲ παρὰ Κρουνοὺς καὶ Χαλκίδα καὶ παρὰ Δύμην,*
*ἠδὲ παρ' Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί.*
*εὖτε Φερὰς ἐπέβαλλεν, ἀγαλλομένη Διὸς οὔρῳ,*
*καί σφιν ὑπὲκ νεφέων Ἰθάκης τ' ὄρος αἰπὺ πέφαντο,*
*Δουλίχιόν τε Σάμη τε καὶ ὑλήεσσα Ζάκυνθος.*
*ἀλλ' ὅτε δὴ Πελοπόννησον παρενίσσετο πᾶσαν,*
*καὶ δὴ ἐπὶ Κρίσης τάχ' ἐφαίνετο κόλπος ἀπείρων,*
*ὅστε διὲκ Πελοπόννησον πίειραν ἐέργει·*
*ἦλθ' ἄνεμος Ζέφυρος μέγας, αἴθριος, ἐκ Διὸς αἴσης,*
*λάβρος ἐπαιγίζων ἐξ αἰθέρος, ὄφρα τάχιστα*
*νηῦς ἀνύσειε θέουσα θαλάσσης ἁλμυρὸν ὕδωρ*
*ἄψορροι δὴ ἔπειτα πρὸς ἠῶ τ' ἠέλιόν τε*
*ἔπλεον· ἡγεμόνευε δ' ἄναξ Διὸς υἱὸς Ἀπόλλων·*
*ἷξον δ' ἐς Κρίσην εὐδείελον, ἀμπελόεσσαν,*
*ἐς λιμέν'· ἡ δ' ἀμάθοισιν ἐχρίμψατο ποντοπόρος νηῦς.*
*ἔνθ' ἐκ νηὸς ὄρουσεν ἄναξ ἑκάεργος Ἀπόλλων,*
*ἀστέρι εἰδόμενος μέσῳ ἤματι· τοῦ δ' ἀπὸ πολλαὶ*
*σπινθαρίδες πωτῶντο, σέλας δ' εἰς οὐρανὸν ἷκεν·*
*ἐς δ' ἄδυτον κατέδυσε διὰ τριπόδων ἐριτίμων.*
*ἔνθ' ἄρ' ὅγε φλόγ' ἔδαιε πιφαυσκόμενος τὰ ἃ κῆλα·*
*πᾶσαν δὲ Κρίσην κάτεχεν σέλας· αἱ δ' ὀλόλυξαν*
*Κρισαίων ἄλοχοι καλλίζωνοί τε θύγατρες*
*Φοίβου ὑπὸ ῥιπῆς· μέγα γὰρ δέος εἷλεν ἕκαστον.*
*ἔνθεν δ' αὖτ' ἐπὶ νῆα νόημ' ὣς ἆλτο πέτεσθαι,*
*ἀνέρι εἰδόμενος αἰζηῷ τε κρατερῷ τε,*
*πρωθήβῃ, χαίτης εἰλυμένος εὐρέας ὤμους·*
*καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·*
*Ὦ ξεῖνοι, τίνες ἐστέ; πόθεν πλεῖθ' ὑγρὰ κέλευθα;*
*ἤ τι κατὰ πρῆξιν, ἦ μαψιδίως ἀλάλησθε,*
*οἷά τε ληϊστῆρες ὑπεὶρ ἅλα, τοί τ' ἀλόωνται*
*ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέροντες;*
*τίφθ' οὕτως ἧσθον τετιηότε, οὐδ' ἐπὶ γαῖαν*

ἐκβῆτ᾽, οὐδὲ καθ᾽ ὅπλα μελαίνης νηὸς ἔθεσθε;
αὕτη μέν γε δίκη πέλει ἀνδρῶν ἀλφηστάων,
ὁππόταν ἐκ πόντοιο ποτὶ χθονὶ νηῒ μελαίνῃ
ἔλθωσιν καμάτῳ ἀδδηκότες, αὐτίκα δέ σφεας
σίτοιο γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ.
Ὣς φάτο καί σφιν θάρσος ἐνὶ στήθεσσιν ἔθηκε.
τὸν καὶ ἀμειβόμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Ξεῖν᾽, ἐπεὶ οὐ μὲν γάρ τι καταθνητοῖσιν ἔοικας,
οὐ δέμας οὐδὲ φυὴν, ἀλλ᾽ ἀθανάτοισι θεοῖσιν,
* * *

οὖλέ τε καὶ μέγα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ εὖ εἰδῶ·
τίς δῆμος; τίς γαῖα; τίνες βροτοὶ ἐγγεγάασιν;
ἄλλῃ γὰρ φρονέοντες ἐπεπλέομεν μέγα λαῖτμα,
εἰς Πύλον ἐκ Κρήτης, ἔνθεν γένος εὐχόμεθ᾽ εἶναι·
νῦν δ᾽ ὧδε ξὺν νηῒ κατήλθομεν οὔτι ἑκόντες,
[νόστου ἱέμενοι, ἄλλην ὁδὸν, ἄλλα κέλευθα·]
ἀλλά τις ἀθανάτων δεῦρ᾽ ἤγαγεν οὐκ ἐθέλοντας.
Τοὺς δ᾽ ἀπαμειβόμενος προσέφη ἑκάεργος Ἀπόλλι
Ξεῖνοι, τοὶ Κνωσσὸν πολυδένδρεον ἀμφινέμεσθε
τὸ πρὶν, ἀτὰρ νῦν οὐκ ἔθ᾽ ὑπότροποι αὖθις ἔσεσθε
ἔς τε πόλιν ἐρατὴν καὶ δώματα καλὰ ἕκαστος,
ἔς τε φίλας ἀλόχους· ἀλλ᾽ ἐνθάδε πίονα νηὸν
ἕξετ᾽ ἐμὸν πολλοῖσι τετιμένοι ἀνθρώποισιν.
εἰμὶ δ᾽ ἐγὼ Διὸς υἱὸς, Ἀπόλλων δ᾽ εὔχομαι εἶναι·
ὑμέας δ᾽ ἤγαγον ἐνθάδ᾽ ὑπὲρ μέγα λαῖτμα θαλάσσης,
οὔτι κακὰ φρονέων, ἀλλ᾽ ἐνθάδε πίονα νηὸν
ἕξετ᾽ ἐμὸν πᾶσιν μάλα τίμιον ἀνθρώποισι,
βουλάς τ᾽ ἀθανάτων εἰδήσετε, τῶν ἰότητι
αἰεὶ τιμήσεσθε διαμπερὲς ἤματα πάντα.
ἀλλ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼ εἴπω, πείθεσθε τάχιστα·
ἱστία μὲν πρῶτον κάθετον λύσαντε βοείας,

*νῆα δ' ἔπειτα μέλαιναν ἐπ' ἠπείρου ἐρύσασθε,*
*ἐκ δὲ κτήμαθ' ἕλεσθε καὶ ἔντεα νηὸς ἐΐσης,*
*καὶ βωμὸν ποιήσατ' ἐπὶ ῥηγμῖνι θαλάσσης·*
*πῦρ δ' ἐπικαίοντες, ἐπί τ' ἄλφιτα λευκὰ θύοντες,*
*εὔχεσθαι δὴ ἔπειτα παριστάμενοι περὶ βωμόν·*
*ὡς μὲν ἐγὼ τὸ πρῶτον ἐν ἠεροειδέϊ πόντῳ*
*εἰδόμενος δελφῖνι θοῆς ἐπὶ νηὸς ὄρουσα,*
*ὥς ἐμοὶ εὔχεσθαι Δελφινίῳ· αὐτὰρ ὁ βωμὸς*
* *αὐτὸς δέλφιος καὶ ἐπόψιος ἔσσεται αἰεί.*
*δειπνῆσαι τ' ἄρ' ἔπειτα θοῇ παρὰ νηῒ μελαίνῃ,*
*καὶ σπεῖσαι μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.*
*αὐτὰρ ἐπὴν σίτοιο μελίφρονος ἐξ ἔρον ἧσθε,*
*ἔρχεσθαί θ' ἅμ' ἐμοὶ καὶ ἰηπαιήον' ἀείδειν,*
*εἰσόκε χῶρον ἵκησθον, ἵν' ἕξετε πίονα νηόν.*
*Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.*
*ἱστία μὲν πρῶτον κάθεσαν, λῦσαν δὲ βοείας,*
*ἱστὸν δ' ἱστοδόκῃ πέλασαν προτόνοισιν ὑφέντες·*
*ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης.*
*ἐκ δ' ἁλὸς ἤπειρόνδε θοὴν ἀνὰ νῆ' ἐρύσαντο*
*ὑψοῦ ἐπὶ ψαμάθοις, ὑπὸ δ' ἕρματα μακρὰ τάνυσσαν·*
*καὶ βωμὸν ποίησαν ἐπὶ ῥηγμῖνι θαλάσσης·*
*πῦρ δ' ἐπικαίοντες ἐπί τ' ἄλφιτα λευκὰ θύοντες*
*εὔχονθ', ὡς ἐκέλευε, παριστάμενοι περὶ βωμόν.*
*δόρπον ἔπειθ' εἵλοντο θοῇ παρὰ νηῒ μελαίνῃ,*
*καὶ σπεῖσαν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.*
*αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,*
*βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρα σφιν ἄναξ Διὸς υἱὸς Ἀπόλλων,*
*φόρμιγγ' ἐν χείρεσσιν ἔχων, ἐρατὸν κιθαρίζων,*
*καλὰ καὶ ὕψι βιβάς· οἱ δὲ ῥήσσοντες ἕποντο*
*Κρῆτες πρὸς Πυθὼ καὶ Ἰηπαιήον' ἄειδον,*
*οἷοί τε Κρητῶν παιήονες, οἷσί τε Μοῦσα*
*ἐν στήθεσσιν ἔθηκε θεὰ μελίγηρυν ἀοιδήν.*

*ἄκμητοι δὲ λόφον προσέβαν ποσὶν, αἶψα δ' ἵκοντο*
*Παρνησὸν καὶ χῶρον ἐπήρατον, ἔνθ' ἄρ' ἔμελλον*
*οἰκήσειν πολλοῖσι τετιμένοι ἀνθρώποισι·*
*δεῖξε δ' ἄγων ἄδυτον ζάθεον καὶ πίονα νηόν.*
*τῶν δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισι·*
*τὸν καὶ ἀνειρόμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·*
*Ὦ ἄν', ἐπειδὴ τῆλε φίλων καὶ πατρίδος αἴης*
*ἤγαγες· οὕτω που τῷ σῷ φίλον ἔπλετο θυμῷ·*
*πῶς καὶ νῦν βιόμεσθα; τό σε φράζεσθαι ἄνωγμεν.*
** οὔτε τρυγηφόρος ἥδε γ' ἐπήρατος οὔτ' εὐλείμων,*
*ὥστ' ἀπό τ' εὖ ζώειν καὶ ἅμ' ἀνθρώποισιν ὀπηδεῖν.*
*Τοὺς δ' ἐπιμειδήσας προσέφη Διὸς υἱὸς Ἀπόλλων·*
*Νήπιοι ἄνθρωποι, δυστλήμονες, οἳ μελεδῶνας*
*βούλεσθ' ἀργαλέους τε πόνους καὶ στείνεα θυμῷ·*
*ῥηΐδιον ἔπος ὔμμ' ἐρέω καὶ ἐπὶ φρεσὶ θήσω.*
*δεξιτερῇ μάλ' ἕκαστος ἔχων ἐν χειρὶ μάχαιραν,*
*σφάζειν αἰεὶ μῆλα· τὰ δ' ἄφθονα πάντα παρέσται,*
*ὅσσα ἐμοί κ' ἀγάγωσι περικλυτὰ φῦλ' ἀνθρώπων·*
*νηὸν δὲ προφύλαχθε, δέδεχθε δὲ φῦλ' ἀνθρώπων,*
*ἐνθάδ' ἀγειρομένων καὶ ἐμὴν ἰθύν τε μάλιστα.*
*εἰ δέ τι τηΰσιον ἔπος ἔσσεται, ἠέ τι ἔργον,*
*ὕβρις θ', ἣ θέμις ἐστὶ καταθνητῶν ἀνθρώπων,*
*ἄλλοι ἔπειθ' ὑμῖν σημάντορες ἄνδρες ἔσονται,*
*τῶν ὑπ' ἀναγκαίῃ δεδμήσεσθ' ἤματα πάντα.*
*εἴρηταί τοι πάντα· σὺ δὲ φρεσὶ σῇσι φύλαξαι.*
*Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς καὶ Λητοῦς υἱέ·*
*αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

# III.

## ΕΙΣ ΕΡΜΗΝ.

*Ἑρμῆν ὕμνει, Μοῦσα, Διὸς καὶ Μαιάδος υἱὸν,
Κυλλήνης μεδέοντα καὶ Ἀρκαδίης πολυμήλου,
ἄγγελον ἀθανάτων ἐριούνιον, ὃν τέκε Μαῖα,
νύμφη ἐϋπλόκαμος, Διὸς ἐν φιλότητι μιγεῖσα,
αἰδοίη· μακάρων δὲ θεῶν ἠλεύαθ' ὅμιλον,
ἄντρον ἔσω ναίουσα παλίσκιον, ἔνθα Κρονίων
νύμφῃ ἐϋπλοκάμῳ μισγέσκετο νυκτὸς ἀμολγῷ,
ὄφρα κατὰ γλυκὺς ὕπνος ἔχοι λευκώλενον Ἥρην,
λήθων ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους.
ἀλλ' ὅτε δὴ μεγάλοιο Διὸς νόος ἐξετελεῖτο,
[τῇ δ' ἤδη δέκατος μεὶς οὐρανῷ ἐστήρικτο,
εἴς τε φόως ἄγαγεν, ἀρίσημά τε ἔργα τέτυκτο·]
καὶ τότ' ἐγείνατο παῖδα πολύτροπον, αἱμυλομήτην,
ληϊστῆρ', ἐλατῆρα βοῶν, ἡγήτορ' ὀνείρων,
νυκτὸς ὀπωπητῆρα, πυληδόκον, ὃς τάχ' ἔμελλεν
ἀμφανέειν κλυτὰ ἔργα μετ' ἀθανάτοισι θεοῖσιν.
[ἠῷος γεγονὼς μέσῳ ἤματι ἐγκιθάριζεν,
ἑσπέριος βοῦς κλέψεν ἑκηβόλου Ἀπόλλωνος,
τετράδι τῇ προτέρῃ, τῇ μιν τέκε πότνια Μαῖα.]
ὃς καὶ, ἐπειδὴ μητρὸς ἀπ' ἀθανάτων θόρε γυίων,
οὐκέτι δηρὸν ἔκειτο μένων ἱερῷ ἐνὶ λίκνῳ,
ἀλλ' ὅγ' ἀναΐξας ζήτει βόας Ἀπόλλωνος,
οὐδὸν ὑπερβαίνων ὑψηρεφέος ἄντροιο.
ἔνθα χέλυν εὑρὼν, ἐκτήσατο μυρίον ὄλβον·
ἥ ῥά οἱ ἀντεβόλησεν ἐπ' αὐλείῃσι θύρῃσι,
βοσκομένη προπάροιθε δόμων ἐριθηλέα ποίην,
σαῦλα ποσὶν βαίνουσα· Διὸς δ' ἐριούνιος υἱὸς
ἀθρήσας ἐγέλασσε, καὶ αὐτίκα μῦθον ἔειπε·*

---

*Ἑρμῆς τοι πρώτιστα χέλυν τεκτήνατ' ἀοιδόν·* 25

Σύμβολον ἤδη μοι μέγ' ὀνήσιμον· οὐκ ὀνοτάζω.
χαῖρε, φυὴν ἐρόεσσα, χοροίτυπε, δαιτὸς ἑταίρη,
ἀσπασίη προφανεῖσα· πόθεν τόδε καλὸν ἄθυρμα,
αἰόλον ὄστρακον, ἐσσὶ, χέλυς ὄρεσι ζώουσα;
ἀλλ' οἴσω σ' εἰς δῶμα λαβών· ὄφελός τι μοι ἔσσῃ,
οὐδ' ἀποτιμήσω· σὺ δέ με πρώτιστον ὀνήσεις.
οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν·
ἦ γὰρ ἐπηλυσίης πολυπήμονος ἔσσεαι ἔχμα
ζώουσ'· ἢν δὲ θάνῃς, τότε κεν μάλα καλὸν ἀείδοις.
Ὣς ἄρ' ἔφη· καὶ χερσὶν ἅμ' ἀμφοτέρῃσιν ἀείρας,
ἂψ εἴσω κίε δῶμα φέρων ἐρατεινὸν ἄθυρμα.
ἔνθ' ἀναπιλήσας γλυφάνῳ πολιοῖο σιδήρου
αἰῶν' ἐξετόρησεν ὀρεσκῴοιο χελώνης.
ὡς δ' ὁπότ' ὠκὺ νόημα διὰ στέρνοιο περήσῃ
ἀνέρος, ὅντε θαμειαὶ ἐπιστρωφῶσι μέριμναι,
αἵ δέ τε δινηθῶσιν ἀπ' ὀφθαλμῶν ἀμαρυγαὶ,
ὣς ἅμ' ἔπος τε καὶ ἔργον ἐμήδετο κύδιμος Ἑρμῆς.
πῆξε δ' ἄρ' ἐν μέτροισι ταμὼν δόνακας καλάμοιο,
πειρήνας διὰ νῶτα λιθορρίνοιο χελώνης.
ἀμφὶ δὲ δέρμα τάνυσσε βοὸς πραπίδεσσιν ἑῇσι,
καὶ πήχεις ἐνέθηκ', ἐπὶ δὲ ζυγὸν ἤραρεν ἀμφοῖν,
ἑπτὰ δὲ συμφώνους οἴων ἐτανύσσατο χορδάς.
αὐτὰρ ἐπειδὴ τεῦξε χεροῖν ἐρατεινὸν ἄθυρμα,
πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος· ἡ δ' ὑπὸ χειρὸς
σμερδαλέον κονάβησε· θεὸς δ' ὑπὸ καλὸν ἄειδεν
ἐξ αὐτοσχεδίης πειρώμενος, ἠΰτε κοῦροι
ἡβηταὶ θαλίῃσι παραιβόλα κερτομέουσιν,
ἀμφὶ Δία Κρονίδην καὶ Μαιάδα καλλιπέδιλον,
ὡς πάρος ὠρίζεσκον ἑταιρείῃ φιλότητι,
* ἥν τ' αὐτοῦ γενεὴν ὀνομακλυτὸν ὀνομάζων·
ἀμφιπόλους τε γέραιρε καὶ ἀγλαὰ δώματα νύμφης,
καὶ τρίποδας κατὰ οἶκον ἐπηετανούς τε λέβητας.

*καὶ τὰ μὲν οὖν ἤειδε, τὰ δὲ φρεσὶν ἄλλα μενοίνα.*
*καὶ τὴν μὲν κατέθηκε φέρων ἱερῷ ἐνὶ λίκνῳ*
*φόρμιγγα γλαφυρήν· ὁ δ' ἄρα κρειῶν ἐρατίζων*
*ἆλτο κατὰ σκοπιὴν εὐώδεος ἐκ μεγάροιο,*
*ὁρμαίνων δόλον αἰπὺν ἐνὶ φρεσὶν, οἷά τε φῶτες*
*φηληταὶ διέπουσι μελαίνης νυκτὸς ἐν ὥρῃ.*
*Ἠέλιος μὲν ἔδυνε κατὰ χθονὸς Ὠκεανόνδε*
*αὐτοῖσίν θ' ἵπποισι καὶ ἅρμασιν· αὐτὰρ ἄρ' Ἑρμῆς*
*Πιερίης ἀφίκανε θέων ὄρεα σκιόεντα,*
*ἔνθα θεῶν μακάρων βόες ἄμβροτοι αὖλιν ἔχεσκον,*
*βοσκόμεναι λειμῶνας ἀκηρασίους, ἐρατεινούς.*
*τῶν τότε Μαιάδος υἱὸς, ἐΰσκοπος Ἀργειφόντης,*
*πεντήκοντ' ἀγέλης ἀπετάμνετο βοῦς ἐριμύκους.*
*πλανοδίας δ' ἤλαυνε διὰ ψαμαθώδεα χῶρον,*
*ἴχνι' ἀποστρέψας· δολίης δ' οὐ λήθετο τέχνης.*
*σάνδαλα δ' εὖτ' ἔρριψεν ἐπὶ ψαμάθοις ἁλίῃσιν,* 79
*ἄφραστ' ἠδ' ἀνόητα διέπλεκε θαυματὰ ἔργα,*
*συμμίσγων μυρίκας καὶ μυρσινοειδέας ὄζους.*
*τῶν τότε συνδήσας νεοθηλέος ἄγκαλον ὕλης,*
*εὐλαβέως ὑπὸ ποσσὶν ἐδήσατο σάνδαλα κοῦφα,*
*αὐτοῖσιν πετάλοισι, [τὰ κύδιμος Ἀργειφόντης*
*ἔσπασε Πιερίηθεν] ὁδοιπορίην ἀλεείνων,*
* *οἷά τ' ἐπειγόμενος δολιχὴν ὁδὸν, αὐτοπρεπὴς ὥς.*
*τὸν δὲ γέρων ἐνόησε δέμων ἀνθοῦσαν ἀλωὴν,*
*ἱέμενον πεδίονδε δι' Ὀγχηστὸν λεχεποίην·*
*τὸν πρότερος προσέφη Μαίης ἐρικυδέος υἱός·*
*Ὦ γέρον, ὅστε φυτὰ σκάπτεις ἐπικαμπύλος ὤμους,*
*ἦ πολυοινήσεις, εὖτ' ἂν τάδε πάντα φέρῃσι.*

* * *

*καί τε ἰδὼν μὴ ἰδὼν εἶναι καὶ κωφὸς ἀκούσας,*

---

*ἀντία ποιήσας ὁπλὰς, τὰς πρόσθεν ὄπισθεν,* 77
*τὰς δ' ὄπιθεν πρόσθεν· κατὰ δ' ἔμπαλιν αὐτὸς ἔβαινε.*

* *καὶ σιγᾶν, ὅτε μή τι καταβλάπτῃ τὸ σὸν αὐτοῦ.*
*Τόσσον φὰς συνέσευε βοῶν ἴφθιμα κάρηνα.*
*πολλὰ δ' ὄρη σκιόεντα καὶ αὐλῶνας κελαδεινοὺς*
*καὶ πεδί' ἀνθεμόεντα διήλασε κύδιμος Ἑρμῆς.*
*ὀρφναίη δ' ἐπίκουρος ἐπαύετο δαιμονίη νὺξ,*
*ἡ πλείων, τάχα δ' ὄρθρος ἐγίγνετο δημιοεργός·*
*τῆμος ἐπ' Ἀλφειὸν ποταμὸν Διὸς ἄλκιμος υἱὸς*
*Φοίβου Ἀπόλλωνος βοῦς ἤλασεν εὐρυμετώπους.*
*ἀκμῆτες δ' ἵκανον ἐπ' αὔλιον ὑψιμέλαθρον,*
*καὶ ληνοὺς προπάροιθεν ἀριπρεπέος λειμῶνος.*
*ἔνθ' ἐπεὶ εὖ βοτάνης ἐπεφόρβει βοῦς ἐριμύκους,*
*καὶ τὰς μὲν συνέλασσεν ἐς αὔλιον * ἀθρόας οὔσας,*
*λωτὸν ἐρεπτομένας ἠδ' ἐρσήεντα κύπειρον·*
*σὺν δ' ἐφόρει ξύλα πολλά, πυρὸς δ' ἐπεμαίετο τέχνην·*
*δάφνης ἀγλαὸν ὄζον ἑλὼν ἐπέλεψε σιδήρῳ*
*ἄρμενον ἐν παλάμῃς· * ἄμπνυτο δὲ θερμὸς ἀϋτμή·*
*πολλὰ δὲ κάγκανα κᾶλα κατουδαίῳ ἐνὶ βόθρῳ*
*οὖλα λαβὼν ἐπέθηκεν ἐπηετανά· λάμπετο δὲ φλὸξ*
*τηλόσε φῦσαν ἱεῖσα πυρὸς μέγα δαιομένοιο.*
*ὄφρα δὲ πῦρ ἀνέκαιε βίη κλυτοῦ Ἡφαίστοιο,*
*τόφρα δ' ἐριβρύχους ἕλικας βοῦς εἷλκε θύραζε*
*δοιὰς ἄγχι πυρός· — δύναμις δέ οἱ ἔπλετο πολλή· —*
*ἀμφοτέρας δ' ἐπὶ νῶτα χαμαὶ βάλε φυσιοώσας·*
* *ἐγκλίνων δ' ἐκύλινδε, δι' αἰῶνάς τε τορήσας*
*ἔργῳ δ' ἔργον ὄπαζε, ταμὼν κρέα πίονα δημῷ·*
*ὦπτα δ' ἀμφ' ὀβελοῖσι πεπαρμένα δουρατέοισι,*
*σάρκας ὁμοῦ καὶ νῶτα γεγάσμια καὶ μέλαν αἷμα*
*ἐργμένον ἐν χολάδεσσι· τὰ δ' αὐτοῦ κεῖτ' ἐπὶ χώρης·*

---

*ἡ δὲ νέον σκοπιὴν προσεβήσατο δῖα Σελήνη,* 99
*Πάλλαντος θυγάτηρ Μεγαμηδείδαο ἄνακτος,* 100

*Ἑρμῆς τοι πρώτιστα πυρήϊα πῦρ τ' ἀνέδωκε* 111

ῥινοὺς δ' ἐξετάνυσσε καταστυφέλῳ ἐπὶ πέτρῃ,
ὡς ἔτι νῦν τὰ μέταξε πολυχρόνιοι πεφύασι,
δηρὸν δὴ μετὰ ταῦτα καὶ ἄκριτον· αὐτὰρ ἔπειτα
Ἑρμῆς χαρμόφρων εἰρύσατο πίονα ἔργα
λείῳ ἐπὶ πλαταμῶνι καὶ ἔσχισε δώδεκα μοίρας
κληροπαλεῖς· τέλεον δὲ γέρας προσέθηκεν ἑκάστῃ.
ἔνθ' ὁσίης κρεάων ἠράσσατο κύδιμος Ἑρμῆς·
ὀδμὴ γάρ μιν ἔτειρε καὶ ἀθάνατόν περ ἐόντα
ἡδεῖ'· ἀλλ' οὐδ' ὧς οἱ ἐπείθετο θυμὸς ἀγήνωρ,
καί τε μάλ' ἱμείροντι, περᾶν ἱερῆς κατὰ δειρῆς.
ἀλλὰ τὰ μὲν κατέθηκεν ἐς αὔλιον ὑψιμέλαθρον,
δημὸν καὶ κρέα πολλά, μετήορα δ' αἶψ' ἀνάειρε,
σῆμα νέης φωρῆς· ἐπὶ δὲ ξύλα κάγκαν' ἀγείρας
οὐλόποδ', οὐλοκάρηνα πυρὸς κατεδάμνατ' ἀϋτμῇ.
αὐτὰρ ἐπεί τοι πάντα κατὰ χρέος ἤνυσε δαίμων,
σάνδαλα μὲν προέηκεν ἐς Ἀλφειὸν βαθυδίνην·
ἀνθρακιὴν δ' ἐμάρανε, κόνιν δ' ἀμάθυνε μέλαιναν.
Κυλλήνης δ' αἶψ' αὖτις ἀφίκετο δῖα κάρηνα 142
ὄρθριος, οὐδέ τίς οἱ δολιχῆς ὁδοῦ ἀντεβόλησεν
οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων,
οὐδὲ κύνες λελάκοντο· Διὸς δ' ἐριούνιος Ἑρμῆς
δοχμωθεὶς μεγάροιο διὰ κλήϊθρον ἔδυνεν,
αὔρῃ ὀπωρινῇ ἐναλίγκιος, ἠΰτ' ὁμίχλη.
[ἰθύσας δ' ἄντρου ἐξίκετο πίονα νηὸν,
ἦκα ποσὶ προβιβῶν· οὐ γὰρ κτύπεν, ὥσπερ ἐπ' οὔδει.]
ἐσσυμένως δ' ἄρα λίκνον ἐπῴχετο κύδιμος Ἑρμῆς·
σπάργανον ἀμφ' ὤμοις εἰλυμένος, ἠΰτε τέκνον
* νήπιον, ἐν παλάμῃσι περ ἰγνύσι λαῖφος ἀθύρων,
κεῖτο, χέλυν ἐρατὴν ἐπ' ἀριστερὰ χειρὸς ἐέργων.
μητέρα δ' οὐκ ἄρ' ἔληθε θεὰν θεὸς, εἰπέ τε μῦθον·

---

παννύχιος· καλὸν δὲ φόως ἐπέλαμπε Σελήνης. 141

* *καὶ σιγᾶν, ὅτε μή τι καταβλάπτῃ τὸ σὸν αὐτοῦ.*
*Τόσσον φὰς συνέσευε βοῶν ἴφθιμα κάρηνα.*
*πολλὰ δ' ὄρη σκιόεντα καὶ αὐλῶνας κελαδεινοὺς* 95
*καὶ πεδί' ἀνθεμόεντα διήλασε κύδιμος Ἑρμῆς.*
*ὀρφναίη δ' ἐπίκουρος ἐπαύετο δαιμονίη νύξ,*
*ἡ πλείων, τάχα δ' ὄρθρος ἐγίγνετο δημιοεργός·*
*τῆμος ἐπ' Ἀλφειὸν ποταμὸν Διὸς ἄλκιμος υἱὸς* 101
*Φοίβου Ἀπόλλωνος βοῦς ἤλασεν εὐρυμετώπους.*
*ἀκμῆτες δ' ἵκανον ἐπ' αὔλιον ὑψιμέλαθρον,*
*καὶ ληνοὺς προπάροιθεν ἀριπρεπέος λειμῶνος.*
*ἔνθ' ἐπεὶ εὖ βοτάνης ἐπεφόρβει βοῦς ἐριμύκους,* 105
*καὶ τὰς μὲν συνέλασσεν ἐς αὔλιον * ἀθρόας οὔσας,*
*λωτὸν ἐρεπτομένας ἠδ' ἐρσήεντα κύπειρον·*
*σὺν δ' ἐφόρει ξύλα πολλά, πυρὸς δ' ἐπεμαίετο τέχνην·*
*δάφνης ἀγλαὸν ὄζον ἑλὼν ἐπέλεψε σιδήρῳ*
*ἄρμενον ἐν παλάμῃς· * ἄμπνυτο δὲ θερμὸς ἀϋτμή·* 110
*πολλὰ δὲ κάγκανα κᾶλα κατουδαίῳ ἐνὶ βόθρῳ* 112
*οὖλα λαβὼν ἐπέθηκεν ἐπηετανά· λάμπετο δὲ φλὸξ*
*τηλόσε φῦσαν ἱεῖσα πυρὸς μέγα δαιομένοιο.*
*ὄφρα δὲ πῦρ ἀνέκαιε βίη κλυτοῦ Ἡφαίστοιο,* 115
*τόφρα δ' ἐριβρύχους ἕλικας βοῦς εἷλκε θύραζε*
*δοιὰς ἄγχι πυρός· — δύναμις δέ οἱ ἔπλετο πολλή· —*
*ἀμφοτέρας δ' ἐπὶ νῶτα χαμαὶ βάλε φυσιοώσας·*
* *ἐγκλίνων δ' ἐκύλινδε, δι' αἰῶνάς τε τορήσας*
*ἔργῳ δ' ἔργον ὄπαζε, ταμὼν κρέα πίονα δημῷ·* 120
*ὦπτα δ' ἀμφ' ὀβελοῖσι πεπαρμένα δουρατέοισι,*
*σάρκας ὁμοῦ καὶ νῶτα γεγάσμια καὶ μέλαν αἷμα*
*ἐργμένον ἐν χολάδεσσι· τὰ δ' αὐτοῦ κεῖτ' ἐπὶ χώρης·*

---

*ἡ δὲ νέον σκοπιὴν προσεβήσατο δῖα Σελήνη,* 99
*Πάλλαντος θυγάτηρ Μεγαμηδείδαο ἄνακτος,* 100

---

*Ἑρμῆς τοι πρώτιστα πυρήϊα πῦρ τ' ἀνέδωκε* 111

*ῥινοὺς δ' ἐξετάνυσσε καταστυφέλῳ ἐπὶ πέτρῃ,*
*ὡς ἔτι νῦν τὰ μέταζε πολυχρόνιοι πεφύασι,*
*δηρὸν δὴ μετὰ ταῦτα καὶ ἄκριτον· αὐτὰρ ἔπειτα*
*Ἑρμῆς χαρμόφρων εἰρύσατο πίονα ἔργα*
*λείῳ ἐπὶ πλαταμῶνι καὶ ἔσχισε δώδεκα μοίρας*
*κληροπαλεῖς· τέλεον δὲ γέρας προσέθηκεν ἑκάστῃ.*
*ἔνθ' ὁσίης κρεάων ἠράσσατο κύδιμος Ἑρμῆς·*
*ὀδμὴ γάρ μιν ἔτειρε καὶ ἀθάνατόν περ ἐόντα*
*ἡδεῖ'· ἀλλ' οὐδ' ὧς οἱ ἐπείθετο θυμὸς ἀγήνωρ,*
*καί τε μάλ' ἱμείροντι, περᾶν ἱερῆς κατὰ δειρῆς.*
*ἀλλὰ τὰ μὲν κατέθηκεν ἐς αὔλιον ὑψιμέλαθρον,*
*δημὸν καὶ κρέα πολλά, μετήορα δ' αἶψ' ἀνάειρε,*
*σῆμα νέης φωρῆς· ἐπὶ δὲ ξύλα κάγκαν' ἀγείρας*
*οὐλόποδ', οὐλοκάρηνα πυρὸς κατεδάμνατ' ἀϋτμῇ.*
*αὐτὰρ ἐπεί τοι πάντα κατὰ χρέος ἤνυσε δαίμων,*
*σάνδαλα μὲν προέηκεν ἐς Ἀλφειὸν βαθυδίνην·*
*ἀνθρακιὴν δ' ἐμάρανε, κόνιν δ' ἀμάθυνε μέλαιναν.*
*Κυλλήνης δ' αἶψ' αὖτις ἀφίκετο δῖα κάρηνα* 142
*ὄρθριος, οὐδέ τίς οἱ δολιχῆς ὁδοῦ ἀντεβόλησεν*
*οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων,*
*οὐδὲ κύνες λελάκοντο· Διὸς δ' ἐριούνιος Ἑρμῆς*
*δοχμωθεὶς μεγάροιο διὰ κλῄϊθρον ἔδυνεν,*
*αὔρῃ ὀπωρινῇ ἐναλίγκιος, ἠΰτ' ὀμίχλη.*
*[ἰθύσας δ' ἄντρου ἐξίκετο πίονα νηὸν,*
*ἦκα ποσὶ προβιβῶν· οὐ γὰρ κτύπεν, ὥσπερ ἐπ' οὔδει.]*
*ἐσσυμένως δ' ἄρα λίκνον ἐπῴχετο κύδιμος Ἑρμῆς·*
*σπάργανον ἀμφ' ὤμοις εἰλυμένος, ἠΰτε τέκνον*
* *νήπιον, ἐν παλάμῃσι περ ἰγνύσι λαῖφος ἀθύρων,*
*κεῖτο, χέλυν ἐρατὴν ἐπ' ἀριστερὰ χειρὸς ἐέργων.*
*μητέρα δ' οὐκ ἄρ' ἔληθε θεὰν θεὸς, εἰπέ τε μῦθον·*

---

*παννύχιος· καλὸν δὲ φόως ἐπέλαμπε Σελήνης.* 141

Τίπτε σὺ, ποικιλομῆτα, πόθεν τόδε νυκτὸς ἐν ὥρῃ
ἔρχῃ, ἀναιδείην ἐπιειμένε; νῦν σε μάλ' οἴω
ἢ τάχ' ἀμήχανα δεσμὰ περὶ πλευρῇσιν ἔχοντα
Λητοΐδου ὑπὸ χερσὶ διὲκ προθύροιο περήσειν,
ἢ σὲ κακὸν τὰ μέταξε κατ' ἄγκεα φηλητεύσειν.
ἔρρε, τάλαν· μεγάλην σε πατὴρ ἐφύτευσε μέριμναν
θνητοῖς ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι.
Τὴν δ' Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισι·
μῆτερ ἐμὴ, τί με ταῦτα δεδίσκεαι, ἠΰτε τέκνον
νήπιον, ὃς μάλα παῦρα μετὰ φρεσὶν αἴσυλα οἶδε,
ταρβαλέον, καὶ μητρὸς ὑπαιδείδοικεν ἐνιπάς;
αὐτὰρ ἐγὼ τέχνης ἐπιβήσομαι, ἥτις ἀρίστη,
* βουλεύων ἐμὲ καὶ σὲ διαμπερές· οὐδὲ θεοῖσι
νῶι μετ' ἀθανάτοισιν ἀδώρητοι καὶ ἄλιστοι
αὐτοῦ τῇδε μένοντες ἀνεξόμεθ', ὡς σὺ κελεύεις.
βέλτερον ἤματα πάντα μετ' ἀθανάτοις ὀαρίζειν,
πλούσιον, ἀφνειὸν, πολυλήιον, ἢ κατὰ δῶμα
ἄντρῳ ἐν ἠερόεντι θαασσέμεν· ἀμφὶ δὲ τιμῇ,
κἀγὼ τῆς ὁσίης ἐπιβήσομαι, ἥσπερ Ἀπόλλων.
εἰ δέ κε μὴ δώῃσι πατὴρ ἐμὸς, ἤτοι ἔγωγε
πειρήσω — δύναμαι — φηλητέων ὄρχαμος εἶναι.
εἰ δέ μ' ἐρευνήσει Λητοῦς ἐρικυδέος υἱὸς,
ἄλλο τί οἱ καὶ μεῖζον ὀΐομαι ἀντιβολήσειν.
εἶμι γὰρ εἰς Πυθῶνα μέγαν δόμον ἀντιτορήσων·
ἔνθεν ἅλις τρίποδας περικαλλέας ἠδὲ λέβητας
πορθήσω καὶ χρυσὸν, ἅλις τ' αἴθωνα σίδηρον,
καὶ πολλὴν ἐσθῆτα· σὺ δ' ὄψεαι, αἴκ' ἐθέλῃσθα.
Ὣς οἱ μέν ῥ' ἐπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
υἱός τ' αἰγιόχοιο Διὸς καὶ πότνια Μαῖα.
Ἠὼς δ' ἠριγένεια φόως θνητοῖσι φέρουσα
ὤρνυτ' ἀπ' Ὠκεανοῖο βαθυρρόου· αὐτὰρ Ἀπόλλων
Ὀγχηστόνδ' ἀφίκανε κιὼν, πολυήρατον ἄλσος

ἁγνὸν ἐρισφαράγου Γαιηόχου· ἔνθα γέροντα
* κνώδαλον εὗρε νέμοντα παρὲξ ὁδοῦ ἕρκος ἀλωῆς·
τὸν πρότερος προσέφη Λητοῦς ἐρικυδέος υἱός·
Ὦ γέρον Ὀγχηστοῖο βατοδρόπε ποιήεντος,
βοῦς ἀπὸ Πιερίης διζήμενος ἐνθάδ' ἱκάνω,
πάσας θηλείας, πάσας κεράεσσιν ἑλικτὰς,
ἐξ ἀγέλης· ὁ δὲ ταῦρος ἐβόσκετο μοῦνος ἀπ' ἄλλων
κυάνεος· χαροποὶ δὲ κύνες κατόπισθεν ἕποντο
τέσσαρες, ἠΰτε φῶτες, ὁμόφρονες· οἱ μὲν ἔλειφθεν,
οἵ τε κύνες ὅ τε ταῦρος· ὃ δὴ περὶ θαῦμα τέτυκται·
ταὶ δ' ἔβαν ἠελίοιο νέον καταδυομένοιο
ἐκ μαλακοῦ λειμῶνος, ἀπὸ γλυκεροῖο νομοῖο.
ταῦτά μοι εἰπὲ, γεραιὲ παλαιγενὲς, εἴπου ὅπωπας
ἀνέρα ταῖσδ' ἐπὶ βουσὶ διαπρήσσοντα κέλευθον.
Τὸν δ' ὁ γέρων μύθοισιν ἀμειβόμενος προσέειπεν·
ὦ φίλος, ἀργαλέον μὲν, ὅσ' ὀφθαλμοῖσιν ἴδοιτο,
πάντα λέγειν· πολλοὶ γὰρ ὁδὸν πρήσσουσιν ὁδῖται,
τῶν οἱ μὲν κακὰ πολλὰ μεμαότες, οἱ δὲ μάλ' ἐσθλὰ,
φοιτῶσιν· χαλεπὸν δὲ δαήμεναί ἐστιν ἕκαστον·
αὐτὰρ ἐγὼ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἔσκαπτον περὶ γουνὸν ἀλωῆς οἰνοπέδοιο·
παῖδα δ' ἔδοξα, φέριστε, σαφὲς δ' οὐκ οἶδα, νοῆσαι,
ὅστις ὁ παῖς ἅμα βουσὶν ἐϋκραίρῃσιν ὀπήδει
νήπιος, εἶχε δὲ ῥάβδον· ἐπιστροφάδην δ' ἐβάδιζεν.
ἐξοπίσω δ' ἀνέεργε, κάρη δ' ἔχον ἀντίον αὐτῷ.
Φῆ ῥ' ὁ γέρων· ὁ δὲ θᾶσσον ὁδὸν κίε μῦθον ἀκούσας·
οἰωνὸν δ' ἐνόει τανυσίπτερον, αὐτίκα δ' ἔγνω
φηλητὴν γεγαῶτα Διὸς παῖδα Κρονίωνος.
ἐσσυμένως δ' ἤιξεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων
ἐς Πύλον ἠγαθέην διζήμενος εἰλίποδας βοῦς,
πορφυρέῃ νεφέλῃ κεκαλυμμένος εὐρέας ὤμους·
ἴχνια τ' εἰσενόησεν Ἑκηβόλος εἶπέ τε μῦθον·

Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἴχνια μὲν τάδε γ' ἐστὶ βοῶν ὀρθοκραιράων,
ἀλλὰ πάλιν τέτραπται ἐς ἀσφοδελὸν λειμῶνα·
βήματα δ' οὔτ' ἀνδρὸς τάδε γίνεται οὔτε γυναικὸς,
οὔτε λύκων πολιῶν οὔτ' ἄρκτων οὔτε λεόντων·
οὔτε τι κένταυρον λασιαύχενα ἔλπομαι εἶναι,
ὅστις τοῖα πέλωρα βιβᾷ ποσὶ καρπαλίμοισιν·
αἰνὰ μὲν ἔνθεν ὁδοῖο, τὰ δ' αἰνότερ' ἔνθεν ὁδοῖο.
Ὣς εἰπὼν ἤιξεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
Κυλλήνης δ' ἀφίκανεν ὄρος καταείμενον ὕλῃ,
πέτρης εἰς κευθμῶνα βαθύσκιον, ἔνθα τε νύμφη
ἀμβροσίη ἐλόχευσε Διὸς παῖδα Κρονίωνος.
ὀδμὴ δ' ἱμερόεσσα δι' οὔρεος ἠγαθέοιο
κίδνατο, πολλὰ δὲ μῆλα τανύποδα βόσκετο ποίην.
ἔνθα τότε σπεύδων κατεβήσατο λάϊνον οὐδὸν
ἄντρον ἐς ἠερόεν ἑκατηβόλος αὐτὸς Ἀπόλλων.
Τὸν δ' ὡς οὖν ἐνόησε Διὸς καὶ Μαιάδος υἱὸς
χωόμενον περὶ βουσὶν ἑκηβόλον Ἀπόλλωνα,
σπάργαν' ἔσω κατέδυνε θυήεντ'· ἠΰτε πολλὴν
πρέμνων ἀνθρακιὴν ὕλη σποδὸς ἀμφικαλύπτει,
* ὣς Ἑρμῆς Ἑκάεργον ἰδὼν ἀλέεινεν ἑαυτόν.
ἐν δ' ὀλίγῳ συνέλασσε κάρη χεῖράς τε πόδας τε,
φή ῥα νεόλλουτος, προκαλεύμενος ἥδυμον ὕπνον,
ἐγρήσσων ἐτεόν γε· χέλυν δ' ὑπὸ μασχάλῃ εἶχε.
γνῶ δ' οὐδ' ἠγνοίησε Διὸς καὶ Λητοῦς υἱὸς
νύμφην τ' οὐρείην περικαλλέα καὶ φίλον υἱὸν,
παῖδ' ὀλίγον, δολίῃς εἰλυμένον ἐντροπίῃσι.
παπτήνας δ' ἄρα πάντα μυχὸν μεγάλοιο δόμοιο
τρεῖς ἀδύτους ἀνέῳγε λαβὼν κληῗδα φαεινὴν,
νέκταρος ἐμπλείους ἠδ' ἀμβροσίης ἐρατεινῆς·
πολλὸς δὲ χρυσός τε καὶ ἄργυρος ἔνδον ἔκειτο,
πολλὰ δὲ φοινικόεντα καὶ ἄργυφα εἵματα νύμφης,

*οἷα θεῶν μακάρων ἱεροὶ δόμοι ἐντὸς ἔχουσιν·*
*ἔνθ᾽ ἐπεὶ ἐξερέεινε μυχοὺς μεγάλοιο δόμοιο*
*Λητοΐδης, μύθοισι προσηύδα κύδιμον Ἑρμῆν·*
*Ὦ παῖ, ὃς ἐν λίκνῳ κατάκειαι, μήνυέ μοι βοῦς*
*θᾶττον· ἐπεὶ τάχα νῶι διοισόμεθ᾽ οὐ κατὰ κόσμον.*
*ῥίψω γάρ σε λαβὼν ἐς Τάρταρον ἠερόεντα,*
*εἰς ζόφον αἰνόμορον καὶ ἀμήχανον· οὐδέ σε μήτηρ*
*ἐς φάος οὐδὲ πατὴρ ἀναλύσεται, ἀλλ᾽ ὑπὸ γαίῃ*
*ἐρρήσεις ὀλοοῖσιν ἐν ἀνδράσιν ἡγεμονεύων.*
*Τὸν δ᾽ Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισι·*
*Λητοΐδη, τίνα τοῦτον ἀπηνέα μῦθον ἔειπας;*
*ἦ βοῦς ἀγραύλους διζήμενος ἐνθάδ᾽ ἱκάνεις;*
*οὐκ ἴδον, οὐ πυθόμην, οὐκ ἄλλου μῦθον ἄκουσα·*
*οὐκ ἂν μηνύσαιμ᾽, οὐκ ἂν μήνυτρον ἀροίμην·*
*οὔτι βοῶν ἐλατῆρι, κραταιῷ φωτὶ, ἔοικα.*
*οὐκ ἐμὸν ἔργον τοῦτο, πάρος δέ μοι ἄλλα μέμηλεν·*
*ὕπνος ἔμοιγε μέμηλε καὶ ἡμετέρης γάλα μητρὸς,*
*σπάργανά τ᾽ ἀμφ᾽ ὤμοισιν ἔχειν καὶ θερμὰ λοετρά.*
*μή τις τοῦτο πύθοιτο, πόθεν τόδε νεῖκος ἐτύχθη·*
*καί κεν δὴ μέγα θαῦμα μετ᾽ ἀθανάτοισι γένοιτο,*
*παῖδα νέον γεγαῶτα διὰ προθύροιο περῆσαι*
*βουσὶν ἐπ᾽ ἀγραύλοισι· τὸ δ᾽ ἀπρεπέως ἀγορεύεις.*
*χθὲς γενόμην, ἁπαλοὶ δὲ πόδες, τρηχεῖα δ᾽ ὑπὸ χθών.*
*εἰ δὲ θέλεις, πατρὸς κεφαλὴν μέγαν ὅρκον ὀμοῦμαι·*
*μὴ μὲν ἐγὼ μήτ᾽ αὐτὸς ὑπίσχομαι αἴτιος εἶναι,*
*μήτε τιν᾽ ἄλλον ὄπωπα βοῶν κλοπὸν ὑμετεράων,*
*αἵτινες αἱ βόες εἰσί· τὸ δὲ κλέος οἶον ἀκούω.*
*Ὣς ἄρ᾽ ἔφη καὶ πυκνὸν ἀπὸ βλεφάρων ἀμαρύσσων*
*ὀφρῦς ῥιπτάζεσκεν, ὁρώμενος ἔνθα καὶ ἔνθα,*
*μάκρ᾽ ἀποσυρίζων, ἅλιον τὸν μῦθον ὑποσχών.*
*τὸν δ᾽ ἁπαλὸν γελάσας προσέφη ἑκάεργος Ἀπόλλων·*
*Ὦ πέπον, ἠπεροπευτὰ, δολοφραδὲς, ἦ σε μάλ᾽ οἴω*

πολλάκις ἀντιτοροῦντα δόμους εὖ ναιετάοντας
ἔννυχον οὐχ ἕνα μοῦνον ἐπ' οὔδεϊ φῶτα καθίσσαι,
σκευάζοντα κατ' οἶκον ἄτερ ψόφου, οἷ' ἀγορεύεις.
πολλοὺς δ' ἀγραύλους ἀκαχήσεις μηλοβοτῆρας
οὔρεος ἐν βήσσῃς, ὁπόταν κρειῶν ἐρατίζων
ἀντᾷς βουκολίοισι καὶ εἰροπόκοις ὀΐεσσιν.
ἀλλ' ἄγε, μὴ πύματόν τε καὶ ὕστατον ὕπνον ἰαύσῃς,
ἐκ λίκνου κατάβαινε, μελαίνης νυκτὸς ἑταῖρε.
τοῦτο γὰρ οὖν καὶ ἔπειτα μετ' ἀθανάτοις γέρας ἕξεις,
ἀρχὸς φηλητέων κεκλήσεαι ἤματα πάντα.
Ὣς ἄρ' ἔφη καὶ παῖδα λαβὼν φέρε Φοῖβος Ἀπόλλων.
σὺν δ' ἄρα φρασσάμενος τότε δὴ κρατὺς Ἀργειφόντης
οἰωνὸν προέηκεν, ἀειρόμενος μετὰ χερσὶ,
τλήμονα γαστρὸς ἔριθον, ἀτάσθαλον ἀγγελιώτην.
ἐσσυμένως δὲ μετ' αὐτὸν ἐπέπταρε· τοῖο δ' Ἀπόλλων
ἔκλυεν, ἐκ χειρῶν δὲ χαμαὶ βάλε κύδιμον Ἑρμῆν.
ἕζετο δὲ προπάροιθε, καὶ ἐσσύμενός περ ὁδοῖο,
Ἑρμῆν κερτομέων, καί μιν πρὸς μῦθον ἔειπε·
Θάρσει, σπαργανιῶτα, Διὸς καὶ Μαιάδος υἱέ·
εὑρήσω καὶ ἔπειτα βοῶν ἴφθιμα κάρηνα,
τούτοις οἰωνοῖσι· σὺ δ' αὖθ' ὁδὸν ἡγεμονεύσεις.
Ὣς φάτ'· ὁ δ' αὖτ' ἀνόρουσε θοῶς Κυλλήνιος Ἑρμῆς,
σπουδῇ ἰών· ἄμφω δὲ παρ' οὔατα χερσὶν ἐώθει
σπάργανον ἀμφ' ὤμοισιν ἐελμένον, εἶπε δὲ μῦθον·
Πῇ με φέρεις, Ἑκάεργε, θεῶν ζαμενέστατε πάντων;
ἦ με βοῶν ἕνεχ' ὧδε χολούμενος ὀρσολοπεύεις;
ὢ πόποι, εἴθ' ἀπόλοιτο βοῶν γένος· οὐ γὰρ ἔγωγε
ὑμετέρας ἔκλεψα βόας, οὐδ' ἄλλον ὄπωπα,
αἵτινές εἰσι βόες· τὸ δὲ δὴ κλέος οἶον ἀκούω.
δὸς δὲ δίκην καὶ δέξο παρὰ Ζηνὶ Κρονίωνι.
Αὐτὰρ ἐπεὶ τὰ ἕκαστα διαρρήδην ἐρίδαινον
Ἑρμῆς τ' οἰοπόλος καὶ Λητοῦς ἀγλαὸς υἱός,

*ἀμφὶς θυμὸν ἔχοντες· (ὁ μὲν νημερτέα φωνὴν*
*ἐκδεδαὼς ἐπὶ βουσὶν ἐλάζυτο κύδιμον Ἑρμῆν,*
*αὐτὰρ ὁ τέχνῃσίν τε καὶ αἱμυλίοισι λόγοισιν*
*ἤθελεν ἐξαπατᾶν Κυλλήνιος Ἀργυρότοξον·)*
*αὐτὰρ ἐπεὶ πολύμητις ἐὼν πολυμήχανον εὗρεν,*
*ἐσσυμένως δὴ ἔπειτα διὰ ψαμάθοιο βάδιζε*
*πρόσθεν, ἀτὰρ κατόπισθε Διὸς καὶ Λητοῦς υἱός*
*αἶψα δ' ἵκοντο κάρηνα θυώδεος Οὐλύμποιο*
*ἐς πατέρα Κρονίωνα Διὸς περικαλλέα τέκνα·*
*κεῖθι γὰρ ἀμφοτέροισι δίκης κατέκειτο τάλαντα.*
*εὐδίη δ' ἔχ' Ὄλυμπον ἀγάννιφον, ἀθάνατοι δὲ*
*ἀθρόοι ἠγερέθοντο μετὰ χρυσόθρονον ἠῶ.*
*ἔστησαν δ' Ἑρμῆς τε καὶ ἀργυρότοξος Ἀπόλλων*
*πρόσθε Διὸς γούνων· ὁ δ' ἀνείρετο φαίδιμον υἱὸν*
*Ζεὺς ὑψιβρεμέτης καί μιν πρὸς μῦθον ἔειπε·*
*Φοῖβε, πόθεν ταύτην μενοεικέα ληίδ' ἐλαύνεις,*
*παῖδα νέον γεγαῶτα, φυὴν κήρυκος ἔχοντα;*
*σπουδαῖον τόδε χρῆμα θεῶν μεθ' ὁμήγυριν ἦλθε.*
*Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·*
*ὦ πάτερ, ἦ τάχα μῦθον ἀκούσεαι οὐκ ἀλαπαδνὸν,*
*κερτομέων, ὡς οἶος ἐγὼ φιλολήιός εἰμι.*
*παῖδά τιν' εὗρον τόνδε διαπρύσιον κεραΐστὴν*
*Κυλλήνης ἐν ὄρεσσι, πολὺν διὰ χῶρον ἀνύσσας,*
*κέρτομον, οἷον ἔγωγε θεῶν οὐκ ἄλλον ὄπωπα,*
*οὐδ' ἀνδρῶν, ὁπόσοι λησίμβροτοί εἰσ' ἐπὶ γαίῃ.*
*κλέψας δ' ἐκ λειμῶνος ἐμὰς βοῦς ᾤχετ' ἐλαύνων*
*ἑσπέριος παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,*
*εὐθὺ Πύλονδ' ἐλάων· τὰ δ' ἄρ' ἴχνια τοῖα πέλωρα,*
*οἷά τ' ἀγάσσασθαι, καὶ ἀγαυοῦ δαίμονος ἔργα.*
*τῇσιν μὲν γὰρ βουσὶν ἐς ἀσφοδελὸν λειμῶνα*
*ἀντία βήματ' ἔχουσα κόνις ἀνέφαινε μέλαινα·*
*αὐτὸς δ' οὗτος ἄϊκτος, ἀμήχανος, οὔτ' ἄρα ποσσὶν*

οὔτ' ἄρα χερσὶν ἔβαινε διὰ ψαμαθώδεα χῶρον·
ἀλλ' ἄλλην τινὰ μῆτιν ἔχων διέτριβε κέλευθα,
τοῖα πέλωρ', ὡς εἴ τις ἀραιῇσι δρυσὶ βαίνοι.
ὄφρα μὲν οὖν ἐδίωκε διὰ ψαμαθώδεα χῶρον,
ῥεῖα μάλ' ἴχνια πάντα διέπρεπεν ἐν κονίῃσιν·
αὐτὰρ ἐπεὶ ψαμάθοιο μέγαν στίβον ἐξεπέρησεν,
ἄφραστος γένετ' ὦκα βοῶν στίβος ἠδὲ καὶ αὐτοῦ,
χῶρον ἀνὰ κρατερόν· τὸν δ' ἐφράσατο βροτὸς ἀνὴρ
εἰς Πύλον εὐθὺς ἐλῶντα βοῶν γένος εὐρυμετώπων.
αὐτὰρ ἐπειδὴ τὰς μὲν ἐν ἡσυχίῃ κατέερξε,
καὶ διαπυρπαλάμησεν ὁδοῦ τὸ μὲν ἔνθα, τὸ δ' ἔνθα,
ἐν λίκνῳ κατέκειτο μελαίνῃ νυκτὶ ἐοικὼς,
ἄντρῳ ἐν ἠερόεντι κατὰ ζόφον· οὐδέ κεν αὐτὸν
αἰετὸς ὀξὺ λάων ἐσκέψατο· πολλὰ δὲ χερσὶν
αὐγὰς ὠμόργαζε δολοφροσύνην ἀλεγύνων.
αὐτὸς δ' αὐτίκα μῦθον ἀπηλεγέως ἀγόρευεν·
οὐκ ἴδον, οὐ πυθόμην, οὐκ ἄλλου μῦθον ἄκουσα,
οὐδέ κε μηνύσαιμ', οὐδ' ἂν μήνυτρον ἀροίμην.
Ἤτοι ἄρ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο Φοῖβος Ἀπόλλων·
Ἑρμῆς δ' αὐτίκα μῦθον ἐν ἀθανάτοισιν ἔειπεν,
δείξατο δ' εἰς Κρονίωνα, θεῶν σημάντορα πάντων·
Ζεῦ πάτερ, ἤτοι ἐγώ σοι ἀληθείην καταλέξω·
νημερτής τε γάρ εἰμι, καὶ οὐκ οἶδα ψεύδεσθαι.
ἦλθεν ἐς ἡμετέρου διζήμενος εἰλίποδας βοῦς
σήμερον ἠελίοιο νέον ἐπιτελλομένοιο·
οὐδὲ θεῶν μακάρων ἄγε μάρτυρας οὐδὲ κατόπτας.
μηνύειν δ' ἐκέλευεν ἀναγκαίης ὑπὸ πολλῆς,
πολλὰ δέ μ' ἠπείλησε βαλεῖν ἐς Τάρταρον εὐρὺν,
οὕνεχ' ὁ μὲν τέρεν ἄνθος ἔχει φιλοκυδέος ἥβης,
αὐτὰρ ἐγὼ χθιζὸς γενόμην — τὰ δέ τ' οἶδε καὶ αὐτός· —
οὔτι βοῶν ἐλατῆρι, κραταιῷ φωτὶ, ἐοικώς.
πείθεο· καὶ γὰρ ἐμεῖο πατὴρ φίλος εὔχεαι εἶναι·

[ὡς οὐκ οἴκαδ' ἔλασσα βόας, ὣς ὄλβιος εἴην,
οὐδ' ὑπὲρ οὐδὸν ἔβην· τὸ δέ τ' ἀτρεκέως ἀγορεύω.
Ἠέλιον δὲ μάλ' αἰδέομαι καὶ δαίμονας ἄλλους,
καί σε φιλῶ καὶ τοῦτον ὀπίζομαι· οἶσθα καὶ αὐτὸς,]
ὡς οὐκ αἴτιός εἰμι· μέγαν δ' ἐπιδώσομαι ὅρκον·
οὐ μὰ τάδ' ἀθανάτων εὐκόσμητα προθύραια.
καί που ἐγὼ τούτῳ τίσω ποτὲ νηλέα φώρην,
καὶ κρατερῷ περ ἐόντι· σὺ δ' ὁπλοτέροισιν ἄρηγε.
Ὣς φάτ' ἐπιλλίζων Κυλλήνιος Ἀργειφόντης·
καὶ τὸ σπάργανον εἶχεν ἐπ' ὠλένῃ οὐδ' ἀπέβαλλε.
Ζεὺς δὲ μέγ' ἐξεγέλασσεν ἰδὼν κακομηδέα παῖδα,
εὖ καὶ ἐπισταμένως ἀρνεύμενον ἀμφὶ βόεσσιν.
ἀμφοτέρους δ' ἐκέλευσεν ὁμόφρονα θυμὸν ἔχοντας
ζητεύειν, Ἑρμῆν δὲ διάκτορον ἡγεμονεύειν,
καὶ δεῖξαι τὸν χῶρον ἐπ' ἀβλαβίῃσι νόοιο,
ὅππῃ δ' αὖτ' ἀπέκρυψε βοῶν ἴφθιμα κάρηνα.
νεῦσεν δὲ Κρονίδης, ἐπεπείθετο δ' ἀγλαὸς Ἑρμῆς·
ῥηιδίως γὰρ ἔπειθε Διὸς νόος αἰγιόχοιο.
τὼ δ' ἄμφω σπεύδοντε Διὸς περικαλλέα τέκνα
ἐς Πύλον ἠμαθόεντα ἐπ' Ἀλφειοῦ πόρον ἷξον·
ἀγροὺς δ' ἐξίκοντο καὶ αὔλιον ὑψιμέλαθρον,
ἧχί ῥα οἱ τἄγρευμ' ἀτιτάλλετο νυκτὸς ἐν ὥρῃ.
ἔνθ' Ἑρμῆς μὲν ἔπειτα κιὼν παρὰ λάϊνον ἄντρον,
εἰς φῶς ἐξήλαυνε βοῶν ἴφθιμα κάρηνα·
Λητοΐδης δ' ἀπάτερθεν ἰδὼν ἐνόησε βοείας
πέτρῃ ἐπ' ἠλιβάτῳ, τάχα δ' ἤρετο κύδιμον Ἑρμῆν·
Πῶς ἐδύνω, δολομῆτα, δύω βόε δειροτομῆσαι,
ὧδε νεογνὸς ἐὼν καὶ νήπιος; αὐτὰρ ἔγωγε
δειμαίνω κατόπισθε τὸ σὸν κράτος· οὐδέ τί σε χρὴ
μακρὸν ἀέξεσθαι, Κυλλήνιε, Μαιάδος υἱέ.
Ὣς ἄρ' ἔφη, καὶ χερσὶ περίστρεφε καρτερὰ δεσμὰ,
* ἄγνου· ταὶ δ' ὑπὸ ποσσὶ κατὰ χθονὸς αἶψα φι

αὐτόθεν, ἐμβολάδην ἐστραμμέναι ἀλλήλῃσι,
* ῥεῖά τε καὶ πάσῃσιν ἐπ' ἀγραύλῃσι βόεσσιν,
Ἑρμέω βουλῇσι κλεψίφρονος· αὐτὰρ Ἀπόλλων
θαύμασεν ἀθρήσας. ὁ δὲ δὴ κρατὺς Ἀργειφόντης
χῶρον ὑποβλήδην ἐσκέψατο, πύκν' ἀμαρύσσων,
* * *
ἐγκρύψαι μεμαώς· Λητοῦς δ' ἐρικυδέος υἱὸν
ῥεῖα μάλ' ἐπρήϋνεν ἑκηβόλον, ὡς ἔθελ' αὐτὸς,
καὶ κρατερόν περ ἐόντα· λαβὼν δ' ἐπ' ἀριστερὰ χειρὸς
* * *
πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος· ἡ δ' ὑπὸ χειρὸς
σμερδαλέον κονάβησε· γέλασσε δὲ Φοῖβος Ἀπόλλων
γηθήσας, ἐρατὴ δὲ διὰ φρένας ἤλυθ' ἰωὴ
θεσπεσίης ἐνοπῆς· καί μιν γλυκὺς ἵμερος ᾕρει
θυμῷ ἀκουάζοντα· λύρῃ δ' ἐρατὸν κιθαρίζων
στῆ ῥ' ὅγε θαρσήσας ἐπ' ἀριστερὰ Μαιάδος υἱὸς
Φοίβου Ἀπόλλωνος· τάχα δὲ λιγέως κιθαρίζων
γηρύετ' ἀμβολάδην, — ἐρατὴ δέ οἱ ἕσπετο φωνὴ, —
* κραίνων ἀθανάτους τε θεοὺς, καὶ γαῖαν ἐρεμνὴν,
ὡς τὰ πρῶτα γένοντο καὶ ὡς λάχε μοῖραν ἕκαστος.
Μνημοσύνην μὲν πρῶτα θεῶν ἐγέραιρεν ἀοιδῇ,
μητέρα Μουσάων· ἡ γὰρ λάχε Μαιάδος υἱόν·
τοὺς δὲ κατὰ πρέσβιν τε καὶ ὡς γεγάασιν ἕκαστος
ἀθανάτους ἐγέραιρε θεοὺς Διὸς ἀγλαὸς υἱὸς,
πάντ' ἐνέπων κατὰ κόσμον, ἐπωλένιον κιθαρίζων.
τὸν δ' ἔρος ἐν στήθεσσιν ἀμήχανος αἴνυτο θυμὸν,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Βουφόνε, μηχανιῶτα, πονεύμενε, δαιτὸς ἑταῖρε,
πεντήκοντα βοῶν ἀντάξια ταῦτα μέμηλας.
ἡσυχίως καὶ ἔπειτα διακρινέεσθαι ὀΐω·
νῦν δ' ἄγε μοι τόδε εἰπὲ, πολύτροπε Μαιάδος υἱὲ,
ἦ σοι γ' ἐκ γενετῆς τάδ' ἅμ' ἕσπετο θαυματὰ ἔργα

ἠέ τις ἀθανάτων ἠὲ θνητῶν ἀνθρώπων
δῶρον ἀγαυὸν ἔδωκε καὶ ἔφρασε θέσπιν ἀοιδήν;
θαυμασίην γὰρ τήνδε νεήφατον ὄσσαν ἀκούω,
ἣν οὐ πώποτέ φημι δαήμεναι οὔτε τιν' ἀνδρῶν,
οὔτε τιν' ἀθανάτων οἳ Ὀλύμπια δώματ' ἔχουσι,
νόσφι σέθεν, φηλῆτα, Διὸς καὶ Μαιάδος υἱέ.
τίς τέχνη, τίς μοῦσα ἀμηχανέων μελεδώνων,
τίς τρίβος· ἀτρεκέως γὰρ ἅμα τρία πάντα πάρεστιν,
εὐφροσύνην καὶ ἔρωτα καὶ ἥδυμον ὕπνον ἑλέσθαι.
καὶ γὰρ ἐγὼ Μούσῃσιν Ὀλυμπιάδεσσιν ὀπηδὸς,
τῇσι χοροί τε μέλουσι καὶ ἀγλαὸς οἶμος ἀοιδῆς,
καὶ μολπὴ τεθαλυῖα καὶ ἱμερόεις βρόμος αὐλῶν·
ἀλλ' οὔπω τί μοι ὧδε μετὰ φρεσὶν ἄλλο μέλησεν,
οἷα νέων θαλίῃς ἐνδέξια ἔργα πέλονται.
θαυμάζω, Διὸς υἱὲ, τάδ', ὡς ἐρατὸν κιθαρίζεις.
νῦν δ' ἐπεὶ οὖν ὀλίγος περ ἐὼν κλυτὰ μήδεα οἶδας,
ἷζε, πέπον, καὶ μῦθον ἐπαίνει πρεσβυτέροισι·
νῦν γάρ τοι κλέος ἔσται ἐν ἀθανάτοισι θεοῖσι,
σοί τ' αὐτῷ καὶ μητρί· τὸ δ' ἀτρεκέως ἀγορεύσω·
ναὶ μὰ τόδε κρανέϊνον ἀκόντιον, ἦ μὲν ἐγώ σε
* κυδρὸν ἐν ἀθανάτοισι καὶ ὄλβιον ἡγεμονεύσω,
δώσω τ' ἀγλαὰ δῶρα καὶ ἐς τέλος οὐκ ἀπατήσω."

Τὸν δ' Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισιν·
Εἰρωτᾷς μ', Ἑκάεργε, περιφραδές· αὐτὰρ ἐγώ σοι
τέχνης ἡμετέρης ἐπιβήμεναι οὔτι μεγαίρω.
σήμερον εἰδήσεις· ἐθέλω δέ τοι ἤπιος εἶναι
βουλῇ καὶ μύθοισι· σὺ δὲ φρεσὶ πάντ' εὖ οἶδας.
πρῶτος γὰρ, Διὸς υἱὲ, μετ' ἀθανάτοισι θαάσσεις,
ἠΰς τε κρατερός τε· φιλεῖ δέ σε μητίετα Ζεὺς
ἐκ πάσης ὁσίης, ἔπορεν δέ τοι ἀγλαὰ δῶρα
καὶ τιμάς· σὲ δέ φασι δαήμεναι ἐκ Διὸς ὀμφῆς
μαντείας, Ἑκάεργε· Διὸς γὰρ θέσφατα πάντα·

*καὶ νῦν αὐτὸς ἐγώ σε πανομφαῖον δεδάηκα.*
*σοὶ δ' αὐτάγρετόν ἐστι δαήμεναι, ὅττι μενοινᾷς.*
*ἀλλ' ἐπεὶ οὖν τοι θυμὸς ἐπιθύει κιθαρίζειν,*
*μέλπεο καὶ κιθάριζε καὶ ἀγλαΐας ἀλέγυνε*
*δέγμενος ἐξ ἐμέθεν — σὺ δέ μοι, φίλε, κῦδος ὄπαζε —*
*εὔμολπον μετὰ χερσὶν ἔχων λιγύφωνον ἑταίρην,*
*καλὰ καὶ εὖ κατὰ κόσμον ἐπισταμένην ἀγορεύειν.*
*εὔκηλος μὲν ἔπειτα φέρειν εἰς δαῖτα θάλειαν*
*καὶ χορὸν ἱμερόεντα καὶ ἐς φιλοκυδέα κῶμον,*
*εὐφροσύνην νυκτός τε καὶ ἤματος. ὃς γὰρ ἂν αὐτὴν*
*τέχνῃ καὶ σοφίῃ, δεδαημένος, ἐξερεείνῃ,*
*φθεγγομένη παντοῖα νόῳ χαρίεντα διδάσκει,*
*ῥεῖα συνηθείῃσιν ἀθυρομένη μαλακῇσιν,*
*ἐργασίην θέλγουσα δυήπαθον· ὃς δέ κεν αὐτὴν*
*νῆις ἐὼν τὸ πρῶτον ἐπιζαφελῶς ἐρεείνῃ,*
*μὰψ αὔτως κεν ἔπειτα μετήορά τε θρυλλίζοι.*
*σοὶ δ' αὐτάγρετόν ἐστι δαήμεναι, ὅττι μενοινᾷς.*
*καί τοι ἐγὼ δώσω ταύτην, Διὸς ἀγλαὲ κοῦρε·*
*ἡμεῖς δ' αὖτ' ὄρεός τε καὶ ἱπποβότου πεδίοιο*
*βουσὶ νομοὺς, Ἑκάεργε, νομεύσομεν ἀγραύλοισιν.*
*ἔνθεν ἅλις τέξουσι βόες ταύροισι μιγεῖσαι*
*μίγδην θηλείας τε καὶ ἄρσενας· οὐδέ τί σε χρὴ*
*κερδαλέον περ ἐόντα περιζαμενῶς κεχολῶσθαι.*
  *Ὣς εἰπὼν ὤρεξ'· ὁ δ' ἐδέξατο Φοῖβος Ἀπόλλων,*
*Ἑρμῇ δ' ἐγγυάλιξεν ἔχειν μάστιγα φαεινὴν,*
*βουκολίας τ' ἐπέτελλεν· ἔδεκτο δὲ Μαιάδος υἱὸς*
*γηθήσας· κίθαριν δὲ λαβὼν ἐπ' ἀριστερὰ χειρὸς*
*Λητοῦς ἀγλαὸς υἱὸς, ἄναξ ἑκάεργος Ἀπόλλων,*
*πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος· ἡ δ' ὑπὸ χειρὸς*
*ἱμερόεν κονάβησε· θεὸς δ' ὑπὸ καλὸν ἄειδεν.*
  *Ἔνθα βόας μὲν ἔπειτα ποτὶ ζάθεον λειμῶνα*
*ἐτραπέτην· αὐτοὶ δὲ, Διὸς περικαλλέα τέκνα,*

ἄψορροι πρὸς Ὄλυμπον ἀγάννιφον ἐρρώσαντο,
τερπόμενοι φόρμιγγι· χάρη δ' ἄρα μητιέτα Ζεύς
* * *

---

Καὶ τότε Λητοΐδης Ἑρμῆν πρὸς μῦθον ἔειπε·
Δείδια, Μαιάδος υἱὲ, διάκτορε, ποικιλομῆτα,
μή μοι ἅμα κλέψῃς κίθαριν καὶ καμπύλα τόξα·
τιμὴν γὰρ πὰρ Ζηνὸς ἔχεις ἐπαμοίβια ἔργα
θήσειν ἀνθρώποισι κατὰ χθόνα πουλυβότειραν.
ἀλλ' εἴ μοι τλαίης γε θεῶν μέγαν ὅρκον ὀμόσσαι,
πάντ' ἂν ἐμῷ θυμῷ κεχαρισμένα καὶ φίλα ἔρδειν.
Καὶ τότε Μαιάδος υἱὸς ὑποσχόμενος κατένευσε,
μή ποτ' ἀποκλέψειν, ὅσ' Ἑκηβόλος ἐκτεάτισται,
μηδέ ποτ' ἐμπελάσειν πυκινῷ δόμῳ· αὐτὰρ Ἀπόλλων
Λητοΐδης κατένευσεν ἐπ' ἀρθμῷ καὶ φιλότητι,
μή τινα φίλτερον ἄλλον ἐν ἀθανάτοισιν ἔσεσθαι,
μήτε θεὸν μήτ' ἄνδρα Διὸς γόνον· ἦ σε τέλειον
σύμβολον ἀθανάτων ποιήσομαι ἠδ' ἀνθρώπων,
πιστὸν ἐμῷ θυμῷ καὶ τίμιον· αὐτὰρ ἔπειτα
ὄλβου καὶ πλούτου δώσω περικαλλέα ῥάβδον,
χρυσείην, τριπέτηλον, ἀκήριον ἥ σε φυλάξει,
πάντας ἐπικραίνουσ' οἴμους ἐπέων τε καὶ ἔργων
τῶν ἀγαθῶν, ὅσα φημὶ δαήμεναι ἐκ Διὸς ὀμφῆς.
μαντείην δὲ, φέριστε, Διοτρεφὲς, ἣν ἐρεείνεις,
οὔτε σὲ θέσφατόν ἐστι δαήμεναι οὔτε τιν' ἄλλον

---

ἄμφω δ' ἐς φιλότητα συνήγαγε· καί ῥ' ὁ μὲν Ἑρμῆς
Λητοΐδην ἐφίλησε διαμπερὲς ἐξέτι κείνου,
σήματ' ἐπεὶ κίθαριν μὲν Ἑκηβόλῳ ἐγγυάλιξεν
ἱμερτὴν, δεδαὼς ὁ δ' ὑπωλένιον κιθάριζεν·
αὐτὸς δ' αὖθ' ἑτέρης σοφίης ἐκμάσσατο τέχνην·
συρίγγων ἐνοπὴν ποιήσατο τηλόθ' ἀκουστήν.

---

ἢ κεφαλῇ νεύσας, ἢ ἐπὶ Στυγὸς ὄμβριμον ὕδωρ,

ἀθανάτων· τὸ γὰρ οἶδε Διὸς νόος· αὐτὰρ ἔγωγε
πιστωθεὶς κατένευσα καὶ ὤμοσα καρτερὸν ὅρκον,
μή τινα νόσφιν ἐμεῖο θεῶν αἰειγενετάων
ἄλλόν γ' εἴσεσθαι Ζηνὸς πυκινόφρονα βουλήν.
καὶ σὺ, κασίγνητε χρυσόρραπι, μή με κέλευε
θέσφατα πιφαύσκειν, ὅσα μήδεται εὐρύοπα Ζεύς.
ἀνθρώπων δ' ἄλλον δηλήσομαι, ἄλλον ὀνήσω,
πολλὰ περιτροπέων ἀμεγάρτων φῦλ' ἀνθρώπων.
καὶ μὲν ἐμῆς ὀμφῆς ἀπονήσεται, ὅστις ἂν ἔλθῃ
φωνῇ καὶ πτερύγεσσι τεληέντων οἰωνῶν·
οὗτος ἐμῆς ὀμφῆς ἀπονήσεται, οὐδ' ἀπατήσω.
ὃς δέ κε μαψιλόγοισι πιθήσας οἰωνοῖσι
μαντείην ἐθέλῃσι παρὲκ νόον ἐξερεείνειν
ἡμετέρην, νοέειν δὲ θεῶν πλέον αἰὲν ἐόντων,
φήμ', ἁλίην ὁδὸν εἶσιν, ἐγὼ δέ κε δῶρα δεχοίμην.
ἄλλο δέ τοι ἐρέω, Μαίης ἐρικυδέος υἱὲ
καὶ Διὸς αἰγιόχοιο, θεῶν ἐριούνιε δαῖμον·
Θριαὶ γάρ τινες εἰσὶ, κασίγνηται γεγαυῖαι,
παρθένοι, ὠκείῃσιν ἀγαλλόμεναι πτερύγεσσι,
τρεῖς· κατὰ δὲ κρατὸς πεπαλαγμέναι ἄλφιτα λευκὰ
οἰκία ναιετάουσιν ὑπὸ πτυχὶ Παρνησοῖο,
μαντείης ἀπάνευθε διδάσκαλοι, ἣν ἐπὶ βουσὶ
παῖς ἔτ' ἐὼν μελέτησα· πατὴρ δ' ἐμὸς οὐκ ἀλέγιζεν.
ἐντεῦθεν δὴ ἔπειτα ποτώμεναι ἄλλοτε ἄλλῃ,
κηρία βόσκονται καί τε κραίνουσιν ἕκαστα.
αἳ δ' ὅτε μὲν θυΐωσιν ἐδηδυῖαι μέλι χλωρὸν,
προφρονέως ἐθέλουσιν ἀληθείην ἀγορεύειν·
ἢν δ' ἀπονοσφισθῶσι θεῶν ἡδεῖαν ἐδωδὴν,
ψεύδονται δὴ ἔπειτα δι' ἀλλήλων δονέουσαι.
τάς τοι ἔπειτα δίδωμι· σὺ δ' ἀτρεκέως ἐρεείνων,
σὴν αὐτοῦ φρένα τέρπε, καὶ εἰ βροτὸν ἄνδρα δαείης,
πολλάκι σῆς ὀμφῆς ἐπακούσεται, αἴκε τύχῃσι.

*ταῦτ' ἔχε, Μαιάδος υἱέ, καὶ ἀγραύλους ἕλικας βοῦς,*
*ἵππους τ' ἀμφιπόλευε καὶ ἡμιόνους ταλαεργούς·*
*[καὶ χαροποῖσι λέουσι καὶ ἀργιόδουσι σύεσσι*
*καὶ κυσὶ καὶ μήλοισιν, ὅσα τρέφει εὐρεῖα χθών,]*
*πᾶσι δ' ἐπὶ προβάτοισιν ἀνάσσειν κύδιμον Ἑρμῆν·*
*οἶον δ' εἰς Ἀΐδην τετελεσμένον ἄγγελον εἶναι,*
*ὅστ' ἄδοτός περ ἐὼν δώσει γέρας οὐκ ἐλάχιστον.*
*Οὕτω Μαιάδος υἱὸν ἄναξ ἐφίλησεν Ἀπόλλων*
*παντοίῃ φιλότητι· χάριν δ' ἐπέθηκε Κρονίων.*
*πᾶσι δ' ὅγε θνητοῖσι καὶ ἀθανάτοισιν ὁμιλεῖ.*
*παῦρα μὲν οὖν ὀνίνησι, τὸ δ' ἄκριτον ἠπεροπεύει*
*νύκτα δι' ὀρφναίην φῦλα θνητῶν ἀνθρώπων.*
*Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς καὶ Μαιάδος υἱέ·*
*αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

---

## IV.

### ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

*Μοῦσά μοι ἔννεπε ἔργα πολυχρύσου Ἀφροδίτης,*
*Κύπριδος, ἥτε θεοῖσιν ἐπὶ γλυκὺν ἵμερον ὦρσε,*
*καί τ' ἐδαμάσσατο φῦλα καταθνητῶν ἀνθρώπων,*
*οἰωνούς τε διιπετέας καὶ θηρία πάντα,*
*ἠμὲν ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδ' ὅσα πόντος·*
*πᾶσιν δ' ἔργα μέμηλεν ἐϋστεφάνου Κυθερείης.*
*τρισσὰς δ' οὐ δύναται πεπιθεῖν φρένας οὐδ' ἀπατῆσαι·*
*κούρην τ' αἰγιόχοιο Διός, γλαυκῶπιδ' Ἀθήνην·*
*οὐ γάρ οἱ ἅδεν ἔργα πολυχρύσου Ἀφροδίτης,*
*ἀλλ' ἄρα οἱ πόλεμοί τε ἅδον καὶ ἔργον Ἄρηος,*
*ὑσμῖναί τε μάχαι τε, καὶ ἀγλαὰ ἔργ' ἀλεγύνειν.*
*πρώτη τέκτονας ἄνδρας ἐπιχθονίους ἐδίδαξε*
*ποιῆσαι σατίνας τε καὶ ἅρματα ποικίλα χαλκῷ.*

*ἥ δέ τε παρθενικὰς ἁπαλόχροας ἐν μεγάροισιν*
*ἀγλαὰ ἔργ᾽ ἐδίδαξεν ἐπὶ φρεσὶ θεῖσα ἑκάστῃ.*
*οὐδέ ποτ᾽ Ἄρτεμιδα χρυσηλάκατον κελαδεινὴν*
*δάμναται ἐν φιλότητι φιλομμειδὴς Ἀφροδίτη.*
*καὶ γὰρ τῇ ἅδε τόξα καὶ οὔρεσι θῆρας ἐναίρειν,*
*φόρμιγγές τε χοροί τε διαπρύσιοί τ᾽ ὀλολυγαὶ*
*ἄλσεά τε σκιόεντα δικαίων τε πτόλις ἀνδρῶν.*
*οὐδὲ μὲν αἰδοίῃ κούρῃ ἅδεν ἔργ᾽ Ἀφροδίτης,*
*Ἱστίῃ, ἣν πρώτην τέκετο Κρόνος ἀγκυλομήτης,*
*πότνιαν, ἣν ἐμνῶντο Ποσειδάων καὶ Ἀπόλλων·* 24
*ἡ δὲ μάλ᾽ οὐκ ἔθελεν, ἀλλὰ στερεῶς ἀπέειπεν·*
*ὤμοσε δὲ μέγαν ὅρκον, ὃ δὴ τετελεσμένος ἐστὶν,*
*ἁψαμένη κεφαλῆς πατρὸς Διὸς αἰγιόχοιο,*
*παρθένος ἔσσεσθαι πάντ᾽ ἤματα, δῖα θεάων.*
*τῇ δὲ πατὴρ Ζεὺς δῶκε καλὸν γέρας ἀντὶ γάμοιο,*
*καί τε μέσῳ οἴκῳ κατ᾽ ἄρ᾽ ἕζετο πῖαρ ἑλοῦσα.*
*πᾶσιν δ᾽ ἐν νηοῖσι θεῶν τιμάοχός ἐστι,*
*καὶ παρὰ πᾶσι βροτοῖσι θεῶν πρέσβειρα τέτυκται.*
*τάων οὐ δύναται πεπιθεῖν φρένας οὐδ᾽ ἀπατῆσαι·*
*τῶν δ᾽ ἄλλων οὔπερ τι πεφυγμένον ἔστ᾽ Ἀφροδίτην*
*οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων.*
*καί τε παρὲκ Ζηνὸς νόον ἤγαγε τερπικεραύνου,*
*ὅστε μέγιστός τ᾽ ἐστὶ, μεγίστης τ᾽ ἔμμορε τιμῆς·*
*καί τε τοῦ, εὖτε θέλοι, πυκινὰς φρένας ἐξαπαφοῦσα,*
*ῥηϊδίως συνέμιξε καταθνητῇσι γυναιξὶν,*
*Ἥρης ἐκλελαθοῦσα, κασιγνήτης ἀλόχου τε,*
*ἣ μέγα εἶδος ἀρίστη ἐν ἀθανάτῃσι θεῇσι.*
*κυδίστην δ᾽ ἄρα μιν τέκετο Κρόνος ἀγκυλομήτης,*
*μήτηρ τε Ῥείη· Ζεὺς δ᾽ ἄφθιτα μήδεα εἰδὼς*
*αἰδοίην ἄλοχον ποιήσατο κέδν᾽ εἰδυῖαν.*

---

*αὖτις δ᾽ ὁπλοτάτην, βουλῇ Διὸς αἰγιόχοιο,* **23**

*Τῇ δὲ καὶ αὐτῇ Ζεὺς γλυκὺν ἵμερον ἔμβαλε θυμῷ,*
*ἀνδρὶ καταθνητῷ μιχθήμεναι, ὄφρα τάχιστα*
*μηδ' αὐτὴ βροτέης εὐνῆς ἀποεργμένη εἴη,*
*καί ποτ' ἐπευξαμένη εἴπῃ μετὰ πᾶσι θεοῖσιν,*
*ἡδὺ γελοιήσασα, φιλομμειδὴς Ἀφροδίτη,*
*ὥς ῥα θεοὺς συνέμιξε καταθνητῇσι γυναιξὶ,*
*καί τε καταθνητοὺς υἱεῖς τέκον ἀθανάτοισιν,*
*ὥς τε θεὰς συνέμιξε καταθνητοῖς ἀνθρώποις.*
*Ἀγχίσεω δ' ἄρα οἱ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ,*
*ὃς τότ' ἐν ἀκροπόλοις ὄρεσιν πολυπιδάκου Ἴδης*
*βουκολέεσκεν βοῦς, δέμας ἀθανάτοισιν ἐοικώς.*
*τὸν δὴ ἔπειτα ἰδοῦσα φιλομμειδὴς Ἀφροδίτη,*
*ἠράσατ', ἐκπάγλως δὲ κατὰ φρένας ἵμερος εἷλεν.*
*ἐς Κύπρον δ' ἐλθοῦσα θυώδεα νηὸν ἔδυνεν·*
*ἐς Πάφον· ἔνθα δέ οἱ τέμενος βωμός τε θυώδης.*
*ἔνθ' ἥγ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς·*
*ἔνθα δέ μιν Χάριτες λοῦσαν καὶ χρῖσαν ἐλαίῳ*
*ἀμβρότῳ, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας.*
*ἑσσαμένη δ' εὖ πάντα περὶ χροῒ εἵματα καλὰ,*
*χρυσῷ κοσμηθεῖσα φιλομμειδὴς Ἀφροδίτη*
*σεύατ' ἐπὶ Τροίην προλιποῦσ' εὐώδεα Κύπρον,*
*ὕψι μετὰ νεφέεσσι θοῶς πρήσσουσα κέλευθον.*
*Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν·*
*βῆ δ' ἰθὺς σταθμοῖο δι' οὔρεος· οἱ δὲ μετ' αὐτὴν*
*σαίνοντες πολιοί τε λύκοι χαροποί τε λέοντες,*
*ἄρκτοι, παρδάλιές τε θοαὶ προκάδων ἀκόρητοι*
*ἤισαν· ἡ δ' ὁρόωσα μετὰ φρεσὶ τέρπετο θυμὸν,*
*καὶ τοῖς ἐν στήθεσσι βάλ' ἵμερον· οἱ δ' ἅμα πάντες*
*σύνδυο κοιμήσαντο κατὰ σκιόεντας ἐναύλους.*
*αὐτὴ δ' ἐς κλισίας εὐποιήτους ἀφίκανε·*

---

*ἀμβροσίῳ, ἑανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν.*

*τὸν δ᾽ εὗρε σταθμοῖσι λελειμμένον οἶον ἀπ᾽ ἄλλων*
*Ἀγχίσην ἥρωα, θεῶν ἄπο κάλλος ἔχοντα.*
*οἱ δ᾽ ἅμα βουσὶν ἕποντο νομοὺς κατὰ ποιήεντας*
*πάντες· ὁ δὲ σταθμοῖσι λελειμμένος οἶος ἀπ᾽ ἄλλων*
*πωλεῖτ᾽ ἔνθα καὶ ἔνθα διαπρύσιον κιθαρίζων.*
*στῆ δ᾽ αὐτοῦ προπάροιθε Διὸς θυγάτηρ Ἀφροδίτη,*
*παρθένῳ ἀδμήτῃ μέγεθος καὶ εἶδος ὁμοίη,*
*μή μιν ταρβήσειεν ἐν ὀφθαλμοῖσι νοήσας.*
*Ἀγχίσης δ᾽ ὁρόων ἐφράζετο θαύμαινέν τε*
*εἶδός τε μέγεθός τε καὶ εἵματα σιγαλόεντα.*
*πέπλον μὲν γὰρ ἕεστο φαεινότερον πυρὸς αὐγῆς,*
*εἶχε δ᾽ ἐϋγναμπτὰς ἕλικας κάλυκάς τε φαεινάς·*
*ὅρμοι δ᾽ ἀμφ᾽ ἁπαλῇ δειρῇ περικαλλέες ἦσαν,*
*καλοί, χρύσειοι, παμποίκιλοι· ὡς δὲ σελήνη*
*στήθεσιν ἀμφ᾽ ἁπαλοῖσιν ἐλάμπετο, θαῦμα ἰδέσθαι.*
*Ἀγχίσην δ᾽ ἔρος εἷλεν, ἔπος δέ μιν ἀντίον ηὔδα·*
*Χαῖρε, ἄνασσ᾽, ἥτις μακάρων τάδε δώμαθ᾽ ἱκάνεις,*
*Ἄρτεμις ἢ Λητὼ ἠὲ χρυσέη Ἀφροδίτη*
*ἢ Θέμις ἠϋγενὴς ἠὲ γλαυκῶπις Ἀθήνη,*
*ἤ πού τις Χαρίτων δεῦρ᾽ ἤλυθες, αἵτε θεοῖσι*
*πᾶσιν ἑταιρίζουσι καὶ ἀθάνατοι καλέονται,*
*ἤ τις Νυμφάων, αἵτ᾽ ἄλσεα καλὰ νέμονται,*
*καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.*
*σοὶ δ᾽ ἐγὼ ἐν σκοπιῇ, περιφαινομένῳ ἐνὶ χώρῳ,*
*βωμὸν ποιήσω, ῥέξω δέ τοι ἱερὰ καλὰ*
*ὥρῃσιν πάσῃσι· σὺ δ᾽ εὔφρονα θυμὸν ἔχουσα*
*δός με μετὰ Τρώεσσιν ἀριπρεπέ᾽ ἔμμεναι ἀνδρῶν,*
*ποίει δ᾽ εἰσοπίσω θαλερὸν γόνον, αὐτὰρ ἔμ᾽ αὐτὸν*
*δηρὸν ἐῢ ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο,*
*ὄλβιον ἐν λαοῖς, καὶ γήραος οὐδὸν ἱκέσθαι.*

---

*ἢ Νυμφῶν, αἳ καλὸν ὄρος τόδε ναιετάουσι,* 98

Τὸν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἀγχίση, κύδιστε χαμαιγενέων ἀνθρώπων,
οὔτις τοι θεός εἰμι· τί μ' ἀθανάτῃσιν ἐίσκεις;
ἀλλὰ καταθνητή τε, γυνὴ δέ με γείνατο μήτηρ.
Ὀτρεὺς δ' ἐστὶ πατὴρ ὄνομα κλυτὸς, εἴπου ἀκούεις,
ὃς πάσης Φρυγίης εὐτειχήτοιο ἀνάσσει.
γλῶσσαν δ' ὑμετέρην καὶ ἡμετέρην σάφα οἶδα.
Τρωὰς γὰρ μεγάρῳ με τροφὸς τρέφεν· ἡ δὲ διαπρὸ
σμικρὴν παῖδ' ἀτίταλλε, φίλης παρὰ μητρὸς ἑλοῦσα.
ὣς δ' ἤτοι γλῶσσάν γε καὶ ὑμετέρην εὖ οἶδα.
νῦν δέ μ' ἀνήρπαξε χρυσόρραπις Ἀργειφόντης
ἐκ χοροῦ Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς.
πολλαὶ δὲ νύμφαι καὶ παρθένοι ἀλφεσίβοιαι
παίζομεν, ἀμφὶ δ' ὅμιλος ἀπείριτος ἐστεφάνωτο·
ἔνθεν μ' ἥρπαξε χρυσόρραπις Ἀργειφόντης·
πολλὰ δ' ἔπ' ἤγαγεν ἔργα καταθνητῶν ἀνθρώπων,
πολλὴν δ' ἄκληρόν τε καὶ ἄκτιτον, ἣν διὰ θῆρες
ὠμοφάγοι φοιτῶσι κατὰ σκιόεντας ἐναύλους·
οὐδὲ ποσὶ ψαύειν ἐδόκουν φυσιζόου αἴης·
Αγχίσεω δέ με φάσκε παραὶ λέχεσιν καλέεσθαι
κουριδίην ἄλοχον, σοὶ δ' ἀγλαὰ τέκνα τεκεῖσθαι.
αὐτὰρ ἐπειδὴ δεῖξε καὶ ἔφρασεν, ἤτοι ὅγ' αὖτις
ἀθανάτων μετὰ φῦλ' ἀπέβη κρατὺς Ἀργειφόντης·
αὐτὰρ ἐγώ σ' ἱκόμην, κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη.
ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι ἠδὲ τοκήων
ἐσθλῶν· οὐ μὲν γάρ τε κακοὶ τοιόνδε τέκοιεν·
ἀδμήτην μ' ἀγαγὼν καὶ ἀπειρήτην φιλότητος
πατρί τε σῷ δεῖξον καὶ μητέρι κέδν' εἰδυίῃ,
σοῖς τε κασιγνήτοις, οἵ τοι ὁμόθεν γεγάασιν·
εἴ σφιν ἀεικελίη νυὸς ἔσσομαι, ἠὲ καὶ οὐκί.
πέμψαι δ' ἄγγελον ὦκα μετὰ Φρύγας αἰολοπώλους,
εἰπεῖν πατρί τ' ἐμῷ καὶ μητέρι κηδομένῃ περ·

*οἵ δέ κέ τοι χρυσόν τε ἅλις ἐσθῆτά θ' ὑφαντὴν*
*πέμψουσιν· σὺ δὲ πολλὰ καὶ ἀγλαὰ δέχθαι ἄποινα.*
*ταῦτα δὲ ποιήσας δαίνυ γάμον ἱμερόεντα,*
*τίμιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν.*
*Ὣς εἰποῦσα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ.*
*Ἀγχίσην δ' ἔρος εἷλεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·*
*Εἰ μὲν θνητή τ' ἐσσὶ, γυνὴ δέ σε γείνατο μήτηρ,*
*Ὀτρεὺς δ' ἐστὶ πατὴρ ὄνομα κλυτὸς, ὡς ἀγορεύεις,*
*ἀθανάτοιο δ' ἕκητι διακτόρου ἐνθάδ' ἱκάνεις*
*Ἑρμέω, ἐμὴ δ' ἄλοχος κεκλήσεαι ἤματα πάντα·*
*οὔτις ἔπειτα θεῶν οὔτε θνητῶν ἀνθρώπων*
*ἐνθάδε με σχήσει, πρὶν σῇ φιλότητι μιγῆναι*
*αὐτίκα νῦν· οὐδ' εἴ κεν ἑκηβόλος αὐτὸς Ἀπόλλων*
*τόξου ἀπ' ἀργυρέου προΐῃ βέλεα στονόεντα.*
*βουλοίμην κεν ἔπειτα, γύναι εἰκυῖα θεῇσι,*
*σῆς εὐνῆς ἐπιβὰς, δῦναι δόμον Ἄϊδος εἴσω.*
*Ὣς εἰπὼν λάβε χεῖρα· φιλομμειδὴς δ' Ἀφροδίτη*
*ἕρπε μεταστρεφθεῖσα, κατ' ὄμματα καλὰ βαλοῦσα,*
*ἐς λέχος εὔστρωτον, ὅθι περ πάρος ἔσκεν ἄνακτι*
*χλαίνῃσιν μαλακῇς ἐστρωμένον· αὐτὰρ ὕπερθεν*
*ἄρκτων δέρματ' ἔκειτο βαρυφθόγγων τε λεόντων,*
*τοὺς αὐτὸς κατέπεφνεν ἐν οὔρεσιν ὑψηλοῖσιν.*
*οἱ δ' ἐπεὶ οὖν λεχέων εὐποιήτων ἐπέβησαν,*
*κόσμον μέν οἱ πρῶτον ἀπὸ χροὸς εἷλε φαεινὸν,*
*πόρπας τε γναμπτάς θ' ἕλικας κάλυκάς τε καὶ ὅρμους.*
*λῦσε δέ οἱ ζώνην, ἰδὲ εἵματα σιγαλόεντα*
*ἔκδυε καὶ κατέθηκεν ἐπὶ θρόνου ἀργυροήλου*
*Ἀγχίσης· ὁ δ' ἔπειτα θεῶν ἰότητι καὶ αἴσῃ*
*ἀθανάτῃ παρέλεκτο θεᾷ βροτὸς, οὐ σάφα εἰδώς.*
*Ἦμος δ' ἂψ εἰς αὖλιν ἀποκλίνουσι νομῆες*
*βοῦς τε καὶ ἴφια μῆλα νομῶν ἐξ ἀνθεμοέντων·*
*τῆμος ἄρ' Ἀγχίσῃ μὲν ἐπὶ γλυκὺν ὕπνον ἔχευε*

νήδυμον, αὐτὴ δὲ χροῒ ἕννυτο εἵματα καλά.
ἑσσαμένη δ' εὖ πάντα περὶ χροῒ δῖα θεάων
ἔστη πὰρ κλισίῃ· εὐποιήτου δὲ μελάθρου
κῦρε κάρη· κάλλος δὲ παρειάων ἀπέλαμπεν
ἄμβροτον, οἷόν τ' ἐστὶν ἐϋστεφάνου Κυθερείης.
ἐξ ὕπνου τ' ἀνέγειρεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Ὄρσεο, Δαρδανίδη· τί νυ νήγρετον ὕπνον ἰαύεις;
καὶ φράσαι, εἴ τοι ὁμοίη ἐγὼν ἰνδάλλομαι εἶναι,
οἵην δή με τὸ πρῶτον ἐν ὀφθαλμοῖσι νόησας;
Ὣς φάθ'· ὁ δ' ἐξ ὕπνοιο μάλ' ἐμμαπέως ὑπάκουσεν.
ὡς δὲ ἴδεν δειρήν τε καὶ ὄμματα κάλ' Ἀφροδίτης,
τάρβησέν τε καὶ ὄσσε παρακλιδὸν ἔτραπεν ἄλλῃ.
ἂψ δ' αὖτις χλαίνῃ τε καλύψατο καλὰ πρόσωπα,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Αὐτίκα σ' ὡς τὰ πρῶτα, θεά, ἴδον ὀφθαλμοῖσιν,
ἔγνων, ὡς θεὸς ἦσθα· σὺ δ' οὐ νημερτὲς ἔειπες.
ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι αἰγιόχοιο,
μή με ζῶντ' ἀμενηνὸν ἐν ἀνθρώποισιν ἐάσῃς
ναίειν, ἀλλ' ἐλέαιρ'· ἐπεὶ οὐ βιοθάλμιος ἀνὴρ
γίγνεται, ὅστε θεαῖς εὐνάζεται ἀθανάτῃσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἀγχίση, κύδιστε καταθνητῶν ἀνθρώπων,
θάρσει, μηδέ τι σῇσι μετὰ φρεσὶ δείδιθι λίην·
οὐ γάρ τοί τι δέος παθέειν κακὸν ἐξ ἐμέθεν γε,
οὐδ' ἄλλων μακάρων· ἐπειὴ φίλος ἐσσὶ θεοῖσι.
σοὶ δ' ἔσται φίλος υἱὸς, ὃς ἐν Τρώεσσιν ἀνάξει,
καὶ παῖδες παίδεσσι διαμπερὲς ἐκγεγάονται·
τῷ δὲ καὶ Αἰνείας ὄνομ' ἔσσεται, οὕνεκά μ' αἰνὸν
ἔσχεν ἄχος, ἕνεκα βροτοῦ ἀνέρος ἔμπεσον εὐνῇ·
ἀγχίθεοι δὲ μάλιστα καταθνητῶν ἀνθρώπων
αἰεὶ ἀφ' ὑμετέρης γενεῆς εἶδός τε φυήν τε.
ἦτοι μὲν ξανθὸν Γανυμήδεα μητιέτα Ζεὺς

ἥρπασεν ὃν διὰ κάλλος, ἵν' ἀθανάτοισι μετείη,
καί τε Διὸς κατὰ δῶμα θεοῖς ἐπιοινοχοεύοι,
θαῦμα ἰδεῖν, πάντεσσι τετιμένος ἀθανάτοισι,
χρυσέου ἐν κρητῆρος ἀφύσσων νέκταρ ἐρυθρόν.
Τρῶα δὲ πένθος ἄλαστον ἔχε φρένας, οὐδέ τι ᾔδει,
ὅππη οἱ φίλον υἱὸν ἀνήρπασε θέσπις ἄελλα·
τὸν δὴ ἔπειτα γόασκε διαμπερὲς ἤματα πάντα.
καί μιν Ζεὺς ἐλέησε, δίδου δέ οἱ υἷος ἄποινα,
ἵππους ἀρσίποδας, τοί τ' ἀθανάτους φορέουσι.
τούς οἱ δῶρον ἔδωκεν ἔχειν· εἶπεν δὲ ἕκαστα
Ζηνὸς ἐφημοσύνῃσι διάκτορος Ἀργειφόντης,
ὡς ἔοι ἀθάνατος καὶ ἀγήρως ἶσα θεοῖσιν.
αὐτὰρ ἐπειδὴ Ζηνὸς ὅγ' ἔκλυεν ἀγγελιάων,
οὐκέτ' ἔπειτα γόασκε, γεγήθει δὲ φρένας ἔνδον,
γηθόσυνος δ' ἵπποισιν ἀελλοπόδεσσιν ὀχεῖτο.
ὣς δ' αὖ Τιθωνὸν χρυσόθρονος ἥρπασεν Ἠώς,
ὑμετέρης γενεῆς, ἐπιείκελον ἀθανάτοισι.
βῆ δ' ἴμεν αἰτήσουσα κελαινεφέα Κρονίωνα,
ἀθάνατόν τ' εἶναι καὶ ζώειν ἤματα πάντα·
τῇ δὲ Ζεὺς ἐπένευσε καὶ ἐκρήηνεν ἐέλδωρ.
νηπίη, οὐδ' ἐνόησε μετὰ φρεσὶ πότνια Ἠὼς
ἥβην αἰτῆσαι, ξῦσαί τ' ἀπὸ γῆρας ὀλοιόν.
τὸν δ' ἤτοι εἵως μὲν ἔχεν πολυήρατος ἥβη,
Ἠοῖ τερπόμενος χρυσοθρόνῳ ἠριγενείῃ,
ναῖε παρ' Ὠκεανοῖο ῥοῇς ἐπὶ πείρασι γαίης·
αὐτὰρ ἐπεὶ πρῶται πολιαὶ κατέχυντο ἔθειραι
καλῆς ἐκ κεφαλῆς εὐηγενέος τε γενείου,
τοῦ δ' ἤτοι εὐνῆς μὲν ἀπείχετο πότνια Ἠώς,
αὐτὸν δ' αὖτ' ἀτίταλλεν ἐνὶ μεγάροισιν ἔχουσα,
σίτῳ τ' ἀμβροσίῃ τε καὶ εἵματα καλὰ διδοῦσα.
ἀλλ' ὅτε δὴ πάμπαν στυγερὸν κατὰ γῆρας ἔπειγεν,
οὐδέ τι κινῆσαι μελέων δύνατ' οὐδ' ἀναεῖραι,

ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
ἐν θαλάμῳ κατέθηκε, θύρας δ᾽ ἐπέθηκε φαεινάς.
τοῦ δ᾽ ἤτοι φωνὴ ῥεῖ ἄσπετος, οὐδέ τι κίκυς
ἔσθ᾽, οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
οὐκ ἂν ἔγωγέ σε τοῖον ἐν ἀθανάτοισιν ἑλοίμην
ἀθάνατόν τ᾽ εἶναι καὶ ζώειν ἤματα πάντα.
ἀλλ᾽ εἰ μὲν τοιοῦτος ἐὼν εἶδός τε δέμας τε
ζώοις, ἡμέτερός τε πόσις κεκλημένος εἴης,
οὐκ ἂν ἔπειτά μ᾽ ἄχος πυκινὰς φρένας ἀμφικαλύπτοι.
νῦν δέ σε μὲν τάχα γῆρας ὁμοίιον ἀμφικαλύψει
νηλειὲς, τό τ᾽ ἔπειτα παρίσταται ἀνθρώποισιν,
οὐλόμενον, καματηρὸν, ὅ τε στυγέουσι θεοί περ.
αὐτὰρ ἐμοὶ μέγ᾽ ὄνειδος ἐν ἀθανάτοισι θεοῖσιν
ἔσσεται ἤματα πάντα διαμπερὲς εἵνεκα σεῖο,
οἳ πρὶν ἐμοὺς ὀάρους καὶ μήτιας, αἷς ποτε πάντας
ἀθανάτους συνέμιξα καταθνητῇσι γυναιξὶ,
τάρβεσκον· πάντας γὰρ ἐμὸν δάμνασκε νόημα.
νῦν δὲ δὴ οὐκέτι μοι στόμα χείσεται ἐξονομῆναι
τοῦτο μετ᾽ ἀθανάτοισιν, ἐπεὶ μάλα πολλὸν ἀάσθην,
σχέτλιον, οὐκ ὀνομαστὸν, ἀπεπλάγχθην δὲ νόοιο,
παῖδα δ᾽ ὑπὸ ζώνῃ ἐθέμην βροτῷ εὐνηθεῖσα.
τὸν μὲν, ἐπὴν δὴ πρῶτον ἴδῃ φάος ἠελίοιο,
Νύμφαι μιν θρέψουσιν ὀρεσκῷοι βαθύκολποι,
αἳ τόδε ναιετάουσιν ὄρος μέγα τε ζάθεόν τε·
αἵ ῥ᾽ οὔτε θνητοῖς οὔτ᾽ ἀθανάτοισιν ἕπονται·
δηρὸν μὲν ζώουσι καὶ ἄμβροτον εἶδαρ ἔδουσι,
καί τε μετ᾽ ἀθανάτοισι καλὸν χορὸν ἐρρώσαντο.
τῇσι δὲ Σειληνοί τε καὶ εὔσκοπος Ἀργειφόντης
μίσγοντ᾽ ἐν φιλότητι μυχῷ σπείων ἐροέντων.
τῇσι δ᾽ ἅμ᾽ ἢ ἐλάται ἠὲ δρύες ὑψικάρηνοι
γεινομένῃσιν ἔφυσαν ἐπὶ χθονὶ βωτιανείρῃ,
καλαὶ, τηλεθάουσαι, ἐν οὔρεσιν ὑψηλοῖσιν·

[ἑστᾶσ' ἠλίβατοι· τεμένη δέ ἑ κικλήσκουσιν
ἀθανάτων· τὰς δ' οὔτι βροτοὶ κείρουσι σιδήρῳ·]
ἀλλ' ὅτε κεν δὴ μοῖρα παρεστήκῃ θανάτοιο,
ἀζάνεται μὲν πρῶτον ἐπὶ χθονὶ δένδρεα καλά,
φλοιὸς δ' ἀμφιπεριφθινύθει, πίπτουσι δ' ἄπ' ὄζοι,
τῶν δὲ θ' ὁμοῦ ψυχὴ λείπει φάος ἠελίοιο.
αἵ μὲν ἐμὸν θρέψουσι παρὰ σφίσιν υἱὸν ἔχουσαι.
σοὶ δ' ἐγώ, ὄφρα κε ταῦτα μετὰ φρεσὶ πάντα διέλθω,
ἐς πέμπτον ἔτος αὖτις ἐλεύσομαι υἱὸν ἄγουσα.
τὸν μὲν ἐπὴν δὴ πρῶτον ἴδῃς θάλος ὀφθαλμοῖσι,
γηθήσεις ὁρόων· μάλα γὰρ θεοείκελος ἔσται·
ἄξεις δ' αὐτίκα μιν ποτὶ Ἴλιον ἠνεμόεσσαν.
ἢν δέ τις εἴρηταί σε καταθνητῶν ἀνθρώπων,
ἥτις σοι φίλον υἱὸν ὑπὸ ζώνῃ θέτο μήτηρ,
τῷ δὲ σὺ μυθεῖσθαι μεμνημένος, ὥς σε κελεύω·
φάσθαι τοι Νύμφης καλυκώπιδος ἔκγονον εἶναι,
αἳ τόδε ναιετάουσιν ὄρος καταειμένον ὕλῃ.
εἰ δέ κεν ἐξείπῃς καὶ ἐπεύξεαι ἄφρονι θυμῷ,
ἐν φιλότητι μιγῆναι ἐϋστεφάνῳ Κυθερείῃ,
Ζεύς σε χολωσάμενος βαλέει ψολόεντι κεραυνῷ.
εἴρηταί τοι πάντα· σὺ δὲ φρεσὶ σῇσι νοήσας,
ἴσχεο μηδ' ὀνόμαινε, θεῶν δ' ἐποπίζεο μῆνιν.
Ὣς εἰποῦσ' ἤϊξε πρὸς οὐρανὸν ἠνεμόεντα.
Χαῖρε, θεά, Κύπροιο ἐϋκτιμένης μεδέουσα·
σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.

---

τὸν μὲν ἐπὴν δὴ πρῶτον ἕλῃ πολυήρατος ἥβη, 274
ἄξουσίν σοι δεῦρο θεαί, δείξουσί τε παῖδα.

# V.

## ΕΙΣ ΔΗΜΗΤΡΑΝ.

*Δήμητρ' ἠΰκομον, σεμνὴν θεὸν, ἄρχομ' ἀείδειν,*
*αὐτὴν ἠδὲ θύγατρα τανύσφυρον, ἣν Ἀϊδωνεὺς*
*ἥρπαξεν, δῶκεν δὲ βαρύκτυπος εὐρυόπα Ζεὺς,*
*νόσφιν Δήμητρος χρυσαόρου, ἀγλαοκάρπου,*
*παίζουσαν κούρῃσι σὺν Ὠκεανοῦ βαθυκόλποις,*
*ἄνθεά τ' αἰνυμένην, ῥόδα καὶ κρόκον ἠδ' ἴα καλὰ*
*λειμῶν' ἂμ μαλακὸν καὶ ἀγαλλίδας ἠδ' ὑάκινθον*
*νάρκισσόν θ', ὃν ἔφυσε δόλον καλυκώπιδι κούρῃ*
*Γαῖα Διὸς βουλῇσι χαριζομένη Πολυδέκτῃ,*
*θαυμαστὸν γανόωντα, σέβας δέ τε πᾶσιν ἰδέσθαι*
*ἀθανάτοις τε θεοῖς ἠδὲ θνητοῖς ἀνθρώποις·*
*τοῦ καὶ ἀπὸ ῥίζης ἑκατὸν κάρα ἐξεπεφύκει·*
*κηώδει δ' ὀδμῇ πᾶς τ' οὐρανὸς εὐρὺς ὕπερθε*
*γαῖά τε πᾶσ' ἐγέλασσε καὶ ἁλμυρὸν οἶδμα θαλάσσης.*
*ἡ δ' ἄρα θαμβήσασ' ὠρέξατο χερσὶν ἅμ' ἄμφω*
*καλὸν ἄθυρμα λαβεῖν· χάνε δὲ χθὼν εὐρυάγυια*
*Νύσιον ἂμ πεδίον, τῇ ὄρουσεν ἄναξ Πολυδέγμων*
*ἵπποις ἀθανάτοισι, Κρόνου πολυώνυμος υἱός.*
*ἁρπάξας δ' ἀέκουσαν ἐπὶ χρυσέοισιν ὄχοισιν*
*ἦγ' ὀλοφυρομένην· ἰάχησε δ' ἄρ' ὄρθια φωνῇ,*
*κεκλομένη πατέρα Κρονίδην ὕπατον καὶ ἄριστον.*
*οὐδέ τις ἀθανάτων οὐδὲ θνητῶν ἀνθρώπων*
*ἤκουσεν φωνῆς, οὐδ' ἀγλαόκαρποι Ἔλειαι·*
*εἰ μὴ Περσαίου θυγάτηρ ἀταλὰ φρονέουσα*
*ἄϊεν ἐξ ἄντρου, Ἑκάτη λιπαροκρήδεμνος,*
*Ἠέλιός τε ἄναξ, Ὑπερίονος ἀγλαὸς υἱὸς,*
*κούρης κεκλομένης πατέρα Κρονίδην· ὁ δὲ νόσφιν*
*ἧστο θεῶν ἀπάνευθε πολυλλίστῳ ἐνὶ νηῷ,*
*δέγμενος ἱερὰ καλὰ παρὰ θνητῶν ἀνθρώπων.*

*τὴν δ' ἀεκαζομένην ἦγεν Διὸς ἐννεσίῃσι*
*πατροκασίγνητος, πολυσημάντωρ πολυδέγμων,*
*ἵπποις ἀθανάτοισι, Κρόνου πολυώνυμος υἱός.*
*ὄφρα μὲν οὖν γαῖάν τε καὶ οὐρανὸν ἀστερόεντα*
*λεῦσσε θεὰ, καὶ πόντον ἀγάρροον ἰχθυόεντα,*
*αὐγάς τ' ἠελίου, ἔτι δ' ἤλπετο μητέρα κεδνὴν*
*ὄψεσθαι καὶ φῦλα θεῶν αἰειγενετάων·*
*τόφρα οἱ ἐλπὶς ἔθελγε μέγαν νόον ἀχνυμένης περ·*
* * *

*ἤχησαν δ' ὀρέων κορυφαὶ καὶ βένθεα πόντου*
*φωνῇ ὑπ' ἀθανάτῃ· τῆς δ' ἔκλυε πότνια μήτηρ.*
*ὀξὺ δέ μιν κραδίην ἄχος ἔλλαβεν, ἀμφὶ δὲ χαίταις*
*ἀμβροσίαις κρήδεμνα δαΐζετο χερσὶ φίλῃσι,*
*κυάνεον δὲ κάλυμμα κατ' ἀμφοτέρων βάλετ' ὤμων,*
*σεύατο δ', ὥστ' οἰωνὸς, ἐπὶ τραφερήν τε καὶ ὑγρὴν*
*μαιομένη· τῇ δ' οὔτις ἐτήτυμα μυθήσασθαι*
*ἤθελεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων,*
*οὐδέ οἱ οἰωνῶν τις ἐτήτυμος ἄγγελος ἦλθεν.*
*ἐννῆμαρ μὲν ἔπειτα κατὰ χθόνα πότνια Δηὼ*
*στρωφᾶτ', αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα,*
*οὐδέ ποτ' ἀμβροσίης καὶ νέκταρος ἡδυπότοιο*
*πάσσατ' ἀκηχεμένη, οὐδὲ χρόα βάλλετο λουτροῖς.*
*ἀλλ' ὅτε δὴ δεκάτη οἱ ἐπήλυθε φαινολὶς Ἠώς,*
*ἤντετό οἱ Ἑκάτη, σέλας ἐν χείρεσσιν ἔχουσα,*
*καί ῥά οἱ ἀγγελέουσα ἔπος φάτο φώνησέν τε·*
*Πότνια Δημήτηρ, ὡρηφόρε, ἀγλαόδωρε,*
*τίς θεῶν οὐρανίων ἠὲ θνητῶν ἀνθρώπων*
*ἥρπασε Περσεφόνην, καὶ σὸν φίλον ἤκαχε θυμόν;*
*φωνῆς γὰρ ἤκουσ', ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν,*
*ὅστις ἔην· σοὶ δ' ὦκα λέγω νημερτέα πάντα*
* * *

*Ὡς ἄρ' ἔφη Ἑκάτη· τὴν δ' οὐκ ἠμείβετο μύθῳ*

Ῥείης ἠϋκόμου θυγάτηρ, ἀλλ' ὦκα σὺν αὐτῇ
ἤϊξ', αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα.
Ἠέλιον δ' ἵκοντο, θεῶν σκοπὸν ἠδὲ καὶ ἀνδρῶν·
στὰν δ' ἵππων προπάροιθε, καὶ εἴρετο δῖα θεάων·
Ἠέλι', αἴδεσσαί με θεὰς ὕπερ, εἴ ποτε δή σευ
ἢ ἔπει ἢ ἔργῳ κραδίην καὶ θυμὸν ἴηνα·
κούρην, τὴν ἔτεκον, γλυκερὸν θάλος, εἴδεϊ κυδρήν,
τῆς ἀδινὴν ὄπ' ἄκουσα δι' αἰθέρος ἀτρυγέτοιο,
ὥστε βιαζομένης, ἀτὰρ οὐκ ἴδον ὀφθαλμοῖσιν.
ἀλλὰ, σὺ γὰρ δὴ πᾶσαν ἐπὶ χθόνα καὶ κατὰ πόντον
αἰθέρος ἐκ δίης καταδέρκεαι ἀκτίνεσσι,
νημερτέως μοι ἔνισπε φίλον τέκος, εἴ που ὄπωπας,
ὅστις νόσφιν ἐμεῖο λαβὼν ἀέκουσαν ἀνάγκῃ
οἴχεται ἠὲ θεῶν ἢ καὶ θνητῶν ἀνθρώπων.
Ὣς φάτο· τὴν δ' Ὑπεριονίδης ἠμείβετο μύθῳ·
Ῥείης ἠϋκόμου θύγατερ, Δήμητερ ἄνασσα,
εἰδήσεις· δὴ γὰρ μέγα ἅζομαι ἠδ' ἐλεαίρω
ἀχνυμένην περὶ παιδὶ τανυσφύρῳ· οὐδέ τις ἄλλος
αἴτιος ἀθανάτων, εἰ μὴ νεφεληγερέτα Ζεὺς,
ὅς μιν ἔδωκ' Ἀΐδῃ θαλερὴν κεκλῆσθαι ἄκοιτιν
αὐτοκασιγνήτῳ· ὁ δ' ὑπὸ ζόφον ἠερόεντα
ἁρπάξας ἵπποισιν ἄγεν μεγάλα ἰάχουσαν.
ἀλλὰ, θεὰ, κατάπαυε μέγαν γόον [οὐδέ τι σε χρὴ
μὰψ αὔτως ἄπλητον ἔχειν χόλον·] οὔ τοι ἀεικὴς
γαμβρὸς ἐν ἀθανάτοις πολυσημάντωρ Ἀϊδωνεὺς,
αὐτοκασίγνητος καὶ ὁμόσπορος· ἀμφὶ δὲ τιμὴν
ἔλλαχεν, ὡς τὰ πρῶτα διάτριχα δασμὸς ἐτύχθη,
τοῖς μεταναιετάει, τῶν ἔλλαχε κοίρανος εἶναι.
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὀμοκλῆς
ῥίμφ' ἔφερον θοὸν ἅρμα, τανύπτεροι ὥστ' οἰωνοί.
τὴν δ' ἄχος αἰνότερον καὶ κύντερον ἵκετο θυμόν.
χωσαμένη δὴ ἔπειτα κελαινεφέϊ Κρονίωνι

νοσφισθεῖσα θεῶν ἀγορὴν καὶ μακρὸν Ὄλυμπον
ᾤχετ' ἐπ' ἀνθρώπων πόλιας καὶ πίονα ἔργα,
εἶδος ἀμαλδύνουσα πολὺν χρόνον· οὐδέ τις ἀνδρῶν
εἰσορόων γίνωσκε βαθυζώνων τε γυναικῶν,
πρίν γ' ὅτε δὴ Κελεοῖο δαΐφρονος ἵκετο δῶμα,
ὃς τότ' Ἐλευσῖνος θυοέσσης κοίρανος ἦεν.
ἕζετο δ' ἐγγὺς ὁδοῖο φίλον τετιημένη ἦτορ,
Παρθενίῳ φρέατι, ὅθεν ὑδρεύοντο πολῖται,
ἐν σκιῇ, αὐτὰρ ὕπερθε πεφύκει θάμνος ἐλαίης,
γρηΐ παλαιγενέϊ ἐναλίγκιος, ἥ τε τόκοιο
εἴργηται δώρων τε φιλοστεφάνου Ἀφροδίτης,
οἷαί τε τροφοὶ εἰσὶ θεμιστοπόλων βασιλήων
παίδων καὶ ταμίαι κατὰ δώματα ἠχήεντα.
τὴν δὲ ἴδον Κελεοῖο Ἐλευσινίδαο θύγατρες,
ἐρχόμεναι μεθ' ὕδωρ εὐήρυτον, ὄφρα φέροιεν
κάλπισι χαλκείῃσι φίλα πρὸς δώματα πατρὸς,
τέσσαρες, ὥστε θεαὶ, κουρήϊον ἄνθος ἔχουσαι,
Καλλιδίκη καὶ Κλεισιδίκη Δημώ τ' ἐρόεσσα
Καλλιθόη θ', ἣ τῶν προγενεστάτη ἦεν ἁπασῶν·
οὐδ' ἔγνων· χαλεποὶ δὲ θεοὶ θνητοῖσιν ὁρᾶσθαι.
ἀγχοῦ δ' ἱστάμεναι ἔπεα πτερόεντα προσηύδων·
Τίς πόθεν ἐσσὶ γρηῢ παλαιγενέων ἀνθρώπων;
τίπτε δὲ νόσφι πόληος ἀπέστιχες, οὐδὲ δόμοισι
πιλνᾷ; ἔνθα γυναῖκες ἀνὰ μέγαρα σκιόεντα
τηλίκαι, ὡς σύ περ ὧδε, καὶ ὁπλότεραι γεγάασιν,
αἵ κέ σε φίλωνται ἠμὲν ἔπει ἠδὲ καὶ ἔργῳ.
Ὣς ἔφαν· ἡ δ' ἐπέεσσιν ἀμείβετο πότνα θεάων·
τέκνα φίλ', αἵτινες ἐστὲ γυναικῶν θηλυτεράων,
χαίρετ'· ἐγὼ δ' ὑμῖν μυθήσομαι· οὔ τοι ἀεικὲς
ὑμῖν εἰρομένῃσιν ἀληθέα μυθήσασθαι.
Δὼς μὲν ἐμοί γ' ὄνομ' ἐστί· τὸ γὰρ θέτο πότνια μήτηρ.
νῦν αὖτε Κρήτηθεν ἐπ' εὐρέα νῶτα θαλάσσης

ἤλυθον οὐκ ἐθέλουσα, βίῃ δ' ἀέκουσαν ἀνάγκῃ
ἄνδρες ληιστῆρες ἀπήγαγον. οἱ μὲν ἔπειτα
νηῒ θοῇ Θορικόνδε κατέσχεθον, ἔνθα γυναῖκες
ἠπείρου ἐπέβησαν ἀολλέες, ἠδὲ καὶ αὐτοί·
δεῖπνον δ' ἠρτύνοντο παρὰ πρυμνήσια νηός·
ἀλλ' ἐμοὶ οὐ δόρποιο μελίφρονος ἤρατο θυμός·
λάθρῃ δ' ὁρμηθεῖσα δι' ἠπείροιο μελαίνης,
φεῦγον ὑπερφιάλους σημάντορας, ὄφρα κε μή με
ἀπριάτην περάσαντες ἐμῆς ἀποναίατο τιμῆς.
οὕτω δεῦρ' ἱκόμην ἀλαλημένη, οὐδέ τι οἶδα,
ἥτις δὴ γαῖ' ἐστὶ, καὶ οἵτινες ἐγγεγάασιν.
ἀλλ' ὑμῖν μὲν πάντες Ὀλύμπια δώματ' ἔχοντες
δοῖεν κουριδίους ἄνδρας, καὶ τέκνα τεκέσθαι,
ὡς ἐθέλουσι τοκῆες· ἐμὲ δ' αὖτ' οἰκτείρατε, κοῦραι,
προφρονέως, φίλα τέκνα, τέως πρὸς δώμαθ' ἵκωμαι
ἀνέρος ἠδὲ γυναικὸς, ἵνα σφίσιν ἐργάζωμαι
πρόφρων, οἷα γυναικὸς ἀφήλικος ἔργα τέτυκται.
καί κεν παῖδα νεογνὸν ἐν ἀγκοίνῃσιν ἔχουσα
καλὰ τιθηνοίμην, καὶ δώματα τηρήσαιμι,
καί κε λέχος στορέσαιμι μυχῷ θαλάμων εὐπήκτων
δεσπόσυνον, καί κ' ἔργα διδασκήσαιμι γυναῖκας.
Φῆ ῥα θεά· τὴν δ' αὐτίκ' ἀμείβετο παρθένος ἀδμὴς,
Καλλιδίκη, Κελεοῖο θυγατρῶν εἶδος ἀρίστη·
Μαῖα, θεῶν μὲν δῶρα καὶ ἀχνύμενοί περ ἀνάγκῃ
τέτλαμεν ἄνθρωποι· δὴ γὰρ πολὺ φέρτεροί εἰσιν.
ταῦτα δέ τοι σαφέως ὑποθήσομαι, ἠδ' ὀνομήνω
ἀνέρας, οἷσιν ἔπεστι μέγα κράτος ἐνθάδε τιμῆς,
δήμου τε προὔχουσιν, ἰδὲ κρήδεμνα πόληος
εἰρύαται βουλῇσι καὶ ἰθείῃσι δίκῃσιν·
ἠμὲν Τριπτολέμου πυκιμήδεος ἠδὲ Διόκλου
ἠδὲ Πολυξείνου καὶ ἀμύμονος Εὐμόλποιο
καὶ Δολίχου καὶ πατρὸς ἀγήνορος ἡμετέροιο.

τῶν πάντων ἄλοχοι κατὰ δώματα πορσαίνουσιν·
τάων οὐκ ἄν τίς σε κατὰ πρώτιστον ὀπωπὴν
εἶδος ἀτιμήσασα δόμων ἀπονοσφίσσειεν,
ἀλλά σε δέξονται· δὴ γὰρ θεοείκελός ἐσσι.
εἰ δὲ θέλεις, ἐπίμεινον, ἵνα πρὸς δώματα πατρὸς
ἔλθωμεν καὶ μητρὶ βαθυζώνῳ Μετανείρῃ
εἴπωμεν τάδε πάντα διαμπερὲς, αἴ κέ σ' ἀνώγῃ
ἡμέτερόνδ' ἰέναι μηδ' ἄλλων δώματ' ἐρευνᾷν.
τηλύγετος δέ οἱ υἱὸς ἐνὶ μεγάρῳ εὐπήκτῳ
ὀψίγονος τρέφεται, πολυεύχετος ἀσπάσιός τε.
εἰ τόν γ' ἐκθρέψαιο, καὶ ἥβης μέτρον ἵκοιτο,
ῥεῖά κε τίς σε ἰδοῦσα γυναικῶν θηλυτεράων
ζηλώσαι· τόσα κέν τοι ἀπὸ θρεπτήρια δοίη.
Ὣς ἔφαθ'· ἡ δ' ἐπένευσε καρήατι· ταὶ δὲ φαεινὰ
πλησάμεναι ὕδατος φέρον ἄγγεα κυδιάουσαι.
ῥίμφα δὲ πατρὸς ἵκοντο μέγαν δόμον, ὦκα δὲ μητρὶ
ἔννεπον, ὡς εἶδόν τε καὶ ἔκλυον. ἡ δὲ μάλ' ὦκα
ἐλθούσας ἐκέλευε καλεῖν ἐπ' ἀπείρονι μισθῷ.
αἱ δ' ὥστ' ἢ ἔλαφοι ἢ πόρτιες εἴαρος ὥρῃ
ἅλλοντ' ἂν λειμῶνα κορεσσάμεναι φρένα φορβῇ,
ὣς αἳ ἐπισχόμεναι ἑανῶν πτύχας ἱμεροέντων
ἤϊξαν κοίλην κατ' ἀμαξιτόν· ἀμφὶ δὲ χαῖται
ὤμοις ἀΐσσοντο κροκηΐῳ ἄνθει ὁμοῖαι.
τέτμον δ' ἐγγὺς ὁδοῦ κυδρὴν θεὸν, ἔνθα πάρος περ
κάλλιπον· αὐτὰρ ἔπειτα φίλα πρὸς δώματα πατρὸς
ἡγεῦνθ'· ἡ δ' ἄρ' ὄπισθε φίλον τετιημένη ἦτορ
στεῖχε κατὰ κρῆθεν κεκαλυμμένη· ἀμφὶ δὲ πέπλος
κυάνεος ῥαδινοῖσι θεῆς ἐλελίζετο ποσσίν.
εἶψα δὲ δώμαθ' ἵκοντο διοτρεφέος Κελεοῖο,
βὰν δὲ δι' αἰθούσης, ἔνθα σφίσι πότνια μήτηρ
ἧστο παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
παῖδ' ὑπὸ κόλπῳ ἔχουσα, νέον θάλος· αἱ δὲ παρ' αὐτὴν

ἔδραμον· ἡ δ' ἄρ' ἐπ' οὐδὸν ἔβη ποσὶ, καί ῥα μελάθρου
κῦρε κάρη, πλῆσεν δὲ θύρας σέλαος θείοιο.
τὴν δ' αἰδώς τε σέβας τε ἰδὲ χλωρὸν δέος εἷλεν·
εἶξε δέ οἱ κλισμοῖο καὶ ἑδριάασθαι ἄνωγεν.
ἀλλ' οὐ Δημήτηρ ὡρηφόρος ἀγλαόδωρος
ἤθελεν ἑδριάασθαι ἐπὶ κλισμοῖο φαεινοῦ,
ἀλλ' ἀκέουσα ἔμιμνε, κατ' ὄμματα καλὰ βαλοῦσα,
πρίν γ' ὅτε δή οἱ ἔθηκεν Ἰάμβη κέδν' εἰδυῖα
πηκτὸν ἕδος, καθύπερθε δ' ἐπ' ἀργύφεον βάλε κῶας.
ἔνθα καθεζομένη προκατέσχετο χερσὶ καλύπτρην·
δηρὸν δ' ἄφθογγος τετιημένη ἧστ' ἐπὶ δίφρου,
οὐδέ τιν' οὔτ' ἔπεϊ προσπτύσσετο οὔτε τι ἔργῳ,
ἀλλ' ἀγέλαστος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος,
ἧστο, πόθῳ μινύθουσα βαθυζώνοιο θυγατρὸς,
πρίν γ' ὅτε δὴ χλεύῃς μιν Ἰάμβη κέδν' εἰδυῖα
πολλὰ παρασκώπτουσ' ἐτρέψατο πότνιαν, ἁγνὴν,
μειδῆσαι γελάσαι τε καὶ ἵλαον σχεῖν θυμόν·
ἢ δή οἱ καὶ ἔπειτα μεθύστερον εὔαδεν ὀργαῖς.
τῇ δὲ δέπας Μετάνειρα δίδου μελιηδέος οἴνου
πλήσασ'· ἡ δ' ἀνένευσ'· οὐ γὰρ θεμιτόν οἱ ἔφασκε
πίνειν οἶνον ἐρυθρόν· ἄνωγε δ' ἄρ' ἄλφι καὶ ὕδωρ
δοῦναι μίξασαν πιέμεν γλήχωνι τερείνῃ.
ἡ δὲ κυκεῶ τεύξασα θεᾷ πόρεν, ὡς ἐκέλευε·
δεξαμένη δ' ὁσίης ἐπέβη πολυπότνια Δηώ.
τῇσι δὲ μύθων ἦρχεν ἐΰζωνος Μετάνειρα·
Χαῖρε, γύναι, ἐπεὶ οὔ σε κακῶν ἄπ' ἔολπα τοκήων
ἔμμεναι, ἀλλ' ἀγαθῶν· ἐπί τοι πρέπει ὄμμασιν αἰδὼς
καὶ χάρις, ὡσεί πέρ τε θεμιστοπόλων βασιλήων.
ἀλλὰ θεῶν μὲν δῶρα καὶ ἀχνύμενοί περ ἀνάγκῃ
τέτλαμεν ἄνθρωποι· ἐπὶ γὰρ ζυγὸς αὐχένι κεῖται.
νῦν δ', ἐπεὶ ἵκεο δεῦρο, παρέσσεται, ὅσσα τ' ἐμοί περ.
παῖδα δέ μοι τρέφε τόνδε, τὸν ὀψίγονον καὶ ἄελπτον

*ὤπασαν ἀθάνατοι, πολυάρητος δέ μοι ἐστίν.*
*εἴ τόν γ' ἐκθρέψαιο, καὶ ἥβης μέτρον ἵκοιτο,*
*ἦ ῥά κε τίς σε ἰδοῦσα γυναικῶν θηλυτεράων*
*ζηλώσαι· τόσα κέν τοι ἀπὸ θρεπτήρια δοίην.*
*Τὴν δ' αὖτε προσέειπεν ἐϋστέφανος Δημήτηρ·*
*καὶ σὺ, γύναι, μάλα χαῖρε, θεοί δέ τοι ἐσθλὰ πόροιεν.*
*παῖδα δέ τοι πρόφρων ὑποδέξομαι, ὥς με κελεύεις*
*θρέψασθ'· οὔ μιν, ἔολπα, κακοφραδίῃσι τιθήνης*
*οὔτ' ἄρ' ἐπηλυσίη δηλήσεται οὔτε τομαῖον·*
*οἶδα γὰρ ἀντίτομον μέγα φέρτερον ὑλοτόμοιο,*
*οἶδα δ' ἐπηλυσίης πολυπήμονος ἐσθλὸν ἐρυσμόν.*
*Ὣς ἄρα φωνήσασα θυώδεϊ δέξατο κόλπῳ*
*χερσίν τ' ἀθανάτῃσι· γεγήθει δὲ φρένα μήτηρ.*
*ὣς ἡ μὲν Κελεοῖο δαΐφρονος ἀγλαὸν υἱὸν,*
*Δημοφόωνθ', ὃν ἔτικτεν ἐΰζωνος Μετάνειρα,*
*ἔτρεφεν ἐν μεγάροις· ὁ δ' ἀέξετο δαίμονι ἶσος,*
*οὔτ' οὖν σῖτον ἔδων, οὐ θησάμενος [γάλα μητρός·*
*ἀλλὰ γὰρ ἤματα μέν μιν ἐϋστέφανος] Δημήτηρ* 236 b.
*χρίεσκ' ἀμβροσίῃ, ὡσεὶ θεοῦ ἐκγεγαῶτα,*
*ἡδὺ καταπνείουσα καὶ ἐν κόλποισιν ἔχουσα·*
*νύκτας δὲ κρύπτεσκε πυρὸς μένει, ἠΰτε δαλόν,*
*λάθρα φίλων γονέων· τοῖς δὲ μέγα θαῦμ' ἐτέτυκτο,*
*ὡς προθαλὴς τελέθεσκε, θεοῖσι δὲ ἄντα ἐῴκει.*
*καί κέν μιν ποίησεν ἀγήρων τ' ἀθάνατόν τε,*
*εἰ μὴ ἄρ' ἀφραδίῃσιν ἐΰζωνος Μετάνειρα*
*νύκτ' ἐπιτηρήσασα θυώδεος ἐκ θαλάμοιο*
*σκέψατο· κώκυσεν δὲ καὶ ἄμφω πλήξατο μηρὼ*
*δείσασ' ᾧ περὶ παιδὶ καὶ ἀάσθη μέγα θυμῷ,*
*καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·*
*Τέκνον Δημοφόων, ξείνη σε πυρὶ ἔνι πολλῷ*
*κρύπτει, ἐμοὶ δὲ γόον καὶ κήδεα λυγρὰ τίθησιν.*
*Ὣς φάτ' ὀδυρομένη· τῆς δ' ἄϊε δῖα θεάων.*

τῇ δὲ χολωσαμένη καλλιστέφανος Δημήτηρ
παῖδα φίλον, τὸν ἄελπτον ἐνὶ μεγάροισιν ἔτικτε,
χείρεσσ' ἀθανάτῃσιν ἀπὸ ἕο θῆκε πέδονδε,
ἐξανελοῦσα πυρὸς, θυμῷ κοτέσασα μάλ' αἰνῶς,
καί ῥ' ἄμυδις προσέειπεν ἐΰζωνον Μετάνειραν·
Νήϊδες ἄνθρωποι, ἀφράδμονες οὔτ' ἀγαθοῖο
αἶσαν ἐπερχομένου προγνώμεναι οὔτε κακοῖο·
καὶ σὺ γὰρ ἀφραδίῃσι τεῇς νήκεστον ἀάσθης.
ἴστω γὰρ θεῶν ὅρκος, ἀμείλικτον Στυγὸς ὕδωρ,
ἀθάνατον κέν τοι καὶ ἀγήραον ἤματα πάντα
παῖδα φίλον ποίησα καὶ ἄφθιτον ὤπασα τιμήν·
νῦν δ' οὐκ ἔσθ', ὥς κεν θάνατον καὶ κῆρας ἀλύξαι·
τιμὴ δ' ἄφθιτος αἰὲν ἐπέσσεται, οὕνεκα γουνῶν
ἡμετέρων ἐπέβη καὶ ἐν ἀγκοίνῃσιν ἴαυσεν.
ὥρῃσιν δ' ἄρα τοῦγε, περιπλομένων ἐνιαυτῶν,
παῖδες Ἐλευσινίων πόλεμον καὶ φύλοπιν αἰνὴν
αἰὲν Ἀθηναίοισι συνάξουσ' ἤματα πάντα.

* * *

εἰμὶ δὲ Δημήτηρ τιμάοχος, ἥτε μέγιστον
ἀθανάτοις θνητοῖσί τ' ὄναρ καὶ χάρμα τέτυκται.
ἀλλ' ἄγε μοι νηόν τε μέγαν καὶ βωμὸν ὑπ' αὐτῷ
τευχόντων πᾶς δῆμος ὑπαὶ πόλιν αἰπύ τε τεῖχος,
Καλλιχόρου καθύπερθεν, ἐπὶ προὔχοντι κολωνῷ.
ὄργια δ' αὐτὴ ἐγὼν ὑποθήσομαι, ὡς ἂν ἔπειτα
εὐαγέως ἔρδοντες ἐμὸν νόον ἱλάσκοισθε.
Ὣς εἰποῦσα θεὰ μέγεθος καὶ εἶδος ἄμειψε,
γῆρας ἀπωσαμένη, περί τ' ἀμφί τε κάλλος ἄητο·
ὀδμὴ δ' ἱμερόεσσα θυηέντων ἀπὸ πέπλων
σκίδνατο, τῆλε δὲ φέγγος ἀπὸ χροὸς ἀθανάτοιο
λάμπε θεῆς, ξανθαὶ δὲ κόμαι κατενήνοθεν ὤμους,
αὐγῆς δ' ἐπλήσθη πυκινὸς δόμος, ἀστεροπῆς ὥς·
βῆ δὲ διὲκ μεγάρων· τῆς δ' αὐτίκα γούνατ' ἔλυντο,

δηρὸν δ' ἄφθογγος γένετο χρόνον, οὐδέ τι παιδὸς
μνήσατο τηλυγέτοιο ἀπὸ δαπέδου ἀνελέσθαι.
τοῦ δὲ κασίγνηται φωνὴν ἐσάκουσαν ἐλεινήν,
κὰδ δ' ἄρ' ἀπ' εὐστρώτων λεχέων θόρον· ἡ μὲν ἔπειτα
παῖδ' ἀνὰ χερσὶν ἑλοῦσα ἑῷ ἐγκάτθετο κόλπῳ·
ἡ δ' ἄρα πῦρ ἀνέκαι'· ἡ δ' ἔσσυτο πόσσ' ἁπαλοῖσι,
μητέρ' ἀναστήσουσα θυώδεος ἐκ θαλάμοιο.
ἀγρόμεναι δέ μιν ἀμφὶς ἐλούεον ἀσπαίροντα
ἀμφαγαπαζόμεναι· τοῦ δ' οὐ μειλίσσετο θυμός·
χειρότεραι γὰρ δή μιν ἔχον τροφοὶ ἠδὲ τιθῆναι.
Αἳ μὲν παννύχιαι κυδρὴν θεὸν ἱλάσκοντο,
δείματι παλλόμεναι· ἅμα δ' ἠοῖ φαινομένηφιν
εὐρυβίῃ Κελεῷ νημερτέα μυθήσαντο,
ὡς ἐπέτελλε θεά, καλλιστέφανος Δημήτηρ.
αὐτὰρ ὅγ' εἰς ἀγορὴν καλέσας πολυπείρονα λαὸν
ἤνωγ' ἠϋκόμῳ Δημήτερι πίονα νηὸν
ποιῆσαι καὶ βωμὸν ἐπὶ προὔχοντι κολωνῷ.
οἱ δὲ μάλ' αἶψ' ἐπίθοντο καὶ ἔκλυον αὐδήσαντος,
τεῦχον δ', ὡς ἐπέτελλ'· ὁ δ' ἀέξετο δαίμονος αἴσῃ·
αὐτὰρ ἐπεὶ τέλεσαν καὶ ἐρώησαν καμάτοιο,
βάν ῥ' ἴμεν οἶκαδ' ἕκαστος· ἀτὰρ ξανθὴ Δημήτηρ
ἔνθα καθεζομένη μακάρων ἀπὸ νόσφιν ἁπάντων,
μίμνε πόθῳ μινύθουσα βαθυζώνοιο θυγατρός.
αἰνότατον δ' ἐνιαυτὸν ἐπὶ χθόνα πουλυβότειραν
ποίησ' ἀνθρώποις καὶ κύντατον, οὐδέ τι γαῖα
σπέρμ' ἀνίει· κρύπτεν γὰρ ἐϋστέφανος Δημήτηρ.
πολλὰ δὲ καμπύλ' ἄροτρα μάτην βόες εἷλκον ἀρούραις·
πολλὸν δὲ κρῖ λευκὸν ἐτώσιον ἔμπεσε γαίῃ.
καί νύ κε πάμπαν ὄλεσσε γένος μερόπων ἀνθρώπων
λιμοῦ ὑπ' ἀργαλέης, γεράων τ' ἐρικυδέα τιμὴν
καὶ θυσιῶν ἤμερσεν Ὀλύμπια δώματ' ἔχοντας,
εἰ μὴ Ζεὺς ἐνόησεν ἑῷ τ' ἐφράσσατο θυμῷ.

*Ἶριν δὲ πρῶτον χρυσόπτερον ὦρσε καλέσσαι*
*Δήμητρ' ἠΰκομον, πολυήρατον εἶδος ἔχουσαν.*
*ὣς ἔφαθ'· ἡ δὲ Ζηνὶ κελαινεφέϊ Κρονίωνι*
*πείθετο καὶ τὸ μεσηγὺ διέδραμεν ὦκα πόδεσσιν.*
*ἵκετο δὲ πτολίεθρον Ἐλευσῖνος θυοέσσης,*
*εὗρεν δ' ἐν νηῷ Δημήτερα κυανόπεπλον,*
*καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·*
*Δήμητερ, καλέει σε πατὴρ Ζεὺς ἄφθιτα εἰδὼς*
*ἐλθέμεναι μετὰ φῦλα θεῶν αἰειγενετάων.*
*ἀλλ' ἴθι, μηδ' ἀτέλεστον ἐμὸν ἔπος ἐκ Διὸς ἔστω.*
*Ὣς φάτο λισσομένη· τῆς δ' οὐκ ἐπεπείθετο θυμός.*
*αὖτις ἔπειτα πατὴρ μάκαρας θεοὺς αἰὲν ἐόντας*
*πάντας ἐπιπροΐαλλεν· ἀμοιβηδὶς δὲ κιόντες*
*κίκλησκον καὶ πολλὰ δίδον περικαλλέα δῶρα,*
*τιμάς θ', ἃς κεν ἕλοιτο μετ' ἀθανάτοισιν ἑλέσθαι·*
*ἀλλ' οὔτις πεῖσαι δύνατο φρένας ἠδὲ νόημα*
*θυμῷ χωομένης· στερεῶς δ' ἠναίνετο μύθους.*
*οὐ μὲν γάρ ποτ' ἔφασκε θυώδεος Οὐλύμποιο*
*πρίν γ' ἐπιβήσεσθαι, οὐ πρὶν γῆς καρπὸν ἀνήσειν,*
*πρὶν ἴδοι ὀφθαλμοῖσιν ἑὴν εὐώπιδα κούρην.*
*Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε βαρύκτυπος εὐρύοπα Ζεὺς,*
*εἰς Ἔρεβος πέμψε χρυσόρραπιν Ἀργειφόντην,*
*ὄφρ' Ἀΐδην μαλακοῖσι παραιφάμενος ἐπέεσσιν*
*ἁγνὴν Περσεφόνειαν ὑπὸ ζόφου ἠερόεντος*
*ἐς φάος ἐξαγάγοι μετὰ δαίμονας, ὄφρα ἑ μήτηρ*
*ὀφθαλμοῖσιν ἰδοῦσα μεταλλήξειε χόλοιο.*
*Ἑρμῆς δ' οὐκ ἀπίθησεν, ἄφαρ δ' ὑπὸ κεύθεα γαίης*
*ἐσσυμένως κατόρουσε, λιπὼν ἕδος Οὐλύμποιο.*
*τέτμε δὲ τόν γε ἄνακτα δόμων ἔντοσθεν ἐόντα,*
*ἥμενον ἐν λεχέεσσι σὺν αἰδοίῃ παρακοίτι,*
*πόλλ' ἀεκαζομένῃ μητρὸς πόθῳ· ἡ δ' ἔτ' ἄτλητον*
*ὀργισθεῖσα θεῶν μακάρων μηνίετο βουλῇ.*

*ἀγχοῦ δ' ἱστάμενος προσέφη κρατὺς Ἀργειφόντης·*
*"Αιδη κυανοχαῖτα, καταφθιμένοισιν ἀνάσσων,*
*Ζεύς με πατὴρ ἤνωγεν ἀγαυὴν Περσεφόνειαν*
*ἐξαγαγεῖν Ἐρέβευσφι μετὰ σφέας, ὄφρα ἑ μήτηρ*
*ὀφθαλμοῖσιν ἰδοῦσα χόλου καὶ μήνιος αἰνῆς*
*ἀθανάτοις παύσειεν· ἐπεὶ μέγα μήδεται ἔργον,*
*φθῖσαι φῦλ' ἀμενηνὰ χαμαιγενέων ἀνθρώπων,*
*σπέρμ' ὑπὸ γῆς κρύπτουσα, καταφθινύθουσα δὲ τιμὰς*
*ἀθανάτων· ἡ δ' αἰνὸν ἔχει χόλον, οὐδὲ θεοῖσι*
*μίσγεται, ἀλλ' ἀπάνευθε θυώδεος ἔνδοθι νηοῦ*
*ἧσται, Ἐλευσῖνος κραναὸν πτολίεθρον ἔχουσα.*
*Ὣς φάτο· μείδησεν δὲ ἄναξ ἐνέρων Ἀϊδωνεὺς*
*ὀφρύσιν, οὐδ' ἀπίθησε Διὸς βασιλῆος ἐφετμῆς.*
*ἐσσυμένως δ' ἐκέλευσε δαΐφρονι Περσεφονείῃ·*
*"Ἔρχεο, Περσεφόνη, παρὰ μητέρα κυανόπεπλον,*
*ἤπιον ἐν στήθεσσι μένος καὶ θυμὸν ἔχουσα,*
*μηδέ τι δυσθύμαινε λίην περιώσιον ἄλλων.*
*οὔ τοι ἐν ἀθανάτοισιν ἀεικὴς ἔσσομ' ἀκοίτης,*
*αὐτοκασίγνητος πατρὸς Διός· ἔνθα δ' ἐοῦσα*
*δεσπόσσεις πάντων, ὁπόσα ζώει τε καὶ ἕρπει,*
*τιμὰς δὲ σχήσεισθα μετ' ἀθανάτοισι μεγίστας.*
*τῶν δ' ἀδικησάντων τίσις ἔσσεται ἤματα πάντα,*
*οἵ κεν μὴ θυσίαισι τεὸν μένος ἱλάσκωνται,*
*εὐαγέως ἔρδοντες, ἐναίσιμα δῶρα τελοῦντες.*
*Ὣς φάτο· γήθησεν δὲ περίφρων Περσεφόνεια,*
*καρπαλίμως δ' ἀνόρουσ' ὑπὸ χάρματος· αὐτὰρ ὅγ' Ἀιδης*
*ῥοιῆς κόκκον ἔδωκε φαγεῖν μελιηδέα, λάθρῃ*
*ἀμφὶ ἑ νωμήσας, ἵνα μὴ μένοι ἤματα πάντα*
*αὖθι παρ' αἰδοίῃ Δημήτερι κυανοπέπλῳ.*
*ἵππους δὲ προπάροιθεν ὑπὸ χρυσέοισιν ὄχεσφιν*
*ἔντυεν ἀθανάτους πολυσημάντωρ Ἀϊδωνεύς.*
*ἡ δ' ὀχέων ἐπέβη, παρὰ δὲ κρατὺς Ἀργειφόντης*

ἡνία καὶ μάστιγα λαβὼν μετὰ χερσὶ φίλῃσι
σεῦε διὲκ μεγάρων· τὼ δ' οὐκ ἄκοντε πετέσθην.
ῥίμφα δὲ μακρὰ κέλευθα διήνυσαν· οὐδὲ θάλασσα
οὔθ' ὕδωρ ποταμῶν οὔτ' ἄγκεα ποιήεντα
ἵππων ἀθανάτων οὔτ' ἄκριες ἔσχεθον ὁρμήν,
ἀλλ' ὑπὲρ αὐτάων βαθὺν ἠέρα τέμνον ἰόντες.
στῆσε δ' ἄγων, ὅθι μίμνεν ἐΰστέφανος Δημήτηρ,
νηοῖο προπάροιθε θυώδεος· ἡ δὲ ἰδοῦσα
ἤιξ', ἠΰτε μαινὰς ὄρος κάτα δάσκιον ὕλῃ.
Περσεφόνη δ' ἑτέρω * * * * *
μητρὸς ἑῆς κατ * * * * * *
ἆλτο θέειν * * * * * * *
τῇδε * * * * * * * *
ἀ * * * * * * * *
* * * * * * * * *
τέκνον, μή ῥά τι μ * * * * *
βρώμης· ἐξαύδ * * * * * *
ὣς μὲν γάρ κε νέουσ * * * * *
καὶ παρ' ἐμοὶ καὶ πατρὶ κελαινεφέϊ Κρονίωνι
ναιετάοις πάντεσσι τετιμένη ἀθανάτοισι.
εἰ δ' ἐπάσω, πάλιν αὖτις ἰοῦσ' ὑπὸ κεύθεσι γαίης
οἰκήσεις ὡρῶν τρίτατον μέρος εἰς ἐνιαυτόν,
τὰς δὲ δύω παρ' ἐμοί τε καὶ ἄλλοις ἀθανάτοισιν.
ὁππότε δ' ἄνθεσι γαῖ' εὐώδεσιν εἰαρινοῖσι
παντοδαποῖς θάλλει, τόθ' ὑπὸ ζόφου ἠερόεντος
αὖτις ἄνει μέγα θαῦμα θεοῖς θνητοῖς τ' ἀνθρώποις.
* * *
καὶ τίνι σ' ἐξαπάτησε δόλῳ κρατερὸς Πολυδέγμων;
Τὴν δ' αὖ Περσεφόνη περικαλλὴς ἀντίον ηὔδα·
Τοιγὰρ ἐγώ σοι, μῆτερ, ἐρῶ νημερτέα πάντα·
εὖτέ μοι Ἑρμῆς ἦλθ' ἐριούνιος ἄγγελος ὠκὺς
πὰρ πατέρος Κρονίδαο καὶ ἄλλων οὐρανιώνων,

*ἐλθεῖν ἐξ Ἐρέβευς, ἵνα μ' ὀφθαλμοῖσιν ἰδοῦσα*
*λήξαις ἀθανάτοισι χόλου καὶ μήνιος αἰνῆς,*
*αὐτίκ' ἐγὼν ἀνόρουσ' ὑπὸ χάρματος· αὐτὰρ ὃ λάθρῃ*
*ἔμβαλέ μοι ῥοιῆς κόκκον, μελιηδέ' ἐδωδήν,*
*ἄκουσαν δὲ βίῃ με προσηνάγκασσε πάσασθαι.*
*ὡς δέ μ' ἀναρπάξας Κρονίδεω πυκινὴν διὰ μῆτιν*
*ᾤχετο, πατρὸς ἐμοῖο, φέρων ὑπὸ κεύθεα γαίης,*
*ἐξερέω, καὶ πάντα διΐξομαι, ὡς ἐρεείνεις.*
*ἡμεῖς μὲν μάλα πᾶσαι ἀν' ἱμερτὸν λειμῶνα,*
*Λευκίππη Φαινώ τε καὶ Ἠλέκτρη καὶ Ἰάνθη,*
*καὶ Μελίτη Ἰάχη τε Ῥοδεία τε Καλλιρόη τε,*
*Μηλόβοσίς τε Τύχη τε καὶ Ὠκυρόη καλυκῶπις,*
*Χρυσηΐς τ' Ἰάνειρά τ' Ἀκάστη τ' Ἀδμήτη τε,*
*καὶ Ῥοδόπη Πλουτώ τε καὶ ἱμερόεσσα Καλυψὼ,*
*καὶ Στὺξ Οὐρανίη τε Γαλαξαύρη τ' ἐρατεινὴ,*
*παίζομεν ἠδ' ἄνθεα δρέπομεν χείρεσσ' ἐρόεντα,*
*μίγδα κρόκον τ' ἀγανὸν καὶ ἀγαλλίδας ἠδ' ὑάκινθον,*
*καὶ ῥοδέας κάλυκας καὶ λείρια, θαῦμα ἰδέσθαι,*
* *νάρκισσόν θ', ὃν ἔφυσ', ὥσπερ κρόκον, εὐρεῖα χθών.*
*αὐτὰρ ἐγὼ δρεπόμην περὶ χάρματι· γαῖα δ' ἔνερθε*
*χώρησεν· τῇ δ' ἔκθορ' ἄναξ κρατερὸς Πολυδέγμων.*
*βῆ δὲ φέρων ὑπὸ γαῖαν ἐν ἅρμασι χρυσείοισι*
*πόλλ' ἀεκαζομένην· ἐβόησα δ' ἄρ' ὄρθια φωνῇ.*
*ταῦτά τοι ἀχνυμένη περ ἀληθέα πάντ' ἀγορεύω.*
*Ὣς τότε μὲν πρόπαν ἦμαρ ὁμόφρονα θυμὸν ἔχουσαι*
*πολλὰ μάλ' ἀλλήλων κραδίην καὶ θυμὸν ἴαινον*
*ἀμφαγαπαζόμεναι· ἀχέων δ' ἀπεπαύετο θυμός.*
*γηθοσύνας δ' ἐδέχοντο παρ' ἀλλήλων ἔδιδόν τε.*
*τῇσιν δ' ἐγγύθεν ἦλθ' Ἑκάτη λιπαροκρήδεμνος·*
*πολλὰ δ' ἄρ' ἀμφαγάπησε κόρην Δημήτερος ἁγνήν·*

---

*Παλλάς τ' ἐγρεμάχη καὶ Ἄρτεμις ἰοχέαιρα,* 424

ἐκ τοῦ οἱ πρόπολος καὶ ὀπάων ἔπλετ' ἄνασσα.
ταῖς δὲ μετ' ἄγγελον ἧκε βαρύκτυπος εὐρύοπα Ζεὺς
Ῥείην ἠΰκομον, Δημήτερα κυανόπεπλον
ἀξέμεναι μετὰ φῦλα θεῶν, ὑπέδεκτο δὲ τιμὰς
δωσέμεν, ἅς κεν ἕλοιτο μετ' ἀθανάτοισι θεοῖσι.
νεῦσε δέ οἱ κούρην ἔτεος περιτελλομένοιο
τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα,
τὰς δὲ δύω παρὰ μητρὶ καὶ ἄλλοις ἀθανάτοισιν.
ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ Διὸς ἀγγελιάων.
ἐσσυμένως δ' ἤιξε κατ' Οὐλύμποιο καρήνων,
εἰς δ' ἄρα Ῥάριον ἷξε, φερέσβιον οὖθαρ ἀρούρης
τὸ πρίν, ἀτὰρ τότε γ' οὔτι φερέσβιον, ἀλλὰ ἕκηλον
εἱστήκει πανάφυλλον· ἔκευθε δ' ἄρα κρῖ λευκὸν
μήδεσι Δήμητρος καλλισφύρου· αὐτὰρ ἔπειτα
μέλλεν ἄφαρ ταναοῖσι κομήσειν ἀσταχύεσσιν,
ἦρος ἀεξομένοιο, πέδῳ δ' ἄρα πίονες ὄγμοι
βρισέμεν ἀσταχύων, τὰ δ' ἐν ἐλλεδανοῖσι δεδέσθαι.
ἔνθ' ἐπέβη πρώτιστον ἀπ' αἰθέρος ἀτρυγέτοιο·
ἀσπασίως δ' ἴδον ἀλλήλας, κεχάρηντο δὲ θυμῷ.
τὴν δ' ὧδε προσέειπε Ῥέη λιπαροκρήδεμνος·
Δεῦρο τέκος, καλέει σε βαρύκτυπος εὐρύοπα Ζεὺς
ἐλθέμεναι μετὰ φῦλα θεῶν, ὑπέδεκτο δὲ τιμὰς
δωσέμεν, ἅς κεν ἕλοιο μετ' ἀθανάτοισι θεοῖσι.
νεῦσε δέ σοι κούρην ἔτεος περιτελλομένοιο
τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα,
[τὰς δὲ δύω παρὰ σοί τε καὶ ἄλλοις] ἀθανάτοισιν.
ὥς τοι ὑπέστη ἔσεσθαι· ἑῷ δ' ἐπένευσε κάρητι.
ἀλλ' ἴθι, τέκνον ἐμόν, καὶ πείθεο, μηδέ τι λίην
ἀζηχὲς μενέαινε κελαινεφέϊ Κρονίωνι.
αἶψα δὲ καρπὸν ἄεξε φερέσβιον ἀνθρώποισι.
Ὣς ἔφατ'. οὐδ' ἀπίθησεν ἐϋστέφανος Δημήτηρ·
αἶψα δὲ καρπὸν ἀνῆκεν ἀρουράων ἐριβώλων.

πᾶσα δὲ φύλλοισίν τε καὶ ἄνθεσιν εὐρεῖα χθὼν
ἔβρισ᾽· ἡ δὲ κιοῦσα θεμιστοπόλοις βασιλεῦσιν
δεῖξε, Τριπτολέμῳ τε Διοκλεῖ τε πληξίππῳ,
Εὐμόλπου τε βίῃ Κελεῷ θ᾽ ἡγήτορι λαῶν,
δρησμοσύνην θ᾽ ἱερῶν, καὶ ἐπέφραδεν ὄργια πᾶσιν,
σεμνά, τά τ᾽ οὔπως ἐστὶ παρεξέμεν, οὔτε πυθέσθαι,
οὔτ᾽ ἀχέειν· μέγα γάρ τι θεῶν ἄγος ἰσχάνει αὐδήν.
ὄλβιος, ὃς τάδ᾽ ὄπωπεν ἐπιχθονίων ἀνθρώπων·
ὃς δ᾽ ἀτελὴς ἱερῶν, ὅς τ᾽ ἄμμορος, οὔποθ᾽ ὁμοίως
αἶσαν ἔχει φθίμενός περ ὑπὸ ζόφῳ εὐρώεντι.
Αὐτὰρ ἐπειδὴ πάνθ᾽ ὑπεθήκατο δῖα θεάων,
βάν ῥ᾽ ἴμεν Οὔλυμπόνδε θεῶν μεθ᾽ ὁμήγυριν ἄλλων.
ἔνθα δὲ ναιετάουσι παραὶ Διῒ τερπικεραύνῳ
σεμναί τ᾽ αἰδοῖαί τε· μέγ᾽ ὄλβιος, ὃν τιν᾽ ἐκεῖναι
προφρονέως φίλωνται ἐπιχθονίων ἀνθρώπων.
αἶψα δέ οἱ πέμπουσιν ἐφέστιον ἐς μέγα δῶμα
Πλοῦτον, ὃς ἀνθρώποις ἄφενος θνητοῖσι δίδωσιν.
Ἀλλ᾽ ἄγ᾽ Ἐλευσῖνος θυοέσσης δῆμον ἔχουσαι,
καὶ Πάρον ἀμφιρύτην Ἄντρωνά τε πετρήεντα,
πότνια, ἀγλαόδωρ᾽, ὡρηφόρε, Δηοῖ ἄνασσα,
αὐτὴ, καὶ κούρη περικαλλὴς Περσεφόνεια,
πρόφρονες ἀντ᾽ ᾠδῆς βίοτον θυμήρε᾽ ὀπάζειν.
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ᾽ ἀοιδῆς.

---

Τριπτολέμῳ τε, Πολυξείνῳ τ᾽, ἐπὶ τοῖς δὲ Διοκλεῖ 477

# VI.

## ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

*Αἰδοίην χρυσοστέφανον καλὴν Ἀφροδίτην*
*ᾄσομαι, ἣ πάσης Κύπρου κρήδεμνα λέλογχεν*
*εἰναλίης, ὅθι μιν Ζεφύρου μένος ὑγρὸν ἀέντος*
*ἤνεικεν κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης*
*ἀφρῷ ἔνι μαλακῷ· τὴν δὲ χρυσάμπυκες Ὧραι*
*δέξαντ' ἀσπασίως, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν·*
*κρατὶ δ' ἐπ' ἀθανάτῳ στεφάνην εὔτυκτον ἔθηκαν*
*καλὴν, χρυσείην· ἐν δὲ τρητοῖσι λοβοῖσιν*
*ἄνθεμ' ὀρειχάλκου χρυσοῖό τε τιμήεντος·*
*δειρῇ δ' ἀμφ' ἁπαλῇ καὶ στήθεσιν ἀργυφέοισιν*
*ὅρμοισι χρυσέοισιν ἐκόσμεον, οἷσί περ αὐταὶ*
*Ὧραι κοσμείσθην χρυσάμπυκες, ὁππότ' ἴοιεν*
*ἐς χορὸν ἱμερόεντα θεῶν καὶ δώματα πατρός.*
*αὐτὰρ ἐπειδὴ πάντα περὶ χροῒ κόσμον ἔθηκαν,*
*ἦγον ἐς ἀθανάτους· οἱ δ' ἠσπάζοντο ἰδόντες*
*χερσί τ' ἐδεξιόωντο καὶ ἠρήσαντο ἕκαστος*
*εἶναι κουριδίην ἄλοχον καὶ οἴκαδ' ἄγεσθαι,*
*εἶδος θαυμάζοντες ἰοστεφάνου Κυθερείης.*
*Χαῖρ' ἑλικοβλέφαρε, γλυκυμείλιχε· δὸς δ' ἐν ἀγῶνι*
*νίκην τῷδε φέρεσθαι, ἐμὴν δ' ἔντυνον ἀοιδήν.*
*αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

# VII.

## ΔΙΟΝΥΣΟΣ Η ΛΗΣΤΑΙ.

*Ἀμφὶ Διώνυσον, Σεμέλης ἐρικυδέος υἱὸν,*
*μνήσομαι, ὡς ἐφάνη παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο*
*ἀκτῇ ἐπὶ προβλῆτι νεηνίῃ ἀνδρὶ ἐοικὼς,*
*πρωθήβῃ· καλαὶ δὲ περισσείοντο ἔθειραι*
*κυάνεαι, φᾶρος δὲ περὶ στιβαροῖς ἔχεν ὤμοις*
*πορφύρεον· τάχα δ' ἄνδρες ἐϋσσέλμου ἀπὸ νηὸς*
*λῃσταὶ προγένοντο θοῶς ἐπὶ οἴνοπα πόντον,*
*Τυρσηνοί· τοὺς δ' ἦγε κακὸς μόρος· οἱ δὲ ἰδόντες*
*νεῦσαν ἐς ἀλλήλους, τάχα δ' ἔκθορον· αἶψα δ' ἑλόντες*
*εἶσαν ἐπὶ σφετέρης νηὸς κεχαρημένοι ἦτορ.*
*υἱὸν γάρ μιν ἔφαντο διοτρεφέων βασιλήων*
*εἶναι, καὶ δεσμοῖς ἔθελον δεῖν ἀργαλέοισι.*
*τὸν δ' οὐκ ἴσχανε δεσμὰ, λύγοι δ' ἀπὸ τηλόσε πῖπτον*
*χειρῶν ἠδὲ ποδῶν· ὁ δὲ μειδιάων ἐκάθητο*
*ὄμμασι κυανέοισι· κυβερνήτης δὲ νοήσας*
*αὐτίκα οἷς ἑτάροισιν ἐκέκλετο φώνησέν τε·*
*Δαιμόνιοι, τίνα τόνδε θεὸν δεσμεύεθ' ἑλόντες,*
*καρτερόν; οὐδὲ φέρειν δύναταί μιν νηῦς εὐεργής.*
*ἢ γὰρ Ζεὺς ὅδε γ' ἐστὶν ἢ ἀργυρότοξος Ἀπόλλων*
*ἠὲ Ποσειδάων· ἐπεὶ οὐ θνητοῖσι βροτοῖσιν*
*εἴκελος, ἀλλὰ θεοῖς, οἳ Ὀλύμπια δώματ' ἔχουσιν.*
*ἀλλ' ἄγετ', αὖτις ἀφῶμεν ἐπ' ἠπείροιο μελαίνης*
*αὐτίκα· μηδ' ἐπὶ χεῖρας ἰάλλετε, μή τι χολωθεὶς*
*ὄρσῃ ἀργαλέους τ' ἀνέμους καὶ λαίλαπα πολλήν.*
*Ὣς φάτο· τὸν δ' ἀρχὸς στυγερῷ ἠνίπαπε μύθῳ·*
*δαιμόνι', οὖρον ὅρα, ἅμα δ' ἱστίον ἕλκεο νηὸς*
*σὺμ πάνθ' ὅπλα λαβών· ὅδε δ' αὖτ' ἄνδρεσσι μελήσει.*
*ἔλπομαι, ἢ Αἴγυπτον ἀφίξεται ἢ ὅγε Κύπρον*
*ἢ ἐς Ὑπερβορέους ἢ ἑκαστέρω· ἐς δὲ τελευτὴν*

ἔκ ποτ' ἐρεῖ αὐτοῦ τε φίλους καὶ κτήματα πάντα
οὕς τε κασιγνήτους, ἐπεὶ ἥμιν ἔμβαλε δαίμων.
Ὣς εἰπὼν ἱστόν τε καὶ ἱστίον ἕλκετο νηός.
ἔμπνευσεν δ' ἄνεμος μέσον ἱστίον· ἀμφὶ δ' ἄρ' ὅπλα
καττάνυσαν· τάχα δέ σφιν ἐφαίνετο θαυματὰ ἔργα.
οἶνος μὲν πρώτιστα θοὴν ἀνὰ νῆα μέλαιναν
ἡδύποτος κελάρυζ' εὐώδης, ὤρνυτο δ' ὀδμὴ
ἀμβροσίη· ναύτας δὲ τάφος λάβε πάντας ἰδόντας.
αὐτίκα δ' ἀκρότατον παρὰ ἱστίον ἐξετανύσθη
ἄμπελος ἔνθα καὶ ἔνθα, κατεκρημνῶντο δὲ πολλοὶ
βότρυες· ἀμφ' ἱστὸν δὲ μέλας εἱλίσσετο κισσὸς,
ἄνθεσι τηλεθάων, χαρίεις δ' ἐπὶ καρπὸς ὀρώρει·
πάντες δὲ σκαλμοὶ στεφάνους ἔχον· οἱ δὲ ἰδόντες,
νῆ' ἤδη τότ' ἔπειτα κυβερνήτην ἐκέλευον
γῇ πελάαν· ὁ δ' ἄρα σφι λέων γένετ' ἔνδοθι νηὸς
δεινὸς ἐπ' ἀκροτάτης, μέγα δ' ἔβραχεν, ἐν δ' ἄρα μέσσῃ
ἄρκτον ἐποίησεν λασιαύχενα, σήματα φαίνων·
ἂν δ' ἔστη μεμαυῖα· λέων δ' ἐπὶ σέλματος ἄκρου
δεινὸν ὑπόδρα ἰδών· οἱ δ' εἰς πρύμνην ἐφόβηθεν,
ἀμφὶ κυβερνήτην δὲ σαόφρονα θυμὸν ἔχοντα
ἔσταν ἄρ' ἐκπληγέντες· ὁ δ' ἐξαπίνης ἐπορούσας
ἀρχὸν ἕλ', οἱ δὲ θύραζε κακὸν μόρον ἐξαλύοντες
πάντες ὁμῶς πήδησαν, ἐπεὶ ἴδον, εἰς ἅλα δῖαν,
δελφῖνες δ' ἐγένοντο· κυβερνήτην δ' ἐλεήσας
ἔσχεθε καί μιν ἔθηκε πανόλβιον εἶπέ τε μῦθον·
Θάρσει, δῖε κάτωρ, τῷ ἐμῷ κεχαρισμένε θυμῷ·
εἰμὶ δ' ἐγὼ Διόνυσος ἐρίβρομος, ὃν τέκε μήτηρ
Καδμηὶς Σεμέλη Διὸς ἐν φιλότητι μιγεῖσα.
Χαῖρε, τέκος Σεμέλης εὐώπιδος· οὐδέ πῃ ἔστι
σεῖό γε ληθόμενον γλυκερὴν κοσμῆσαι ἀοιδήν.

## VIII.

### ΕΙΣ ΑΡΕΑ.

*Ἄρες ὑπερμενέτα, βρισάρματε, χρυσεοπήληξ,*
*ὀμβριμόθυμε, φέρασπι, πολισσόε, χαλκοκορυστά,*
*καρτερόχειρ, ἀμόγητε, δορυσθενὲς, ἕρκος Ὀλύμπου,*
*Νίκης εὐπολέμοιο πάτερ, συναρωγὲ Θέμιστος,*
*ἀντιβίοισι τύραννε, δικαιοτάτων ἀγὲ φωτῶν,*
*ἠνορέης σκηπτοῦχε, πυραυγέα κύκλον ἑλίσσων*
*αἰθέρος ἑπταπόροις ἐνὶ τείρεσιν, ἔνθα σε πῶλοι*
*ζαφλεγέες τριτάτης ὑπὲρ ἄντυγος αἰὲν ἔχουσι·*
*κλῦθι, βροτῶν ἐπίκουρε, δοτὴρ εὐθαρσέος ἥβης,*
*πρηῢ καταστίλβων σέλας ὑψόθεν ἐς βιότητα*
*ἡμετέρην καὶ κάρτος ἀρήιον, ὥς κε δυναίμην*
*σεύασθαι κακότητα πικρὴν ἀπ' ἐμοῖο καρήνου,*
*καὶ ψυχῆς ἀπατηλὸν ὑπογνάμψαι φρεσὶν ὁρμὴν,*
*θυμοῦ τ' αὖ μένος ὀξὺ κατισχέμεν, ὅς μ' ἐρέθῃσι*
*φυλόπιδος κρυερῆς ἐπιβαινέμεν· ἀλλὰ σὺ θάρσος*
*δὸς, μάκαρ, εἰρήνης τε μένειν ἐν ἀπήμοσι θεσμοῖς*
*δυσμενέων προφυγόντα μόθον κῆράς τε βιαίους.*

---

## IX.

### ΕΙΣ ΑΡΤΕΜΙΝ.

*Ἄρτεμιν ὕμνει, Μοῦσα, κασιγνήτην Ἑκάτοιο,*
*παρθένον ἰοχέαιραν, ὁμότροφον Ἀπόλλωνος,*
*ἥθ' ἵππους ἄρσασα βαθυσχοίνοιο Μέλητος*
*ῥίμφα διὰ Σμύρνης παγχρύσεον ἅρμα διώκει*
*ἐς Κλάρον ἀμπελόεσσαν, ὅθ' ἀργυρότοξος Ἀπόλλων*
*ἧσται μιμνάζων ἑκατηβόλον ἰοχέαιραν.*
*Καὶ σὺ μὲν οὕτω χαῖρε θεαὶ θ' ἅμα πᾶσαι ἀοιδῇ·*
*αὐτὰρ ἐγώ σε πρῶτα καὶ ἐκ σέθεν ἄρχομ' ἀείδειν,*
*σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.*

## X.

### ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

*Κυπρογενῆ Κυθέρειαν ἀείσομαι, ἥτε βροτοῖσι*
*μείλιχα δῶρα δίδωσιν, ἐφ' ἱμερτῷ δὲ προσώπῳ*
*αἰεὶ μειδιάει καὶ ἐφ' ἱμερτὸν φέρει ἄνθος.*
*Χαῖρε, θεά, Σαλαμῖνος ἐϋκτιμένης μεδέουσα*
*καὶ πάσης Κύπρου· δὸς δ' ἱμερόεσσαν ἀοιδήν.*
*αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

---

## XI.

### ΕΙΣ ΑΘΗΝΑΝ.

*Παλλάδ' Ἀθηναίην ἐρυσίπτολιν ἄρχομ' ἀείδειν,*
*δεινήν, ᾗ σὺν Ἄρηι μέλει πολεμήια ἔργα*
*περθόμεναί τε πόληες ἀϋτή τε πτόλεμοί τε,*
*καί τ' ἐρρύσατο λαὸν ἰόντα τε νισσόμενόν τε.*
*Χαῖρε, θεά, δὸς δ' ἄμμι τύχην εὐδαιμονίην τε.*

---

## XII.

### ΕΙΣ ΗΡΑΝ.

*Ἥρην ἀείδω χρυσόθρονον, ἣν τέκε Ῥείη,*
*ἀθανάτων βασίλειαν, ὑπείροχον εἶδος ἔχουσαν,*
*Ζηνὸς ἐριγδούποιο κασιγνήτην ἄλοχόν τε,*
*κυδρήν, ἣν πάντες μάκαρες κατὰ μακρὸν Ὄλυμπον*
*ἁζόμενοι τίουσιν ὁμῶς Διὶ τερπικεραύνῳ.*

---

## XIII.

### ΕΙΣ ΔΗΜΗΤΡΑΝ.

*Δήμητρ' ἠΰκομον, σεμνὴν θεὸν, ἄρχομ' ἀείδειν,*
*αὐτὴν καὶ κούρην, περικαλλέα Φερσεφόνειαν.*
*Χαῖρε, θεὰ, καὶ τήνδε σάω πόλιν· ἄρχε δ' ἀοιδῆς.*

---

## XIV.

### ΕΙΣ ΜΗΤΕΡΑ ΘΕΩΝ.

*Μητέρα μοι πάντων τε θεῶν πάντων τ' ἀνθρώπων*
*ὕμνει, Μοῦσα λίγεια, Διὸς θυγάτηρ μεγάλοιο,*
*ᾗ κροτάλων τυπάνων τ' ἰαχὴ, σύν τε βρόμος αὐλῶν*
*εὔαδεν, ἠδὲ λύκων κλαγγὴ χαροπῶν τε λεόντων,*
*οὔρεά τ' ἠχήεντα καὶ ὑλήεντες ἔναυλοι.*
*Καὶ σὺ μὲν οὕτω χαῖρε θεαί θ' ἅμα πᾶσαι ἀοιδῇ.*

---

## XV.

### ΕΙΣ ΗΡΑΚΛΕΑ ΛΕΟΝΤΟΘΥΜΟΝ.

*Ἡρακλέα, Διὸς υἱὸν, ἀείσομαι, ὃν μέγ' ἄριστον*
*γείνατ' ἐπιχθονίων Θήβῃς ἔνι καλλιχόροισιν*
*Ἀλκμήνη μιχθεῖσα κελαινεφέϊ Κρονίωνι·*
*ὃς πρὶν μὲν κατὰ γαῖαν ἀθέσφατον ἠδὲ θάλασσαν*
*πλαζόμενος πομπῇσιν ὕπ' Εὐρυσθῆος ἄνακτος*
*πολλὰ μὲν αὐτὸς ἔρεξεν ἀτάσθαλα, πολλὰ δ' ἀνέτλη·*
*νῦν δ' ἤδη κατὰ καλὸν ἕδος νιφόεντος Ὀλύμπου*
*ναίει τερπόμενος καὶ ἔχει καλλίσφυρον Ἥβην.*
*Χαῖρε, ἄναξ, Διὸς υἱέ· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.*

---

## XVI.

### ΕΙΣ ΑΣΚΛΗΠΙΟΝ.

*Ἰητῆρα νόσων Ἀσκληπιὸν ἄρχομ' ἀείδειν,*
*υἱὸν Ἀπόλλωνος, τὸν ἐγείνατο δῖα Κορωνὶς*
*Δωτίῳ ἐν πεδίῳ, κούρη Φλεγύου βασιλῆος,*
*χάρμα μέγ' ἀνθρώποισι, κακῶν θελκτῆρ' ὀδυνάων.*
*Καὶ σὺ μὲν οὕτω χαῖρε, ἄναξ· λίτομαι δέ σ' ἀοιδῇ.*

---

## XVII.

### ΕΙΣ ΔΙΟΣΚΟΥΡΟΥΣ.

*Κάστορα καὶ Πολυδεύκε' ἀείσεο, Μοῦσα λίγεια,*
*Τυνδαρίδας, οἳ Ζηνὸς Ὀλυμπίου ἐξεγένοντο·*
*τοὺς ὑπὸ Ταϋγέτου κορυφῆς τέκε πότνια Λήδη*
*λάθρῃ ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι.*
*Χαίρετε, Τυνδαρίδαι, ταχέων ἐπιβήτορες ἵππων.*

---

## XVIII.

### ΕΙΣ ΕΡΜΗΝ.

*Ἑρμῆν ἀείδω Κυλλήνιον, Ἀργειφόντην,*
*Κυλλήνης μεδέοντα καὶ Ἀρκαδίης πολυμήλου,*
*ἄγγελον ἀθανάτων ἐριούνιον, ὃν τέκε Μαῖα,*
*Ἄτλαντος θυγάτηρ, Διὸς ἐν φιλότητι μιγεῖσα,*
*αἰδοίη· μακάρων δὲ θεῶν ἀλέεινεν ὅμιλον,*
*ἄντρῳ ναιετάουσα παλισκίῳ· ἔνθα Κρονίων*
*νύμφῃ ἐϋπλοκάμῳ μισγέσκετο νυκτὸς ἀμολγῷ,*
*εὖτε κατὰ γλυκὺς ὕπνος ἔχοι λευκώλενον Ἥρην·*
*λάνθανε δ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους.*

*Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς καὶ Μαιάδος υἱέ·*
*σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.*

---

## XIX.

### ΕΙΣ ΠΑΝΑ.

*Ἀμφί μοι Ἑρμείαο φίλον γόνον ἔννεπε, Μοῦσα,*
*αἰγιπόδην, δικέρωτα, φιλόκροτον, ὅστ' ἀνὰ πίση*
*δενδρήεντ' ἄμυδις φοιτᾷ χοροήθεσι νύμφαις,*
*αἵτε κατ' αἰγίλιπος πέτρης στείβουσι κάρηνα*
*Πᾶν' ἀνακεκλόμεναι, νόμιον θεὸν, ἀγλαέθειρον,*
*αὐχμήενθ', ὃς πάντα λόφον νιφόεντα λέλογχε*
*καὶ κορυφὰς ὀρέων καὶ πετρήεντα κέλευθα.*
*φοιτᾷ δ' ἔνθα καὶ ἔνθα διὰ ῥωπήϊα πυκνὰ,*
*ἄλλοτε μὲν ῥείθροισιν ἐφεζόμενος μαλακοῖσιν,*
*ἄλλοτε δ' αὖ πέτρῃσιν ἐν ἠλιβάτοισι διοιχνεῖ,*
*ἀκροτάτην κορυφὴν μηλόσκοπον εἰσαναβαίνων.*
*πολλάκι δ' ἀργινόεντα διέδραμεν οὔρεα μακρὰ,*
*πολλάκι δ' ἐν κνημοῖσι διήλασε θῆρας ἐναίρων,*
*ὀξέα δερκόμενος· τότε δ' ἕσπερος ἔκλαγεν οἶος*
*ἄγρης ἐξανιὼν, δονάκων ὕπο μοῦσαν ἀθύρων*
*ἥδυμον· οὐκ ἂν τόν γε παραδράμοι ἐν μελέεσσιν*
*ὄρνις, ἥτ' ἔαρος πολυανθέος ἐν πετάλοισι*
*θρῆνον ἐπιπροχέουσα ἵει μελίγηρυν ἀοιδήν.*
*σὺν δέ σφιν τότε Νύμφαι ὀρεστιάδες λιγύμολποι*
*φοιτῶσαι πυκνὰ ποσσὶν ἐπὶ κρήνῃ μελανύδρῳ*
*μέλπονται· κορυφὴν δὲ περιστένει οὔρεος ἠχώ·*
*δαίμων δ' ἔνθα καὶ ἔνθα χορῶν, τότε δ' ἐς μέσον ἕρπων*
*πυκνὰ ποσὶν διέπει, λαῖφος δ' ἐπὶ νῶτα δαφοινὸν*

---

*XVIII.* Χαῖρ', Ἑρμῆ χαριδῶτα, διάκτορε, δῶτορ ἑάων. 12

λυγκὸς ἔχει, λιγυρῇσιν ἀγαλλόμενος φρένα μολπαῖς,
ἐν μαλακῷ λειμῶνι, τόθι κρόκος ἠδ᾽ ὑάκινθος
εὐώδης θαλέθων καταμίσγεται ἄκριτα ποίῃ.
ὑμνεῦσιν δὲ θεοὺς μάκαρας καὶ μακρὸν Ὄλυμπον·
οἷόν θ᾽ Ἑρμείην ἐριούνιον ἔξοχον ἄλλων
ἔννεπον, ὡς ὅγ᾽ ἅπασι θεοῖς θοὸς ἄγγελός ἐστι,
καί ῥ᾽ ὅτ᾽ ἐς Ἀρκαδίην πολυπίδακα, μητέρα μήλων,
ἐξίκετ᾽, ἔνθα τέ οἱ τέμενος Κυλληνίου ἐστίν.
ἔνθ᾽ ὅγε καὶ θεὸς ὢν ψαφαρότριχα μῆλ᾽ ἐνόμευεν
ἀνδρὶ πάρα θνητῷ· λάθε γὰρ πόθος ὑγρὸς ἐπελθὼν
νύμφῃ ἐϋπλοκάμῳ Δρύοπος φιλότητι μιγῆναι·
ἐκ δ᾽ ἐτέλεσσε γάμον θαλερὸν, τέκε δ᾽ ἐν μεγάροισιν
Ἑρμείῃ φίλον υἱὸν, ἄφαρ τερατωπὸν ἰδέσθαι,
αἰγιπόδην, δικέρωτα, πολύκροτον, ἡδυγέλωτα·
φεῦγε δ᾽ ἀναΐξασα, λίπεν δ᾽ ἄρα παῖδα τιθήνη·
δεῖσε γὰρ, ὡς ἴδεν ὄψιν ἀμείλιχον, ἠϋγένειον.
τὸν δ᾽ αἶψ᾽ Ἑρμείης ἐριούνιος εἰς χέρα θῆκε
δεξάμενος, χαῖρεν δὲ νόῳ περιώσια δαίμων.
ῥίμφα δ᾽ ἐς ἀθανάτων ἕδρας κίε παῖδα καλύψας
δέρμασιν ἐν πυκινοῖσιν ὀρεσκῴοιο λαγωοῦ·
πὰρ δὲ Ζηνὶ κάθιξε καὶ ἄλλοις ἀθανάτοισιν,
δεῖξε δὲ κοῦρον ἑόν· πάντες δ᾽ ἄρα θυμὸν ἔτερφθεν
ἀθάνατοι, περίαλλα δ᾽ ὁ Βάκχειος Διόνυσος.
Πᾶνα δέ μιν καλέεσκον, ὅτι φρένα πᾶσιν ἔτερψε.
Καὶ σὺ μὲν οὕτω χαῖρε, ἄναξ, λίτομαι δέ σ᾽ ἀοιδῇ·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ᾽ ἀοιδῆς.

## XX.

### ΕΙΣ ΗΦΑΙΣΤΟΝ.

*Ἥφαιστον κλυτόμητιν ἀείσεο, Μοῦσα λίγεια,*
*ὃς μετ' Ἀθηναίης γλαυκώπιδος ἀγλαὰ ἔργα*
*ἀνθρώπους ἐδίδαξεν ἐπὶ χθονὸς, οἳ τὸ πάρος περ*
*ἄντροις ναιετάασκον ἐν οὔρεσιν, ἠΰτε θῆρες.*
*νῦν δὲ δι' Ἥφαιστον κλυτοτέχνην ἔργα δαέντες*
*ῥηιδίως αἰῶνα τελεσφόρον εἰς ἐνιαυτὸν*
*εὔκηλοι διάγουσιν ἐνὶ σφετέροισι δόμοισιν.*
*Ἀλλ' ἵληθ', Ἥφαιστε· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.*

---

## XXI.

### ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

*Φοῖβε, σὲ μὲν καὶ κύκνος ὑπὸ πτερύγων λίγ' ἀείδει,*
*ὄχθῃ ἐπιθρώσκων ποταμὸν πάρα δινήεντα,*
*Πηνειόν· σὲ δ' ἀοιδὸς ἔχων φόρμιγγα λίγειαν*
*ἡδυεπὴς πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδει.*
*Καὶ σὺ μὲν οὕτω χαῖρε, ἄναξ, ἵλαμαι δέ σ' ἀοιδῇ.*

---

## XXII.

### ΕΙΣ ΠΟΣΕΙΔΩΝΑ.

*Ἀμφὶ Ποσειδάωνα, θεὸν μέγαν, ἄρχομ' ἀείδειν,*
*γαίης κινητῆρα καὶ ἀτρυγέτοιο θαλάσσης,*
*πόντιον, ὅς θ' Ἑλικῶνα καὶ εὐρείας ἔχει Αἰγάς.*
*διχθά τοι, Ἐννοσίγαιε, θεοὶ τιμὴν ἐδάσαντο,*
*ἵππων τε δμητῆρ' ἔμεναι, σωτῆρά τε νηῶν.*
*Χαῖρε, Ποσείδαον γαιήοχε κυανοχαῖτα,*
*καὶ, μάκαρ, εὐμενὲς ἦτορ ἔχων πλώουσιν ἄρηγε.*

---

## XXIII.

### ΕΙΣ ΔΙΑ.

*Ζῆνα θεῶν τὸν ἄριστον ἀείσομαι ἠδὲ μέγιστον,*
*εὐρύοπα, κρείοντα, τελεσφόρον, ὅστε Θέμιστι*
*ἐγκλιδὸν ἑζομένῃ πυκινοὺς ὀάρους ὀαρίζει.*
*Ἵληθ', εὐρύοπα Κρονίδη, κύδιστε, μέγιστε.*

---

## XXIV.

### ΕΙΣ ΕΣΤΙΑΝ.

*Ἑστίη, ἥτε ἄνακτος Ἀπόλλωνος ἑκάτοιο*
*Πυθοῖ ἐν ἠγαθέῃ ἱερὸν δόμον ἀμφιπολεύεις,*
*αἰεὶ σῶν πλοκάμων ἀπολείβεται ὑγρὸν ἔλαιον·*
*ἔρχεο τόνδ' ἀνὰ οἶκον, ἐπέρχεο εὐμενέουσα*
*σὺν Διῒ μητιόεντι· χάριν δ' ἅμ' ὄπασσον ἀοιδῇ.*

---

## XXV.

### ΕΙΣ ΜΟΥΣΑΣ ΚΑΙ ΑΠΟΛΛΩΝΑ.

*Μουσάων ἄρχωμαι Ἀπόλλωνός τε Διός τε·*
*ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος*
*ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταί,*
*ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι*
*φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.*
*Χαίρετε, τέκνα Διὸς, καὶ ἐμὴν τιμήσατ' ἀοιδήν·*
*αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

---

## XXVI.

### ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

*Κισσοκόμην Διόνυσον ἐρίβρομον ἄρχομ' ἀείδειν,*
*Ζηνὸς καὶ Σεμέλης ἐρικυδέος ἀγλαὸν υἱὸν,*
*ὃν τρέφον ἠΰκομοι νύμφαι παρὰ πατρὸς ἄνακτος*
*δεξάμεναι κόλποισι καὶ ἐνδυκέως ἀτίταλλον*
*Νύσης ἐν γυάλοις· ὁ δ' ἀέξετο πατρὸς ἕκητι*
*ἄντρῳ ἐν εὐώδει μεταρίθμιος ἀθανάτοισιν.*
*αὐτὰρ ἐπειδὴ τόνδε θεαὶ πολύυμνον ἔθρεψαν,*
*δὴ τότε φοιτίζεσκε καθ' ὑλήεντας ἐναύλους,*
*κισσῷ καὶ δάφνῃ πεπυκασμένος· αἱ δ' ἅμ' ἕποντο*
*νύμφαι, ὁ δ' ἐξηγεῖτο· βρόμος δ' ἔχεν ἄσπετον ὕλην.*
*Καὶ σὺ μὲν οὕτω χαῖρε, πολυστάφυλ' ὦ Διόνυσε·*
*δὸς δ' ἡμᾶς χαίροντας ἐς ὥρας αὖτις ἱκέσθαι.*

---

## XXVII.

### ΕΙΣ ΑΡΤΕΜΙΝ.

*Ἄρτεμιν ἀείδω χρυσηλάκατον κελαδεινὴν,*
*παρθένον αἰδοίην, ἐλαφηβόλον, ἰοχέαιραν,*
*αὐτοκασιγνήτην χρυσαόρου Ἀπόλλωνος,*
*ἣ κατ' ὄρη σκιόεντα καὶ ἄκριας ἠνεμοέσσας*
*ἄγρῃ τερπομένη παγχρύσεα τόξα τιταίνει,*
*πέμπουσα στονόεντα βέλη· τρομέει δὲ κάρηνα*
*ὑψηλῶν ὀρέων, ἰαχεῖ δ' ἔπι δάσκιος ὕλη*
*δεινὸν ὑπὸ κλαγγῆς θηρῶν· φρίσσει δέ τε γαῖα*
*πόντος τ' ἰχθυόεις· ἡ δ' ἄλκιμον ἦτορ ἔχουσα*
*πάντῃ ἐπιστρέφεται, θηρῶν ὀλέκουσα γενέθλην.*

---

XXVI. *ἐκ δ' αὖθ' ὡράων εἰς τοὺς πολλοὺς ἐνιαυτούς.* 13

*αὐτὰρ ἐπὴν τερφθῇ θηροσκόπος ἰοχέαιρα,*
*εὐφρήνῃ δὲ νόον, χαλάσασ' εὐκαμπέα τόξα*
*ἔρχεται ἐς μέγα δῶμα κασιγνήτοιο φίλοιο,*
*Φοίβου Ἀπόλλωνος, Δελφῶν ἐς πίονα δῆμον,*
*Μουσῶν καὶ Χαρίτων καλὸν χορὸν ἀρτυνέουσα.*
*ἔνθα κατακρεμάσασα παλίντονα τόξα καὶ ἰοὺς*
*ἡγεῖται, χαρίεντα περὶ χροῒ κόσμον ἔχουσα,*
*ἐξάρχουσα χορούς· αἱ δ' ἀμβροσίην ὄπ' ἰεῖσαι*
*ὑμνεῦσιν Λητὼ καλλίσφυρον, ὡς τέκε παῖδας*
*ἀθανάτων βουλῇ τε καὶ ἔργμασιν ἔξοχ' ἀρίστους.*
*Χαίρετε, τέκνα Διὸς καὶ Λητοῦς ἠϋκόμοιο·*
*αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

---

## XXVIII.

### ΕΙΣ ΑΘΗΝΑΝ.

*Παλλάδ' Ἀθηναίην, κυδρὴν θεόν, ἄρχομ' ἀείδειν,*
*γλαυκῶπιν, πολύμητιν, ἀμείλιχον ἦτορ ἔχουσαν,*
*παρθένον αἰδοίην, ἐρυσίπτολιν, ἀλκήεσσαν,*
*Τριτογενῆ, τὴν αὐτὸς ἐγείνατο μητίετα Ζεὺς*
*σεμνῆς ἐκ κεφαλῆς, πολεμήια τεύχε' ἔχουσαν,*
*χρύσεα, παμφανόωντα· σέβας δ' ἔχε πάντας ὁρῶντας*
*ἀθανάτους· ἡ δὲ πρόσθεν Διὸς αἰγιόχοιο*
*ἐσσυμένως ὤρουσεν ἀπ' ἀθανάτοιο καρήνου,*
*σείσασ' ὀξὺν ἄκοντα· μέγας δ' ἐλελίζετ' Ὄλυμπος*
*δεινὸν ὑπὸ βρίμης γλαυκώπιδος· ἀμφὶ δὲ γαῖα*
*σμερδαλέον ἰάχησεν· ἐκινήθη δ' ἄρα πόντος,*
*κύμασι πορφυρέοισι κυκώμενος· ἔκχυτο δ' ἅλμη*
*ἐξαπίνης· στῆσεν δ' Ὑπερίονος ἀγλαὸς υἱὸς*
*ἵππους ὠκύποδας δηρὸν χρόνον, εἰσόκε κούρη*
*εἵλετ' ἀπ' ἀθανάτων ὤμων θεοείκελα τεύχη*

*Παλλὰς Ἀθηναίη· γήθησε δὲ μητίετα Ζεύς.*
*Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς τέκος αἰγιόχοιο·*
*αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

---

## XXIX.

### ΕΙΣ ΕΣΤΙΑΝ.

*Ἑστίη, ἣ πάντων ἐν δώμασιν ὑψηλοῖσιν*
*ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων*
*ἕδρην ἀΐδιον ἔλαχε, πρεσβηΐδα τιμήν,*
*καλὸν ἔχουσα γέρας καὶ τίμιον· οὐ γὰρ ἄτερ σοῦ*
*εἰλαπίναι θνητοῖσιν, ἵν' οὐ πρώτῃ πυμάτῃ τε*
*Ἑστίῃ ἀρχόμενος σπένδει μελιηδέα οἶνον·*
*καὶ σύ μοι, Ἀργειφόντα, Διὸς καὶ Μαιάδος υἱὲ,*
*ἄγγελε τῶν μακάρων, χρυσόρραπι, δῶτορ ἐάων,*
*ἵλαος ὢν ἐπάρηγε σὺν αἰδοίῃ τε φίλῃ τε*
*Ἑστίῃ· ἀμφότεροι γὰρ ἐπιχθονίων ἀνθρώπων*
*ναίετε δώματα καλὰ, φίλα φρεσὶν ἀλλήλοισιν*
*εἰδότες, ἔργματα καλὰ νόῳ θ' ἕσπεσθε καὶ ἥβῃ.*
*Χαῖρε, Κρόνου θύγατερ, σύ τε καὶ χρυσόρραπις Ἑρμῆς.*
*αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

---

## XXX.

### ΕΙΣ ΓΗΝ ΜΗΤΕΡΑ ΠΑΝΤΩΝ.

*Γαῖαν παμμήτειραν ἀείσομαι, ἠΰθέμεθλον,*
*πρεσβίστην, ἣ φέρβει ἐπὶ χθονὶ πάνθ', ὁπόσ' ἐστὶν,*
*ἠμὲν ὅσα χθόνα δῖαν ἐπέρχεται, ἠδ' ὅσα πόντον,*
*ἠδ' ὅσα πωτῶνται, τάδε φέρβεται ἐκ σέθεν ὄλβου.*
*ἐκ σέο δ' εὔπαιδές τε καὶ εὔκαρποι τελέθουσι,*

*πότνια, σεῦ δ' ἔχεται δοῦναι βίον ἠδ' ἀφελέσθαι*
*θνητοῖς ἀνθρώποισιν· ὁ δ' ὄλβιος, ὃν κε σὺ θυμῷ*
*πρόφρων τιμήσεις· τῷ τ' ἄφθονα πάντα πάρεστι.*
*βρίθει μέν σφιν ἄρουρα φερέσβιος, ἠδὲ κατ' ἀγροὺς*
*κτήνεσιν εὐθηνεῖ, οἶκος δ' ἐμπίπλαται ἐσθλῶν·*
*αὐτοὶ δ' εὐνομίῃσι πόλιν κατὰ καλλιγύναικα*
*κοιρανέουσ', ὄλβος δὲ πολὺς καὶ πλοῦτος ὀπηδεῖ·*
*παῖδες δ' εὐφροσύνῃ νεοθηλέϊ κυδιόωσι,*
*παρθενικαί τε χοροῖς φερεσανθέσιν εὔφρονι θυμῷ*
*παίζουσαι σκαίρουσι κατ' ἄνθεα μαλθακὰ ποίης,*
*οὓς κε σὺ τιμήσεις, σεμνὴ θεά, ἄφθονε δαῖμον.*
*Χαῖρε, θεῶν μήτηρ, ἄλοχ' Οὐρανοῦ ἀστερόεντος,*
*πρόφρων δ' ἀντ' ᾠδῆς βίοτον θυμήρε' ὄπαζε·*
*αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

---

## XXXI.

### ΕΙΣ ΗΛΙΟΝ.

*Ἥλιον ὑμνεῖν αὖτε Διὸς τέκος ἄρχεο Μοῦσα*
*Καλλιόπη, φαέθοντα, τὸν Εὐρυφάεσσα βοῶπις*
*γείνατο Γαίης παιδὶ καὶ Οὐρανοῦ ἀστερόεντος·*
*γῆμε γὰρ Εὐρυφάεσσαν ἀγακλειτὴν Ὑπερίων,*
*αὐτοκασιγνήτην, ἥ οἱ τέκε κάλλιμα τέκνα,*
*Ἠῶ τε ῥοδόπηχυν, ἐϋπλόκαμόν τε Σελήνην,*
*Ἠέλιόν τ' ἀκάμαντ', ἐπιείκελον ἀθανάτοισιν,*
*ὃς φαίνει θνητοῖσι καὶ ἀθανάτοισι θεοῖσιν*
*ἵπποις ἐμβεβαώς· σμερδνὸν δ' ὅγε δέρκεται ὄσσοις*
*χρυσέης ἐκ κόρυθος· λαμπραὶ δ' ἀκτῖνες ἀπ' αὐτοῦ*
*αἰγλῆεν στίλβουσι, παρὰ κροτάφων τε παρειαὶ*
*λαμπραὶ ἀπὸ κρατὸς χαρίεν κατέχουσι πρόσωπον*
*τηλαυγές· καλὸν δὲ περὶ χροῒ λάμπεται ἔσθος*

λεπτουργὲς, πνοιῇ ἀνέμων· ὑπὸ δ' ἄρσενες ἵπποι
* * *
ἔνθ' ἄρ' ὅγε στήσας χρυσόζυγον ἅρμα καὶ ἵππους
ἑσπέριος πέμπῃσι δι' οὐρανοῦ Ὠκεανόνδε.
Χαῖρε, ἄναξ, πρόφρων δὲ βίον θυμήρε' ὄπαζε.
ἐκ σέο δ' ἀρξάμενος κλήσω μερόπων γένος ἀνδρῶν
ἡμιθέων, ὧν ἔργα θεοὶ θνητοῖσιν ἔδειξαν.

---

## XXXII.

### ΕΙΣ ΣΕΛΗΝΗΝ.

Μήνην εὐειδῆ τανυσίπτερον ἔσπετε, Μοῦσαι,
ἡδυεπεῖς κοῦραι Κρονίδεω Διὸς, ἵστορες ᾠδῆς·
ἧς ἄπο αἴγλη γαῖαν ἑλίσσεται οὐρανόδεικτος
κρατὸς ἀπ' ἀθανάτοιο, πολὺς δ' ὑπὸ κόσμος ὄρωρεν
αἴγλης λαμπούσης· στίλβει δέ τ' ἀλάμπετος ἀὴρ
χρυσέου ἀπὸ στεφάνου, ἀκτῖνες δ' ἐνδιάονται,
εὖτ' ἂν ἀπ' Ὠκεανοῖο λοεσσαμένη χρόα καλὸν,
εἵματα ἑσσαμένη τηλαυγέα δῖα Σελήνη,
ζευξαμένη πώλους ἐριαύχενας, αἰγλήεντας,
ἐσσυμένως προτέρωσ' ἐλάσῃ καλλίτριχας ἵππους,
ἑσπερίη, διχόμηνος· ὁ δὲ πλήθει μέγας ὄγμος,
λαμπρόταταί τ' αὐγαὶ τότ' ἀεξομένης τελέθουσιν
οὐρανόθεν· τέκμωρ δὲ βροτοῖς καὶ σῆμα τέτυκται.
τῇ ῥά ποτε Κρονίδης ἐμίγη φιλότητι καὶ εὐνῇ·
ἡ δ' ὑποκυσσαμένη Πανδείην γείνατο κούρην,
ἐκπρεπὲς εἶδος ἔχουσαν ἐν ἀθανάτοισι θεοῖσι.
Χαῖρε, ἄνασσα, θεὰ λευκώλενε, δῖα Σεληνη,
πρόφρον, ἐϋπλόκαμος· σέο δ' ἀρχόμενος κλέα φωτῶν
ᾄσομαι ἡμιθέων, ὧν κλείουσ' ἔργματ' ἀοιδοὶ,
Μουσάων θεράποντες, ἀπὸ στομάτων ἐροέντων.

## XXXIII.

### ΕΙΣ ΔΙΟΣΚΟΥΡΟΥΣ.

*Ἀμφὶ Διὸς κούρους ἑλικώπιδες ἔσπετε Μοῦσαι,*
*Τυνδαρίδας, Λήδης καλλισφύρου ἀγλαὰ τέκνα,*
*Κάστορά θ' ἱππόδαμον καὶ ἀμώμητον Πολυδεύκεα,*
*τοὺς ὑπὸ Ταϋγέτου κορυφῇ ὄρεος μεγάλοιο*
*μιχθεῖσ' ἐν φιλότητι κελαινεφέϊ Κρονίωνι*
*σωτῆρας τέκε παῖδας ἐπιχθονίων ἀνθρώπων*
*ὠκυπόρων τε νεῶν, ὅτε τε σπέρχωσιν ἄελλαι*
*χειμέριαι κατὰ πόντον ἀμείλιχον· οἱ δ' ἀπὸ νηῶν*
*εὐχόμενοι καλέουσι Διὸς κούρους μεγάλοιο*
*ἄρνεσσιν λευκοῖσιν, ἐπ' ἀκρωτήρια βάντες*
*πρύμνης· τὴν δ' ἄνεμός τε μέγας καὶ κῦμα θαλάσσης*
*θῆκαν ὑποβρυχίην· οἱ δ' ἐξαπίνης ἐφάνησαν*
*ξουθῇσι πτερύγεσσι δι' αἰθέρος ἀΐξαντες,*
*αὐτίκα δ' ἀργαλέων ἀνέμων κατέπαυσαν ἀέλλας,*
*κύματα δ' ἐστόρεσαν λευκῆς ἁλὸς ἐν πελάγεσσι,*
*ναύταις σήματα καλά, πόνου κρίσιν· οἱ δὲ ἰδόντες*
*γήθησαν, παύσαντο δ' ὀϊζυροῖο πόνοιο.*
*Χαίρετε, Τυνδαρίδαι, ταχέων ἐπιβήτορες ἵππων·*
*αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.*

---

## XXXIV.

### Fragmenta hymni in Bacchum.

* * *

*Οἱ μὲν γὰρ Δρακάνῳ σ', οἱ δ' Ἰκάρῳ ἠνεμοέσσῃ*
*φάσ', οἱ δ' ἐν Νάξῳ, δῖον γένος, Εἰραφιῶτα,*
*οἱ δέ σ' ἐπ' Ἀλφειῷ ποταμῷ βαθυδινήεντι*
*κυσαμένην Σεμέλην τεκέειν Διῒ τερπικεραύνῳ·*

*ἄλλοι δ' ἐν Θήβαισιν, ἄναξ, σε λέγουσι γενέσθαι,*
*ψευδόμενοι· σὲ δ' ἔτικτε πατὴρ ἀνδρῶν τε θεῶν τε*
*πολλὸν ἀπ' ἀνθρώπων, κρύπτων λευκώλενον Ἥρην.*
*Ἔστι δέ τις Νύση, ὕπατον ὄρος, ἀνθέον ὕλῃ,*
*τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων,*

* * *

*Καί οἱ ἀναστήσουσιν ἀγάλματα πόλλ' ἐνὶ νηοῖς.*
*Ὣς δὲ τὰ μὲν τρία, σοὶ πάντως τριετηρίσιν αἰεὶ*
*ἄνθρωποι ῥέξουσι τεληέσσας ἑκατόμβας.*
*Ὣς εἰπὼν ἐπένευσε καρήατι μητίετα Ζεύς.*
*Ἵληθ', εἰραφιῶτα, γυναιμανές· οἱ δέ σ' ἀοιδοὶ*
*ᾄδομεν ἀρχόμενοι λήγοντές τ'· οὐδέ πῃ ἔστι*
*σεῖ' ἐπιληθόμενον ἱερῆς μεμνῆσθαι ἀοιδῆς.*
*Καὶ σὺ μὲν οὕτω χαῖρε, Διώνυσ' εἰραφιῶτα,*
*σὺν μητρὶ Σεμέλῃ, ἥν περ καλέουσι Θυώνην.*

---

*Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·*
*ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος*
*κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.*

# ΗΡΟΥ ΕΠΙΓΡΑΜΜΑΤΑ.

## I.

### ΠΡΟΣ ΝΕΟΤΕΙΧΕΙΣ.

*Αἰδεῖσθε ξενίων κεχρημένον ἠδὲ δόμοιο,*
*οἳ πόλιν αἰπεινὴν, Κύμης ἐριώπιδα κούρην,*
*ναίετε, Σαιδήνης πόδα νείατον ὑψικόμοιο,*
*ἀμβρόσιον πίνοντες ὕδωρ ξανθέου ποταμοῖο,*
*Ἕρμου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς.*

---

## II.

### ΕΙΣ ΤΗΝ ΚΥΜΗΝ ΑΝΑΣΤΡΕΦΩΝ.

*Αἶψα πόδες με φέροιεν ἐς αἰδοίων πόλιν ἀνδρῶν·*
*τῶν γὰρ καὶ θυμὸς πρόφρων καὶ μῆτις ἀρίστη.*

---

## III.

### ΕΙΣ ΜΙΔΗΝ.

*Χαλκέη παρθένος εἰμὶ, Μίδεω δ' ἐπὶ σήματι κεῖμαι.*
*ἔς τ' ἂν ὕδωρ τε ῥέῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,*
*ἠέλιός τ' ἀνιὼν λάμπῃ λαμπρή τε σελήνη,*
*καὶ ποταμοὶ πλήθωσιν, ἀνακλύζῃ δὲ θάλασσα,*
*αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ*
*ἀγγελέω παριοῦσι, Μίδης ὅτι τῇδε τέθαπται.*

---

## IV.

### ΠΡΟΣ ΚΥΜΑΙΟΥΣ.

*Οἵῃ μ' αἴσῃ δῶκε πατὴρ Ζεὺς κύρμα γενέσθαι.*
*νήπιον αἰδοίης ἐπὶ γούνασι μητρὸς ἀτάλλων,*
*ἥν ποτ' ἐπύργωσαν βουλῇ Διὸς αἰγιόχοιο*

*λαοὶ Φρίκωνος, μάργων ἐπιβήτορες ἵππων,*
*ὁπλότεροι, μαλεροῖο πυρὸς κρίνοντες Ἄρηα,*
*Αἰολίδα Σμύρνην ἁλιγείτονα, ποντοτίνακτον,*
*ἥν τε δι᾽ ἀγλαὸν εἶσιν ὕδωρ ἱεροῖο Μέλητος.*
*ἔνθεν ἀπορνύμεναι κοῦραι Διὸς, ἀγλαὰ τέκνα,*
*ἠθελέτην κλῆσαι δῖαν χθόνα καὶ πόλιν ἀνδρῶν.*
*οἳ δ᾽ ἀπανηνάσθην ἱερὴν ὄπα, φῆμιν ἀοιδῆς,*
*ἀφραδίῃ· τῶν μέν τε παθών τις φράσσεται αὖτις,*
* *ὅσφιν ὀνείδεσιν ἐμὸν διεμήσατο πότμον.*
*κῆρα δ᾽ ἐγὼ, τήν μοι θεὸς ὤπασε γεινομένῳ περ,*
*τλήσομαι ἀκράαντα φέρων τετληότι θυμῷ·*
*οὐδέ τί μοι φίλα γυῖα μένειν ἱεραῖς ἐν ἀγυιαῖς*
*Κύμης ὁρμαίνουσι, μέγας δέ με θυμὸς ἐπείγει*
*δῆμον ἐς ἀλλοδαπὸν ἰέναι, ἀλαόν περ ἐόντα.*

---

## V.

### ΠΡΟΣ ΘΕΣΤΟΡΙΔΗΝ.

*Θεστορίδη, θνητοῖσιν ἀνωΐστων πολέων περ*
*οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.*

---

## VI.

### ΠΟΣΕΙΔΩΝΙ.

*Κλῦθι Ποσειδάων μεγαλοσθενὲς ἐννοσίγαιε,*
*εὐρυχόρου μεδέων ἠδὲ ζαθέου Ἑλικῶνος,*
*δὸς δ᾽ οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἰδέσθαι*
*ναύτῃς, οἳ νηὸς πομποὶ ἠδ᾽ ἀρχοὶ ἔασιν·*
*δὸς δ᾽ ἐς ὑπωρείην ὑψικρήμνοιο Μίμαντος*
*αἰδοίων μ᾽ ἐλθόντα βροτῶν ὁσίων τε κυρῆσαι,*
*φῶτά τε τισαίμην, ὃς ἐμὸν νόον ἠπεροπεύσας*
*ὠδύσατο Ζῆνα ξένιον ξενίην τε τράπεζαν.*

---

## VII.

### ΕΙΣ ΠΟΛΙΝ ΕΡΥΘΡΑΙΑΝ.

*Πότνια γῆ, πάνδωρε, δότειρα μελίφρονος ὄλβου,*
*ὡς ἄρα δὴ τοῖς μὲν φωτῶν εὔοχθος ἐτύχθης,*
*τοῖσι δὲ δύσβωλος καὶ τρηχεῖ', οἷς ἐχολώθης.*

---

## VIII.

### ΠΡΟΣ ΝΑΥΤΑΣ.

*Ναῦται ποντοπόροι, στυγερῇ ἐναλίγκιοι ἄτῃ,*
*πτωκάσιν αἰθυίῃσι βίον δύσζηλον ἔχοντες,*
*αἰδεῖσθε ξενίοιο Διὸς σέβας ὑψιμέδοντος·*
*δεινὴ γὰρ μέτοπις ξενίου Διὸς, ὅς κ' ἀλίτηται.*

---

## IX.

### ΠΡΟΣ ΤΟΥΣ ΑΥΤΟΥΣ.

*Ὑμέας, ὦ ξεῖνοι, ἄνεμος λάβεν ἀντίος ἐλθών·*
*ἀλλ' ἔτι νῦν δέξασθε, καὶ ὁ πλόος ἔσσεται ὑμῖν.*

---

## X.

### ΕΙΣ ΠΕΥΚΗΝ.

*Ἄλλη τίς σευ πεύκη ἀμείνονα καρπὸν ἵησιν*
*Ἴδης ἐν κορυφῇσι πολυπτύχου ἠνεμοέσσης,*
*ἔνθα σίδηρος ἄριστος ἐπιχθονίοισι βροτοῖσιν*
*ἔσσεται, εὖτ' ἄν μιν Κεβρήνιοι ἄνδρες ἔχωσιν.*

---

## XI.

### ΠΡΟΣ ΓΛΑΥΚΟΝ ΤΟΝ ΑΙΠΟΛΟΝ.

*Γλαῦκε, βοτῶν ἐπίοπτα, ἔπος τί τοι ἐν φρεσὶ θήσω·*
*πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐλείῃσι θύρῃσιν*
*δοῦναι· τὼς γὰρ ἄμεινον· ὃ γὰρ καὶ πρῶτον ἀκούει*
*ἀνδρὸς ἐπερχομένου καὶ ἐς ἕρκεα θηρὸς ἰόντος.*

---

## XII.

### ΠΡΟΣ ΤΗΝ ΙΕΡΕΙΑΝ ΕΝ ΣΑΜΩΙ.

*Κλῦθί μοι εὐχομένῳ, κουροτρόφε, δὸς δὲ γυναῖκα*
*τήνδε νέων μὲν ἀνήνασθαι φιλότητα καὶ εὐνήν·*
*ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,*
*ὧν ὥρη μὲν ἀπήμβλυνται, θυμὸς δὲ μενοινᾷ.*

---

## XIII.

### ΕΙΣ ΟΙΚΟΝ ΤΩΝ ΦΡΑΤΟΡΩΝ.

*Ἀνδρὸς μὲν στέφανος παῖδες, πύργοι δὲ πόληος,*
*ἵπποι δ' ἐν πεδίῳ κόσμος, νῆες δὲ θαλάσσης,*
*χρήματα δ' αὔξει οἶκον, ἀτὰρ γεραροὶ βασιλῆες*
*ἥμενοι εἰν ἀγορῇ, κόσμος τ' ἄλλοισιν ὁρᾶσθαι·*
*αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι*
*ἤματι χειμερίῳ, ὁπότ' ἂν νίφῃσι Κρονίων.*

---

# XIV.

## ΚΑΜΙΝΟΣ Η ΚΕΡΑΜΕΙΣ.

*Εἰ μὲν δώσετε μισθόν, ἀείσω, ὦ κεραμῆες·
δεῦρ' ἄγ' Ἀθηναίη, καὶ ὑπείρεχε χεῖρα καμίνου,
εὖ δὲ περανθεῖεν κότυλοι καὶ πάντα κάναστρα,
φρυχθῆναί τε καλῶς καὶ τιμῆς ὦνον ἀρέσθαι,
πολλὰ μὲν είν ἀγορῇ πωλεύμενα, πολλὰ δ' ἀγυιαῖς,
* πολλὰ δὲ κερδῆναι, ἡμῖν δὲ δή, ὥς σφιν ἀεῖσαι.
ἢν δ' ἐπ' ἀναιδείην τρεφθέντες ψεύδε' ἄρησθε,
συγκαλέω δὴ ἔπειτα καμίνῳ δηλητῆρας,
Σύντριβ' ὁμῶς Σμάραγόν τε καὶ Ἄσβετον ἠδὲ Σαβάκτην
Ὠμόδαμόν θ', ὃς τῇδε τέχνῃ κακὰ πολλὰ πορίζει.
πέρθε πυραίθουσαν καὶ δώματα, σὺν δὲ κάμινος
πᾶσα κυκηθείη, κεραμέων μέγα κωκυσάντων.
ὡς γνάθος ἱππείη βρύκει, βρύκοι δὲ κάμινος,
πάντ' ἔντοσθ' αὐτῆς κεραμήια λεπτὰ ποιοῦσα.
δεῦρο καὶ Ἠελίου θυγάτηρ, πολυφάρμακε Κίρκη,
ἄγρια φάρμακα βάλλε, κάκου δ' αὐτούς τε καὶ ἔργα.
δεῦρο δὲ καὶ Χείρων ἀγέτω πολέας κενταύρους,
οἵ θ' Ἡρακλῆος χεῖρας φύγον, οἵ τ' ἀπόλοντο·
τύπτοιεν τάδε ἔργα κακῶς, πίπτοι δὲ κάμινος,
αὐτοὶ δ' οἰμώζοντες ὁρῴατο ἔργα πονηρά·
γηθήσω δ' ὁρόων αὐτῶν κακοδαίμονα τέχνην.
ὃς δέ χ' ὑπερκύψῃ, πυρὶ τούτου πᾶν τὸ πρόσωπον
φλεχθείη, ὡς πάντες ἐπίσταιντ' αἴσιμα ῥέζειν.*

# ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ.

*Ἀρχόμενος πρῶτον Μουσῶν χορὸν ἐξ Ἑλικῶνος*
*ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς,*
*ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα,*
*δῆριν ἀπειρεσίην, πολεμόκλονον ἔργον Ἄρηος,*
*εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι,*
*πῶς μύες ἐν βατράχοισιν ἀριστεύσαντες ἔβησαν,*
*γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα Γιγάντων,*
*ὡς ἔπος ἐν θνητοῖσιν ἔην· τοίην δ' ἔχεν ἀρχήν.*
*Μῦς ποτε διψαλέος, γαλέης κίνδυνον ἀλύξας,*
*πλησίον ἐν λίμνῃ ἁπαλὸν προσέθηκε γένειον,*
*ὕδατι τερπόμενος μελιηδέι· τὸν δὲ κατεῖδεν*
*λιμνοχαρὴς πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον·*
*Ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠόνα; τίς δέ σ' ὁ φύσας;*
*πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.*
*εἰ γάρ σε γνοίην φίλον ἄξιον, ἐς δόμον ἄξω·*
*δῶρα δέ τοι δώσω ξεινήια πολλὰ καὶ ἐσθλά.*
*εἰμὶ δ' ἐγὼ βασιλεὺς Φυσίγναθος, ὃς κατὰ λίμνην*
*τιμῶμαι βατράχων ἡγούμενος ἤματα πάντα·*
*καί με πατὴρ Πηλεὺς ἀνεθρέψατο, Ὑδρομεδούσῃ*
*μιχθεὶς ἐν φιλότητι παρ' ὄχθας Ἠριδανοῖο.*
*καὶ σὲ δ' ὁρῶ καλόν τε καὶ ἄλκιμον ἔξοχον ἄλλων,*
*σκηπτοῦχον βασιλῆα καὶ ἐν πολέμοισι μαχητὴν*
*ἔμμεναι· ἀλλ' ἄγε θᾶσσον ἐὴν γενεὴν ἀγόρευε.*
*Τὸν δ' αὖ Ψιχάρπαξ ἀπαμείβετο φώνησέν τε·*
*Τίπτε γένος τοὐμὸν ζητεῖς; δῆλον δ' ἐν ἅπασιν*
*ἀνθρώποις τε θεοῖς τε καὶ οὐρανίοις πετεηνοῖς.*

*Ψιχάρπαξ μὲν ἐγὼ κικλήσκομαι· εἰμὶ δὲ κοῦρος*
*Τρωξάρταο πατρὸς μεγαλήτορος· ἡ δέ νυ μήτηρ*
*Λειχομύλη, θυγατὴρ Πτερνοτρώκτου βασιλῆος.*
*γείνατο δ' ἐν καλύβῃ με καὶ ἐξεθρέψατο βρωτοῖς,*
*σύκοις καὶ καρύοις καὶ ἐδέσμασι παντοδαποῖσιν.*
*πῶς δὲ φίλον ποιῇ με, τὸν ἐς φύσιν οὐδὲν ὁμοῖον;*
*σοὶ μὲν γὰρ βίος ἐστὶν ἐν ὕδασιν· αὐτὰρ ἔμοιγε,*
*ὅσσα παρ' ἀνθρώποις, τρώγειν ἔθος· οὐδέ με λήθει*
*ἄρτος δισκοπάνιστος ἀπ' εὐκύκλου κανέοιο,*
*οὐ πλακόεις τανύπεπλος ἔχων πολὺ σησαμότυρον,*
*οὐ τόμος ἐκ πτέρνης, οὐχ ἥπατα λευκοχίτωνα,*
*οὐ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος,*
*οὐ χρηστὸν μελίτωμα, τὸ καὶ μάκαρες ποθέουσιν,*
*οὐδ' ὅσα πρὸς θοίνας μερόπων τεύχουσι μάγειροι,*
*κοσμοῦντες χύτρας ἀρτύμασι παντοδαποῖσιν.*
[*οὐδέποτ' ἐκ πολέμοιο κακὴν ἀπέφευγον ἀυτήν,*
*ἀλλ' ἰθὺς μετὰ μῶλον ἰὼν προμάχοισιν ἐμίχθην.*
*οὐ δέδι' ἄνθρωπον καίπερ μέγα σῶμα φοροῦντα,*
*ἀλλ' ἐπὶ λέκτρον ἰὼν καταδάκνω δάκτυλον ἄκρον,*
*καὶ πτέρνης λαβόμην, καὶ οὐ πόνος ἄνδρα ἵκανεν,*
*νήδυμος οὐκ ἀπέφευγεν ὕπνος δάκνοντος ἐμεῖο.*
*ἀλλὰ δύω πάντων μάλα δείδια πᾶσαν ἐπ' αἶαν,*
*κίρκον καὶ γαλέην, οἵ μοι μέγα πένθος ἄγουσιν,*
*καὶ παγίδα στονόεσσαν, ὅπου δολόεις πέλε πότμος·*
*πλεῖστον δὴ γαλέην περιδείδια, ἥτις ἀρίστη,*
*ἡ καὶ τρωγλοδύοντα κατὰ τρώγλην ἐρεείνει.*]
*οὐ τρώγω ῥαφάνας, οὐ κράμβας, οὐ κολοκύντας,*
*οὐ πράσσοις χλωροῖς ἐπιβόσκομαι, οὐδὲ σελίνοις·*
*ταῦτα γὰρ ὑμέτερ' ἐστὶν ἐδέσματα τῶν κατὰ λίμνην.*
*Πρὸς τάδε μειδιάσας Φυσίγναθος ἀντίον ηὔδα·*
*Ξεῖνε, λίην αὐχεῖς ἐπὶ γαστέρι· ἔστι καὶ ἡμῖν*
*πολλὰ μάλ' ἐν λίμνῃ καὶ ἐπὶ χθονὶ θαύματ' ἰδέσθαι.*

*ἀμφίβιον γὰρ ἔδωκε νομὴν βατράχοισι Κρονίων,*
*[στοιχείοις διττοῖς μεμερισμένα δώματα ναίειν,]*
*σκιρτῆσαι κατὰ γῆν καὶ ἐφ' ὕδασι σῶμα καλύψαι.*
*εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, εὐχερές ἐστιν.*
*βαῖνέ μοι ἐν νώτοισι, κράτει δέ με, μήποτ' ὄληαι,*
*ὅπως γηθόσυνος τὸν ἐμὸν δόμον εἰσαφίκηαι.*
*Ὣς ἄρ' ἔφη καὶ νῶτ' ἐδίδου· ὁ δ' ἔβαινε τάχιστα*
*χεῖρας ἔχων τρυφεροῖο κατ' αὐχένος ἅλματι κούφῳ.*
*καὶ τὸ πρῶτον ἔχαιρεν, ὅτ' ἔβλεπε γείτονας ὅρμους,*
*νήξει τερπόμενος Φυσιγνάθου· ἀλλ' ὅτε δή ῥα*
*κύμασι πορφυρέοισιν ἐκλύζετο, πολλὰ δακρύων*
*ἄχρηστον μετάνοιαν ἐμέμφετο, τίλλε δὲ χαίτας,*
*καὶ πόδας ἔσφιγγεν κατὰ γαστέρα, ἐν δέ οἱ ἦτορ*
*πάλλετ' ἀηθείῃ, καὶ ἐπὶ χθόνα βούλεθ' ἱκέσθαι·*
*δεινὰ δ' ὑπεστονάχιζε φόβου κρυόεντος ἀνάγκῃ.*
*[οὐρὴν μὲν προπέτασσεν ἐφ' ὕδασιν, ἠύτε κώπην* [86]
*σύρων, εὐχόμενος τε θεοῖς ἐπὶ γαῖαν ἱκέσθαι,*
*ὕδασι πορφυρέοισιν ἐκλύζετο, πολλὰ δ' ἐβῶσεν·*
*καὶ τοῖον φάτο μῦθον ἀπὸ στόματός τ' ἀγόρευσεν·* [74]
*Οὐχ οὕτω νώτοισιν ἐβάστασε φόρτον ἔρωτος* [75]
*ταῦρος, ὅτ' Εὐρώπην διὰ κύματος ἦγ' ἐπὶ Κρήτην,*
*ὡς ἔμ' ἐπιπλώσας ἐπινώτιον ἦγεν ἐς οἶκον*
*βάτραχος ἀμπετάσας ὠχρὸν δέμας ὕδατι λευκῷ;]*
*Ὕδρος δ' ἐξαίφνης ἀνεφαίνετο, δεινὸν ὅραμα*
*πᾶσιν ὁμῶς· ὀρθὸν δ' ὑπὲρ ὕδατος εἶχε τράχηλον.* [80]
*τοῦτον ἰδὼν κατέδυ Φυσίγναθος, οὔτι νοήσας,*
*οἷον ἑταῖρον ἔμελλεν ἀπολλύμενον καταλείπειν.*
*δῦ δὲ βάθος λίμνης καὶ ἀλεύατο κῆρα μέλαιναν.*
*κεῖνος δ' ὡς ἀφέθη, πέσεν ὕπτιος εὐθὺς ἐφ' ὕδωρ,*
*καὶ χεῖρας ἔσφιγγε καὶ ὀλλύμενος κατέτρυζε.* [85]
*πολλάκι μὲν κατέδυνεν ἐφ' ὕδατι, πολλάκι δ' αὖτε* [89]
*λακτίζων ἀνέδυνε· μόρον δ' οὐκ ἦν ὑπαλύξαι.*

*δευόμεναι δὲ τρίχες πλεῖστον βάρος ἦσαν ἐπ' αὐτῷ·
ὕστατα δ' ὀλλύμενος τοίους ἐφθέγξατο μύθους·
Οὐ λήσεις δολίως, Φυσίγναθε, ταῦτα ποιήσας,
ναυηγὸν ῥίψας ἀπὸ σώματος, ὡς ἀπὸ πέτρης.
οὐκ ἄν μου κατὰ γαῖαν ἀμείνων ἦσθα, κάκιστε,
παγκρατίῳ τε πάλῃ τε καὶ εἰς δρόμον· ἀλλὰ πλανήσας
εἰς ὕδωρ μ' ἔρριψας. ἔχει θεὸς ἔκδικον ὄμμα.
* ἦ ποινὴν τίσεις σὺ μυῶν στρατῷ, οὐδ' ὑπαλύξεις.
Ὣς εἰπὼν ἀπέπνευσεν ἐφ' ὕδατι· τὸν δὲ κατεῖδεν
Λειχοπίναξ ὄχθῃσιν ἐφεζόμενος μαλακῇσιν·
δεινὸν δ' ἐξολόλυξε, δραμὼν δ' ἤγγειλε μύεσσιν.
ὡς δ' ἔμαθον τὴν μοῖραν, ἔδυ χόλος αἰνὸς ἅπαντας.
καὶ τότε κηρύκεσσιν ἑοῖς ἐκέλευσαν, ὑπ' ὄρθρον
κηρύσσειν ἀγορήνδ' ἐς δώματα Τρωξάρταο,
πατρὸς δυστήνου Ψιχάρπαγος, ὃς κατὰ λίμνην
ὕπτιος ἐξήπλωτο νεκρὸν δέμας, οὐδὲ παρ' ὄχθαις
ἦν ἤδη τλήμων, μέσσῳ δ' ἐπενήχετο πόντῳ.
ὡς δ' ἦλθον σπεύδοντες ἅμ' ἠοῖ, πρῶτος ἀνέστη
Τρωξάρτης ἐπὶ παιδὶ χολούμενος, εἶπέ τε μῦθον·
Ὦ φίλοι, εἰ καὶ μοῦνος ἐγὼ κακὰ πολλὰ πεπόνθειν
ἐκ βατράχων, ἡ πεῖρα κακὴ πάντεσσι τέτυκται.
εἰμὶ δὲ νῦν ἐλεεινὸς, ἐπεὶ τρεῖς παῖδας ὄλεσσα.
καὶ τὸν μὲν πρῶτόν γε κατέκτανεν ἁρπάξασα
ἔχθιστος γαλέη, τρώγλης ἔκτοσθεν ἑλοῦσα.
τὸν δ' ἄλλον πάλιν ἄνδρες ἀπηνέες ἐς μόρον εἷλξαν
καινοτέραις τέχναις ξύλινον δόλον ἐξευρόντες,
ἣν παγίδα καλέουσι, μυῶν ὀλέτειραν ἐοῦσαν.
ὃ τρίτος ἦν, ἀγαπητὸς ἐμοὶ καὶ μητέρι κεδνῇ,
τοῦτον ἀπέπνιξεν Φυσίγναθος ἐς βυθὸν ἄξας.
ἀλλ' ἄγεθ' ὁπλισόμεσθα καὶ ἐξέλθωμεν ἐπ' αὐτοὺς
σώματα κοσμήσαντες ἐν ἔντεσι δαιδαλέοισιν.
Ταῦτ' εἰπὼν ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.*

*κνημῖδας μὲν πρῶτον ἐφήρμοσαν εἰς δύο μοίρας*
*ῥήξαντες κυάμους χλωρούς, κνήμας δ' ἐκάλυπτον,*
*οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.*
*θώρηκας δ' εἶχον καλαμοστεφέων ἀπὸ βυρσῶν,*
*οὓς γαλέην δείραντες ἐπισταμένως ἐποίησαν.*
*ἀσπὶς δ' ἦν λύχνου τὸ μεσόμφαλον· ἡ δέ νυ λόγχη*
*εὐμήκεις βελόναι, παγχάλκεον ἔργον Ἄρηος·*
*ἡ δὲ κόρυς τὸ λέπυρον ἐπὶ κροτάφοις ἐρεβίνθου.*
*Οὕτω μὲν μύες ἦσαν ἐν ὅπλοις· ὡς δ' ἐνόησαν*
*βάτραχοι, ἐξανέδυσαν ἀφ' ὕδατος, ἐς δ' ἕνα χῶρον*
*ἐλθόντες βουλὴν ξύναγον πολέμοιο κακοῖο.*
*σκεπτομένων δ' αὐτῶν, πόθεν ἡ στάσις, ἢ τίς ὁ θυμός,*
*κῆρυξ ἐγγύθεν ἦλθε φέρων ῥάβδον μετὰ χερσίν,*
*Τυρογλύφου υἱὸς μεγαλήτορος Ἐμβασίχυτρος,*
*ἀγγέλλων πολέμοιο κακὴν φάτιν, εἶπέ τε τοῖα·*
*Ὦ βάτραχοι, μύες ὔμμιν ἀπειλήσαντες ἔπεμψαν*
*εἰπεῖν ὁπλίζεσθαι ἐπὶ πτόλεμόν τε μάχην τε.*
*εἶδον γὰρ καθ' ὕδωρ Ψιχάρπαγα, ὅνπερ ἔπεφνεν*
*ὑμέτερος βασιλεὺς Φυσίγναθος. ἀλλὰ μάχεσθε,*
*οἵτινες ἐν βατράχοισιν ἀριστῆες γεγάασθε.*
*Ὣς εἰπὼν ἀπέφηνε· λόγος δ' εἰς οὔατ' ἀμύμων*
*εἰσελθὼν ἐτάραξε φρένας βατράχων ἀγερώχων·*
*μεμφομένων δ' αὐτῶν Φυσίγναθος εἶπεν ἀναστάς*
*Ὦ φίλοι, οὐκ ἔκτεινον ἐγὼ μῦν, οὐδὲ κατεῖδον*
*ὀλλύμενον· πάντως δ' ἐπνίγη παίζων παρὰ λίμνην,*
*νήξεις τὰς βατράχων μιμούμενος· οἱ δὲ κάκιστοι*
*νῦν ἐμὲ μέμφονται τὸν ἀναίτιον· ἀλλ' ἄγε βουλὴν*
*ζητήσωμεν, ὅπως δολίους μύας ἐξολέσωμεν.*
*τοιγὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.*
*σώματα κοσμήσαντες ἐν ὅπλοις στῶμεν ἅπαντες*

---

*καὶ τοὺς μέν ῥ' ἐκόρυσσεν Ἄρης πολέμοιο μεμηλώς·* 123

ἄκροις πὰρ χείλεσσιν, ὅπου κατάκρημνος ὁ χῶρος·
ἡνίκα δ' ὁρμηθέντες ἐφ' ἡμέας ἐξέλθωσι,
δραξάμενοι κορύθων, ὅστις σχεδὸν ἀντίος ἔλθῃ,
ἐς λίμνην αὐτοὺς σὺν ἐκείναις εὐθὺ βάλωμεν.
οὕτω γὰρ πνίξαντες ἐν ὕδασι τοὺς ἀκολύμβους
στήσομεν εὐθύμως τὸ μυοκτόνον ὧδε τρόπαιον.
  Ὣς εἰπὼν ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
φύλλοις μὲν μαλαχῶν κνήμας ἑὰς ἀμφεκάλυψαν,
θώρηκας δ' εἶχον καλῶν χλοερῶν ἀπὸ σεύτλων,
φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν,
ἔγχος δ' ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει,
καὶ τὰ κέρα κοχλιῶν λεπτῶν ἐκάλυπτε κάρηνα.
φραξάμενοι δ' ἔστησαν ἐπ' ὄχθῃς ὑψηλῇσιν
σείοντες λόγχας, θυμοῦ δ' ἔμπλητο ἕκαστος.
  Ζεὺς δὲ θεοὺς καλέσας εἰς οὐρανὸν ἀστερόεντα,
καὶ πολέμου πληθὺν δείξας κρατερούς τε μαχητάς,
πολλοὺς καὶ μεγάλους ἠδ' ἔγχεα μακρὰ φέροντας,
οἷος Κενταύρων στρατὸς ἔρχεται ἠδὲ Γιγάντων,
ἡδὺ γελῶν ἐρέεινε· τίνες βατράχοισιν ἀρωγοὶ
ἢ μυσὶν ἀθανάτων; καὶ Ἀθηναίην προσέειπεν·
  Ὦ θύγατερ, μυσὶν ἦ ῥα βοηθήσουσα πορεύσῃ;
καὶ γάρ σου κατὰ νηὸν ἀεὶ σκιρτῶσιν ἅπαντες
κνίσσῃ τερπόμενοι καὶ ἐδέσμασι παντοδαποῖσιν.
  Ὣς ἄρ' ἔφη Κρονίδης· τὸν δὲ προσέειπεν Ἀθήνη·
Ὦ πάτερ, οὐκ ἄν πώποτ' ἐγὼ μυσὶ τειρομένοισιν
ἐλθοίην ἐπαρωγὸς, ἐπεὶ κακὰ πολλὰ μ' ἔοργαν
στέμματα βλάπτοντες καὶ λύχνους εἵνεκ' ἐλαίου.
τοῦτο δέ μου λίην ἔδακε φρένας, οἷον ἔρεξαν.
πέπλον μου κατέτρωξαν, ὃν ἐξύφανα καμοῦσα
ἐκ ῥοδάνης λεπτῆς καὶ στήμονα λεπτὸν ἔνησα,
* καὶ τρώγλας ἐτέλεσσαν· ὁ δ' ἠπητής μοι ἐπέστη
καὶ πράσσει με τόκον· τὸ δὲ ῥίγιον ἀθανάτοισιν.

*χρησαμένη γὰρ ὕφανα καὶ οὐκ ἔχω ἀνταποδοῦναι.*
*ἀλλ' οὐδ' ὣς βατράχοισιν ἀρηγέμεν οὐκ ἐθελήσω.*
*εἰσὶ γὰρ οὐδ' αὐτοὶ φρένας ἔμπεδοι, ἀλλά με πρώην*
*ἐκ πολέμου ἀνιοῦσαν, ἐπεὶ λίην ἐκοπώθην,*
*ὕπνου δευομένην οὐκ εἴασαν θορυβοῦντες*
*οὐδ' ὀλίγον καταμῦσαι· ἐγὼ δ' ἄυπνος κατεκείμην,*
*τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.*
*ἀλλ' ἄγε παυσώμεσθα, θεοί, τούτοισιν ἀρήγειν,*
*μή νύ τις ἡμείων τρωθῇ βέλει ὀξυόεντι·*
*εἰσὶ γὰρ ἀγχέμαχοι, καὶ εἰ θεὸς ἀντίον ἔλθοι·*
*πάντες δ' οὐρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.*
*Ὣς ἄρ' ἔφη· τῇ δ' αὖτ' ἐπεπείθοντο θεοὶ ἄλλοι,*
*πάντες ὁμῶς δ' εἰσῆλθον ἀολλέες εἰς ἕνα χῶρον.*
*καὶ τότε κώνωπες μεγάλας σάλπιγγας ἔχοντες*
*δεινὸν ἐσάλπιγξαν πολέμου κτύπον· οὐρανόθεν δὲ*
*Ζεὺς Κρονίδης βρόντησε, τέρας πολέμοιο κακοῖο.*
*Πρῶτος δ' Ὑψιβόας Λειχήνορα οὔτασε δουρὶ*
*ἑσταότ' ἐν προμάχοις κατὰ γαστέρα ἐς μέσον ἧπαρ·*
*κὰδ δ' ἔπεσεν πρηνής, ἁπαλὰς δ' ἐκόνισσεν ἐθείρας.*
*[δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.]*
*Τρωγλοδύτης δὲ μετ' αὐτὸν ἀκόντισε Πηλείωνα,*
*πῆξεν δ' ἐν στέρνῳ στιβαρὸν δόρυ· τὸν δὲ πεσόντα*
*εἷλε μέλας θάνατος, ψυχὴ στόματος δ' ἐξέπτη.*
*Σευτλαῖος δ' ἄρ ἔπεφνε βαλὼν κέαρ Ἐμβασίχυτρον.*
*Ἀρτοφάγος δὲ Πολύφωνον κατὰ γαστέρα τύψεν·*
*ἤριπε δὲ πρηνής, ψυχὴ δὲ μελέων ἐξέπτη.*
*Λιμνόχαρις δ' ὡς εἶδεν ἀπολλύμενον Πολύφωνον,*
*Τρωγλοδύτην ἁπαλοῖο δι' αὐχένος* * * * * *
* * * * * * * * * * * * * * * *
*Ὠκιμίδην δ' ἄχος εἷλε καὶ ἤλασεν ὀξέι σχοίνῳ*
*οὐδ' ἐξέσπασεν ἔγχος ἐναντίον· ἤριπε δ' εὐθύς·*
*Λειχήνωρ δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ*

*καὶ βάλεν, οὐδ' ἀφάμαρτε, καθ' ἥπατος· ὡς δ' ἐνόησε*
*Κοστοφάγον φεύγοντα, βαθείαις ἔμπεσεν ὄχθαις·*
*ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης, ἀλλ' ἤλασεν αὐτόν·*
*κάππεσε δ', οὐδ' ἀνένευσεν· ἐβάπτετο δ' αἵματι λίμνη*
*πορφυρέῳ, αὐτὸς δὲ παρ' ἠιόν' ἐξετανύσθη*
*χορδῇσιν λιπαρῇσί τε πειρόμενος λαγόνεσσιν.*
*Τυροφάγον δ' αὐτῇσιν ἐπ' ὄχθαις ἐξενάριξεν*
* * * * * * * * * * * * *

*Πτερνογλύφον δ' ἐπιδὼν Καλαμίνθιος ἐς φόβον ἦλθεν,*
*ἥλατο δ' ἐς λίμνην φεύγων, τὴν ἀσπίδα ῥίψας.*
*Φιλτραῖον δ' ἄρ' ἔπεφνεν ἀμύμων Ἐμβασίχυτρος.*
*[Ὑδρόχαρις δέ τ' ἔπεφνεν Πτερνοφάγον βασιλῆα,]*
*χερμαδίῳ πλήξας κατὰ βρέγματος· ἐγκέφαλος δὲ*
*ἐκ ῥινῶν ἔσταξε, παλάσσετο δ' αἵματι γαῖα.*
* *Λειχοπίνακα δ' ἔπεφνεν ἀμύμων Βορβοροκοίτης,*
*ἔγχει ἐπαΐξας· τὸν δὲ σκότος ὄσσε κάλυψεν.*
*Πρασσαῖος δ' ἐπιδὼν ποδὸς εἵλκυσε νεκρὸν ἐόντα,*
*ἐν λίμνῃ δ' ἀπέπνιξε κρατήσας χειρὶ τένοντα.*
*Ψιχάρπαξ δ' ἤμυν' ἑτάρων περὶ τεθνειώτων*
*καὶ βάλε Πρασσαῖον μήπω γαίης ἐπιβάντα·*
*πῖπτε δὲ οἱ πρόσθεν, ψυχὴ δ' Ἀιδόσδε βεβήκει.*
*Κραμβοβάτης δ' ἐσιδὼν πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτὸν,*
*καὶ τὸ μέτωπον ἔχρισε καὶ ἐξετύφλου παρὰ μικρόν.*
*ὠργίσθη δ' ἄρ' ἐκεῖνος, ἑλὼν δέ τε χειρὶ παχείῃ*
*κείμενον ἐν πεδίῳ λίθον ὄμβριμον, ἄχθος ἀρούρης,*
*τῷ βάλε Κραμβοβάτην ὑπὸ γούνατα· πᾶσα δ' ἐκλάσθη*
*κνήμη δεξιτερὴ, πέσε δ' ὕπτιος ἐν κονίῃσιν.*
*Κραυγασίδης δ' ἤμυνε καὶ αὖθις βαῖνεν ἐπ' αὐτὸν,*
*τύψε δέ μιν μέσσην κατὰ γαστέρα· πᾶς δέ οἱ εἴσω*
*ὀξύσχοινος ἔδυνε, χαμαὶ δ' ἔκχυντο ἅπαντα*
*ἔγκατ' ἐφελκομένῳ ὑπὸ δούρατι χειρὶ παχείῃ·*
*Τρωγλοδύτης δ' ὡς εἶδεν ἐπ' ὄχθῃσιν ποταμοῖο,*

*σκάζων ἐκ πολέμου ἀνεχάζετο, τείρετο δ' αἰνῶς·*
*ἥλατο δ' ἐς τάφρους, ὅππως φύγῃ αἰπὺν ὄλεθρον.*
*Τρωξάρτης δ' ἔβαλεν Φυσίγναθον ἐς πόδα ἄκρον.*
*ἔσχατα δ' ἐκ λίμνης ἀνεδύσατο, τείρετο δ' αἰνῶς·*
* * * * * * * * * * * * * * * *

*Πρασσαῖος δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,*
*ἦλθε διὰ προμάχων καὶ ἀκόντισεν ὀξέι σχοίνῳ·*
*οὐδ' ἔρρηξε σάκος, σχέτο δ' αὐτοῦ δουρὸς ἀκωκή·*
*τοῦ δ' ἔβαλε τρυφάλειαν ἀμύμονα καὶ τετράχυτρον*
*δῖος Ὀριγανίων, μιμούμενος αὐτὸν Ἄρηα,*
*[ὃς μόνος ἐν βατράχοισιν ἀρίστευεν καθ' ὅμιλον·]*
*ὥρμησεν δ' ἄρ' ἐπ' αὐτόν· ὁ δ' ὡς ἴδεν, οὐχ ὑπέμεινεν*
*ἥρωα κρατερόφρον', ἔδυ δ' ἐν βένθεσι λίμνης.*
*Ἦν δέ τις ἐν μύεσιν Μεριδάρπαξ, ἔξοχος ἄλλων,*
*Κρείωνος φίλος υἱὸς ἀμύμονος Ἀρτεπιβούλου,*
* *οἴκαδ' ἰὼν πολέμοιο μετασχεῖν παῖδ' ἐκέλευσεν*
* *αὐτὸς δ' ἑστήκει γαυρούμενος ὡς κατὰ λίμνην —*
*οὗτος ἀναρπάξαι βατράχων γενεὴν ἐπαπείλει·*
*καὶ ῥήξας καρύου μέσσην ῥάχιν εἰς δύο μοίρας*
* *φράγδην ἀμφοτέροισιν ἐν ὤμοις χεῖρας ἔθηκεν·*
*οἱ δὲ τάχος δείσαντες ἔβαν πάντες κατὰ λίμνην·*
*καί νύ κεν ἐξετέλεσσεν, ἐπεὶ μέγα οἱ σθένος ἦεν,*
*εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.*
*καὶ τότ' ἀπολλυμένους βατράχους ᾤκτειρε Κρονίων·*
*κινήσας δὲ κάρη τοίην ἐφθέγξατο φωνήν·*
*Ὢ πόποι, ἦ μέγα ἔργον ἐν ὀφθαλμοῖσιν ὁρῶμαι·*
*οὐ μικρὸν ἐκπλήσσει Μεριδάρπαξ, ὃς κατὰ λίμνην*
*ἅρπαξ ἐν βατράχοισιν ἀμείβεται· ἀλλὰ τάχιστα*
*Παλλάδα πέμψωμεν πολεμόκλονον, ἢ καὶ Ἄρηα,*
*οἵ μιν ἐπισχήσουσι μάχης κρατερόν περ ἐόντα.*
*Ὣς ἄρ' ἔφη Κρονίδης· Ἥρη δ' ἀπαμείβετο μῦθον·*
*Οὔτ' ἄρ' Ἀθηναίης, Κρονίδη,* σθένος, οὔτε Ἄρηος

ἰσχύσει βατράχοισιν ἀρηγέμεν αἰπὺν ὄλεθρον.
ἀλλ' ἄγε πάντες ἴωμεν ἀρηγόνες· ἢ τὸ σὸν ὅπλον
κινείσθω μέγα Τιτανοκτόνον ὀβριμοεργόν,
ᾧ ποτε καὶ Καπανῆα κατέκτανες ὄβριμον ἄνδρα
καὶ μέγαν Ἐγκέλαδον καὶ ἄγρια φῦλα Γιγάντων,
κινείσθω· οὕτω γὰρ ἁλώσεται, ὅστις ἄριστος.
Ὣς ἄρ' ἔφη· Κρονίδης δ' ἔβαλε ψολόεντα κεραυνόν.
πρῶτα μὲν ἐβρόντησε, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον,
αὐτὰρ ἔπειτα κεραυνὸν, δειμαλέον Διὸς ὅπλον,
ἧκ' ἐπιδινήσας· ὁ δ' ἄρ' ἔπτατο χειρὸς ἄνακτος.
πάντας μέν ῥ' ἐφόβησε βαλὼν ἐπὶ τούσδε [κεραυνόν·]
ἀλλ' οὐδ' ὣς ἀπέληγε μυῶν στρατὸς, ἀλλ' ἔτι μᾶλλον
ἔλπετο πορθήσειν βατράχων γένος αἰχμητάων,
εἰ μὴ ἀπ' Οὐλύμπου βατράχους ᾤκτειρε Κρονίων,
ὅς ῥα τότ' ἐν βατράχοισιν ἀρωγοὺς εὐθὺς ἔπεμψεν.
Ἦλθον δ' ἐξαίφνης νωτάκμονες, ἀγκυλοχῆλαι,
λοξοβάται, στρεβλοὶ, ψαλιδόστομοι, ὀστρακόδερμοι,
ὀστοφυεῖς, πλατύνωτοι, ἀποστίλβοντες ἐν ὤμοις,
βλαισοὶ, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,
ὀκτάποδες, δικέραιοι, ἀτειρέες, οἱ δὲ καλεῦνται
καρκίνοι, οἵ ῥα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον
ἠδὲ πόδας καὶ χεῖρας· ἀνεγνάμπτοντο δὲ λόγχαι.
τοὺς δὴ ὑπέδδεισαν πάντες μύες, οὐδ' ἔτ' ἔμειναν,
ἐς δὲ φυγὴν ἐτράποντο· ἐδύσετο δ' ἥλιος ἤδη,
καὶ πολέμου τελετὴ μονοημέρου ἐξετελέσθη.

---

UNIV. OF MICHIGAN
OCT 21 1912

# Wörterbuch
## zu den Lebensbeschreibungen
des
# Cornelius Nepos.

Für den Schulgebrauch herausgegeben
von
**Dr. H. Haacke,**
Oberlehrer am Gymnasium zu Hirschberg.

8. geh. 10 Ngr.

Mit dem Cornelius Nepos von Dietsch 12 Ngr.

---

# Wörterbuch
zu
# Ovid's Metamorphosen.

Von
**Dr. Johannes Siebelis,**
Professor am Gymnasium zu Hildburghausen.

gr. 8. geh. 22½ Ngr.

Der durch seine Ausgabe der Metamorphosen (5. Aufl. 1867) und anderer Schulbücher rühmlichst bekannte Verfasser bietet in diesem Wörterbuche ein neues Hilfsmittel für das Verständnis der Metamorphosen, das den Bedürfnissen der Schule und der Wissenschaft gleichzeitig Rechnung trägt.

---

# Reallexikon des classischen Alterthums
für Gymnasien.

Im Verein mit mehreren Schulmännern herausgegeben
von
**Dr. Fr. Lübker.**

**Dritte durchgängig verbesserte Auflage.**

72 Bogen. Lex.-8. Mit vielen Abbildungen. geh. 3 Thlr. 10 Ngr.

Das Buch hat eine so ausserordentlich günstige Aufnahme gefunden, dass drei starke Auflagen rasch hintereinander nöthig wurden. Dasselbe wird vorzugsweise gern zu Prämien benutzt.